τόρων τῆς πόλεως. ἐν τῷ μεταξὺ δὲ τῆς ἀμφισβητήσεως οὔσης καὶ ἐξ ἑκατέρων τῶν μερῶν ἀφικνουμένων τῶν πρέσβεων, φονεύεται ὁ παῖς τοῦ Ἰσαακίου Ἀλέξιος παρ' Ἀλεξίου τοῦ Δούκα, ὃν πρωτοβεστιάριον οὗτος τετίμηκεν, οἱ δὲ τῆς πόλεως εἴς τι τῶν αὐτοῦ ἐπιμεμφόμενοι Μούρτζουφλον ἐκάλουν. ἀνηγορεύθη γοῦν παρὰ τῶν πολιτῶν ὁ Ephraem. ῥηθεὶς Ἀλέξιος Μούρτζουφλος βασιλεύς. τοῦ τοιούτου ed. B. v. 7041 γοῦν χάριν ἐπὶ πλέον μανέντες οἱ Ἰταλοὶ ἄσπονδον τὴν ἔχθραν κατὰ τῶν Κωνσταντινουπολιτῶν ἐποίησαν. συνέβη δὲ καὶ ἕτερόν τι γενέσθαι τοῖς πολίταις βούλευμα οὐκ ἐπαίνου ἄξιον. τοὺς γὰρ Λατίνους, οὓς οἰκήτορας εἶχεν ἡ Κωνσταντίνου, οἱ προύχοντες καὶ τῶν ἐν τέλει συνεβουλεύσαντο, ἀποπέμψαι τῆς πόλεως, ὡς μὴ ἐπιβούλους αὐτοὺς ἐντὸς ἔχοιεν. οἱ δὲ αὐτόμολοι πρὸς τοὺς πολεμίους χωροῦσι 9 ed. B. χιλιοστύες πολλαί, ὅρκοις ἀρρήκτοις τὸ πρῶτον τοὺς πολίτας πληροφοροῦντες μὴ ἄν ποτε μελετῆσαι κατ' αὐτῶν προδοσίαν, συναποθανεῖν δὲ εἰ συμβαίη αὐτοῖς ὡς ἰθαγενεῖς καὶ αὐτόχθονας· καίτοι καὶ γυναῖκας καὶ παιδία διδόντες ἐν ἀσφαλεστέροις ταῦτα τόποις ἀπαγαγεῖν, οὐκ ἔπεισαν. ἐξελθόντες δὲ πολλὰ τοῖς ἐναντίοις συνήραντο ἅτε πλῆθος πολὺ ὄντες καὶ εἰδήμονες τῶν πραγμάτων.

4. Τεσσαράκοντα γοῦν παρῆλθον ἡμέραι καὶ ἑάλω παρὰ 1203 (1204) τούτων ἡ Κωνσταντίνου, ἔτους μὲν ὄντος ἀπὸ γενέσεως κόσμου ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἑνδεκάτου, δωδεκάτην

---

1 δὲ om. U 3 φονεύεται ὁ παῖς υἱὸς ἰσαακίου ἀλέξιος καὶ βασιλεύει ἀλέξιος δούκας ὁ μούρτζουφλος in marg. sec. m. B ‖ παρ' AHab παρὰ O 5 αὐτοῦ] αὐτοῦ αὐτὸν U 6 ἐκάλουν] αὐτὸν ἐκάλουν U 7 Μούρτζουφλος] ὁ μούρτζουφλος F ‖ τοῦ τοιούτου] τούτου FH 8 γοῦν] γὰρ U 9 Κωνσταντινουπολιτῶν] πολιτῶν U ‖ ἐποίησαν Aab πεποιήκασι O 10 γενέσθαι post συνέβη δὲ pos. U ‖ οὐκ ἐπαίνου U ἐπαίνου O 11 Κωνσταντίνου] Κωνσταντινούπολις F 12 τῶν] οἱ τῶν? vid. ind. s. v. τέλος 13 αὐτοὺς Oab om. BU 15 χιλιοστύες] χιλιοστίαι U 16 μελετῆσαι] μελετήσαιεν U 17 δὲ om. U ‖ αὐτόχθονας] α emend. ex ε prim. m. G αὐτόχθονες U 18 γυναῖκας] γυναῖκάς τε ab et in ras. A ‖ ἐν—19 τόποις] ἐνέχυρα εἰς ἀσφαλεστέρους τόπους s 19 ταῦτα om. FH ‖ ἀπαγαγεῖν] ἐπαγαγεῖν AUa 22 γοῦν] γὰρ U

τοῦ Ἀπριλλίου ἄγοντος. τῷ γὰρ δεκάτῳ ἔτει Μαΐου ὄντος τῇ πόλει προσώρμισαν, ἐν ἕνδεκα δὲ μησὶ συνέβη γενέσθαι τὴν πόρθησιν. καὶ ἡ μεγίστη καὶ περιφανεστάτη πόλις ἑάλω, ἑνὸς ὥς φασιν ἢ καὶ δύο ἐπιπηδησάντων τῷ τείχει ἀπὸ κλίμακος εἰς ἱστὸν κειμένης μεγίστης κοίλης νηός. ὅσα μὲν οὖν συνέβη τῇ πόλει, μακροτέρων ἂν εἴη ταῦτα λόγων καὶ οὐ πρὸς τὴν παροῦσαν ὑπόθεσιν· πάντως δὲ νοεῖν ἔξεστι πᾶσιν ὁπόσα ταῖς αἰχμαλωτιζομέναις πόλεσιν ἐπιπέπτωκε πάθη, φόνοι τε ἀνδρῶν γυναικῶν τε ἀνδραποδισμοί, σκυλεύσεις, οἰκιῶν κατασκάψεις, τἆλλά τε πάντα ὁπόσα μαχαίρας ἔργον καθέστηκεν. ἐπεὶ γοῦν ἐγκρατεῖς γεγόνασι τῆς πόλεως οἱ Ἰταλοί, ὡς ἐξ ὑπερδεξίων ὁρμώ-
10 ed. B. *μενοι τήν τε δυσμὴν πᾶσαν κατέδραμον, ἀλλὰ δὴ καὶ τῆς ἑῴας μέρος οὐκ ἔλαττον. πρῶτον μὲν οὖν χειροῦνται τὰ τῆς δυσμῆς, πάντων ὑποφευγόντων αὐτοὺς ὡς ὑπό τινος θεηλάτου ἐλαυνομένων πληγῆς.*

Nic. Acom. ed. B. 804 5. *Ὁ μὲν οὖν βασιλεὺς Ἀλέξιος ὁ Ἄγγελος, ὃν ἀποδρᾶσαι ὁ λόγος εἰρήκει τῆς Κωνσταντίνου, περὶ τὴν Φιλιππούπολιν ἀφικόμενος καὶ μὴ πρὸς τῶν οἰκητόρων δεχθεὶς περὶ τὴν Μοσυνούπολιν ἀφικνεῖται κἀκεῖσε τὰς διατριβὰς ἐποιεῖτο. Ἀλέξιος δὲ ὁ Δούκας, ὃς τὸν υἱὸν Ἰσαακίου ἀπέκτεινε, βουλόμενος ἐκ κήδους αὐτῷ προσαρμόσασθαι ἅμα τε τὸν τοῦ Ἰσαακίου υἱὸν πεφόνευκε καὶ ἅμα τὴν τοῦ βασιλέως Ἀλεξίου θυγατέρα Εὐδοκίαν προσηγάγετο εἰς γυναῖκα, ὑστάτην οὖσαν τῶν θυγατέρων ἐκείνου. τρεῖς γὰρ ὑπῆρχον αὐτῷ, καὶ ἡ μὲν*

---

1 *Ἀπριλλίου*] *Ἀπριλίου* Hab 2 *προσώρμισαν*] *προσώρμησαν* ab *η* in *ι* mut. prim. m. A ‖ *ἐν* Oab om. BU 4 *ἐπιπηδησάντων*] *ἐπιπηδησάντων πρῶτον* b 5 *μεγίστης*] *τῆς μεγίστης* FH 6 *οὖν* Oab om. B ‖ *λόγων*] *λέγων* F 9 *τε* om. Hb ‖ *γυναικῶν τε* BUG ‖ *καὶ γυναικῶν* FH *γυναικῶν* Aab ‖ *ἀνδραποδισμοί*] *ἀνδραποδισμός* H 10 *κατασκάψεις*] *κατακαύσεις* U 12 *γεγόνασι τῆς πόλεως* Aab *τῆς πόλεως γεγόνασιν* O ‖ *οἱ* om. BFG 14 *πρῶτον*] *πρῶτα* ab ‖ *χειροῦνται*] *χειροῦται* U 17 *Ἀλέξιος ὁ Ἄγγελος*] *ἄγγελος ἀλέξιος* U ‖ *ἀποδρᾶσαι* A *ἀποδρᾶναι* O 18 *περὶ*] *ἐπὶ* b 19 *ἀφικόμενος* Oab *ἀφικάμενος* B ‖ *περὶ*] *ἐπὶ* b 20 *ἀφικνεῖται* Oab *ἀφικεῖται* B 21 *Ἰσαακίου*] *τοῦ ἰσαακίου* Hb 22 *κήδους*] *δήμους* F ‖ *τοῦ* om. U 24 *θυγατέρα*] *θυγατέραν* F

πρώτη Εἰρήνη κατωνομάζετο, ἣν καὶ ἀνδρὶ συνέζευξεν Ἀλεξίῳ τῷ Παλαιολόγῳ, ὃν καὶ δεσπότην τετίμηκεν· ἀλλὰ προῴχετο οὗτος τῆς Κωνσταντίνου ἁλώσεως. ἡ δὲ δευτέρα ἐκαλεῖτο Ἄννα, εἰς ἣν Θεόδωρον τὸν Λάσκαριν ἐπεγάμβρευσεν. ἡ δὲ τρίτη Εὐδοκία κατωνομάζετο, ἣν πρὸ καιροῦ ὁ πατὴρ αὐτῆς τῷ κράλῃ Σερβίας συνέζευξεν· ἐπί τινι δὲ πάθει, ὡς ἔφασκον, ταύτην οὗτος φωράσας ἐπὶ τὸν πατέρα πάλιν ἐκπέμπει, καὶ ἔμενεν οὕτως. ταύτην εἰλήφει ὁ εἰρημένος Δούκας Ἀλέξιος, τὴν οἰκείαν καταλιπὼν γαμετήν. ὡς γοῦν Anon. Marc. παρὰ τῶν Ἰταλῶν ἑάλω ἡ Κωνσταντίνου, ἀπέδρα καὶ οὗτος v. 832 ἐκεῖθεν, ἐπιφερόμενος καὶ τὴν σύζυγον Εὐδοκίαν. μαθὼν δὲ ὡς ἐν Μοσυνουπόλει τὰς διατριβὰς ποιεῖται ὁ πενθερὸς 11 ed. B. αὐτοῦ βασιλεὺς Ἀλέξιος, θαρρούντως πρὸς αὐτὸν ἀπῄει. ὁ δὲ τοῦτον πολλῶν τε ἄλλων χάριν καὶ οὐδὲν ἧττον τῆς θυγατρὸς ἐμυσάττετο. κηδεστίας οὖν ὑπενδὺς προσωπεῖον ὑποδέχεται τὸν Ἀλέξιον, λουτρόν τε εὐτρεπίσας ἅμα τῇ Ephraem. θυγατρὶ λουθῆναι τοῦτον προστέταχεν. ἐντὸς οὖν τοῦ ed. B. v. 7304 λουτῆρος γενομένου τοῦ Ἀλεξίου ἐπεισπίπτουσιν ἀθρόον αὐτῷ οἱ τοῦ βασιλέως Ἀλεξίου ὑπηρέται κἀκεῖσε τοὺς ὀφθαλμοὺς ἐξορύττουσιν. ἔφασκον δὲ οἱ ξυντυχόντες, ὡς ἡ θυγάτηρ ἑστῶσα παρὰ τὴν θύραν τοῦ λουτροῦ τὸν πατέρα ὕβρεσιν ἔπλυνε κἀκεῖνος ταύτην τῆς ἀναιδείας καὶ τῆς ἀσελγοῦς ἀγαπήσεως ἐλοιδόρει. τυφλὸς οὖν γεγονὼς ὁ δηλωθεὶς Δούκας Ἀλέξιος περὶ τὰ τῆς Μοσυνουπόλεως ἐπλανᾶτο μέρη, ἀλήτης διερχόμενος τὰ ἐκεῖσε. ὁ δὲ βασιλεὺς Ἀλέξιος ἀπάρας ἐκεῖθεν περὶ τὰ μέρη τῆς Θεσσαλονίκης ἐχώρει.

6 κράλῃ] κράλει H 7 ταύτην om. U || οὗτος] οὗτοι H || φωράσας] φοράσας F U φωράσαι H 8 οὕτως] οὕτω G 11 σύζυγον] σύζυγον αὐτοῦ H U 13 βασιλεὺς om. U || θαρρούντως O a b θαρροῦντος U θαρροῶν B 14 τοῦτον πολλῶν τε O a b τούτων πολλῶν τε καὶ B πολλῶν τε τοῦτον F || τε] τε καὶ U 15 κηδεστίας F κηδεστείας O || οὖν A a b γοῦν O || ὑπενδὺς] ὑπενδεὶς A ὑποδὺς b 17 τοῦ λουτῆρος γενομένου A a b γενομένου τοῦ λουτῆρος O 18 ἐπεισπίπτουσιν] ἐπιπίπτουσιν U || ἀθρόον] ἀθρόως a b 19 κἀκεῖσε—ἐξορύττουσιν om. U 20 ἐξορύττουσιν] αὐτοῦ ἐξορύττουσιν b || τύφλωσις ἀλεξίου τοῦ μουρτζούφλου in marg. prim. m. A 21 λουτροῦ A a b λοετροῦ O 22 ταύτην om. U 23 ἐλοιδόρει] αὐτὴν ἐλοιδόρει U 26 περὶ] πρὸς U ἐπὶ b

ἐπεὶ δὲ ἐξώρμησαν τῆς Κωνσταντίνου οἱ Ἰταλοὶ καὶ ἀπῆλθον περὶ τὴν Μοσυνούπολιν, εὑρόντες ἐκεῖσε τὸν Μούρτζουφλον Ἀλέξιον εἰς τὴν Κωνσταντίνου ἀπήγαγον· τοῦ δὲ δηλωθέντος αὐτοῦ μιάσματος ἀμυνόμενοι, ὅπερ εἰς τὸν υἱὸν Ἰσαακίου τοῦ βασιλέως εἰργάσατο, κρημνώδει θανάτῳ τοῦτον καταδικάζουσιν· εἰς γὰρ τὸν μέγιστον ἀνάξαντες κίονα, οὗ Ταῦρος ἡ κλῆσις, κάτω βάλλουσι. καὶ τοιοῦτον μὲν τὸ τέλος αὐτοῦ, ὁ δὲ βασιλεὺς Ἀλέξιος εἰς τὴν Θεσσαλονίκην ἀφίκετο.

6. *Τῆς οὖν πόλεως κυριεύσαντες οἱ Ἰταλοὶ ἄδειαν δε-*
12 ed. B. *δώκασι τοῖς ταύτης οἰκήτορσι τοὺς θέλοντας μένειν τε καὶ*
Ephraem. *ὑπὸ χεῖρα εἶναι αὐτῶν, τοὺς δὲ ἀκωλύτως ἀπέρχεσθαι ὅπῃ*
ed. B. v. 7461 *ἂν βούλοιντο. ἐξήρχοντο τοίνυν οἱ μὲν φανερῶς οἱ δὲ καὶ κρύφα, ὅσοι τῶν περιφανεστέρων ἐτύγχανον. ὁ μὲν οὖν Λάσκαρις Θεόδωρος προεξελθεῖν πέφθακεν ἅμα τῇ γαμετῇ Ἄννῃ, ὃν γαμβρὸν ὁ λόγος φθάσας ἐδήλωσε τοῦ βασιλέως Ἀλεξίου τελεῖν, καὶ δεσπότην ὑπ' ἐκείνου τετιμημένον. ἀπελθὼν οὖν οὗτος μετὰ τῆς σφετέρας γυναικὸς καὶ τῶν τέκνων — ὑπῆρχον γὰρ αὐτῷ θυγάτρια τρία, ὧν ἡ μὲν πρώτη Εἰρήνη, ἡ δὲ δευτέρα Μαρία, ἡ δὲ τρίτη Εὐδοκία κατωνομάζοντο — καὶ περὶ τὴν Νίκαιαν πόλιν γενόμενος παρεκάλει τοὺς Νικαεῖς ἔσω τοῦτον τῆς πόλεως δέξασθαι καὶ ὡς κυρίῳ προσανέχειν αὐτῷ. οἱ δὲ οὐκ ἐδέχοντο. λιπαρῶς γοῦν ὁ Λάσκαρις τούτοις προσκείμενος καὶ κἂν τὴν γυναῖκα μόνην δέξασθαι ἐκδυσωπῶν, μόλις εἰς τοῦτο πειθηνίους ἐγνώρισεν. ἀφεὶς οὖν τὴν γυναῖκα οὑτοσὶ κατὰ Νίκαιαν διήρχετο τὰ πέριξ, Προῦσάν τε καὶ τὰ περὶ αὐτήν, ὅπως τε ὑπὸ χεῖρα ταῦτα ποιήσαιτο καὶ ὡς βασιλεὺς ἀντὶ*

---

2 *ἐκεῖσε*] *ἐκεῖθεν* F ‖ *τὸν* om. a **3** *Ἀλέξιον* om. b **4** *αὐτοῦ* Aab *αὐτὸν* O **5** *τοῦ βασιλέως* om. U **10** *οἱ* om. G **12** *τοὺς δὲ*] *τοὺς δὲ μὴ* b ‖ *ἀπέρχεσθαι*] *ἐξέρχεσθαι* U ‖ *ὅπῃ* Oab *ὅποι* B *ὅπου* U **13** *ἂν*] *ἂν καὶ* U ‖ *ἐξήρχοντο* Oab *ἐξείρχοντο* B ‖ *καὶ* om. FU **15** *περὶ τοῦ δεσπότου κυροῦ θεοδώρου λάσκαρι* in marg. prim. m. B **16** *ὁ λόγος* om. U **18** *σφετέρας*] *σφετέρας αὐτοῦ* U **20** pr. *δὲ* om. U ‖ *κατωνομάζοντο*] *κατωνομάζετο* U **21** *περὶ*] *ἐπὶ* b **25** *μόλις* Aab *μόγις* O ‖ *εἰς*] *ἐς* ab **26** *οὑτοσὶ κατὰ*] *οὑτωσὶ κατὰ τὴν* F **27** *Προῦσάν*] *Προύσης* ab

τοῦ πενθεροῦ Ἀλεξίου τούτων κατάρξειεν· οὗ δὴ καὶ τετύχηκε. καὶ γὰρ ἐν τῷ μεταξὺ καὶ περὶ τὸν περσάρχην ἀφίκετο συνήθη τούτῳ τελοῦντα, καὶ συμμαχίαν προσείληφε καὶ τὰ πρὸς σκοπὸν διεπράξατο.

7. *Δύο γοῦν παραδραμόντων ἐνιαυτῶν καὶ ὡς δεσπότου* 1206
παρὰ πάντων φημιζομένου τοῦ Λασκάριος, ἐπεὶ συνδρομὴ 13 ed. B
γέγονε κατὰ Νίκαιαν ἀπὸ περιφανῶν ἀνδρῶν καὶ τῶν λογάδων τῆς ἐκκλησίας, σκέψις τούτοις ἐγένετο ὅπως βασιλεὺς φημισθείη ὁ δεσπότης Θεόδωρος. πατριάρχου δὲ μὴ παρόντος ἐκεῖσε — ὁ γὰρ Καματηρὸς Ἰωάννης, ὃς τὸν πατριαρχικὸν ἐκόσμει θρόνον ἡνίκα τῆς Κωνσταντίνου ἐκράτησαν Ἰταλοί, περὶ τὸ Διδυμότειχον ἀπῆρε κἀκεῖσε τὰς Nic. Acom.
διατριβὰς ἐπεποίητο, καὶ διαμηνυθεὶς παρά τε τοῦ Λασκά- ed. B. 837
ριος καὶ τῶν λοιπῶν ἀπηνήνατο τὴν πρὸς αὐτοὺς ἄφιξιν, ἔγγραφον τὴν παραίτησιν ποιησάμενος. ψηφίζεται γοῦν πατριάρχης Μιχαὴλ ὁ Αὐτωρειανός, λόγιος τυγχάνων καὶ πάσης γραφῆς ἔμπειρος τῆς τε ἡμετέρας καὶ θύραθεν· ὃς καὶ τὸν δεσπότην Θεόδωρον τῷ βασιλείας διαδήματι ταινιοῖ. ἐντεῦθεν βασιλεὺς ὁ Λάσκαρις ἀναγορευθεὶς συντονώτερον ἐφήψατο τῶν πραγμάτων, μάχαις δὲ προσέκυρσεν οὐκ ὀλίγαις καὶ χαλεπαῖς. οἵ τε γὰρ Ἰταλοὶ κατὰ τὴν ἑῴαν τὸν πόρον πεποιηκότες τὰ πλείω ταύτης ὑφ' ἑαυτοὺς ἐποιήσαντο· τό τε γὰρ ἅπαν θέμα Ὀψικίου καὶ Αἰγαίου καὶ αὐτὸ δὴ τὸ Ἀτραμύτιον τῶν Ἰταλῶν ἐγεγόνει, Βάρις τε καὶ Αὐλωνία Ποιμα-

---

1 *τετύχηκε*] *τετύχηκεν* U 2 *περὶ*] *ἐπὶ* b 4 *σκοπὸν*] *κοπὸν* BU 5 *παραδραμόντων* Oab *παρελθόντων* B 6 *παρὰ πάντων φημιζομένου* Aab *φημιζομένου παρὰ πᾶσι* O ‖ *Λασκάριος*] *Λάσκαρι* U 7 *ἀπὸ* Aa *ἀπό τε* O 8 *τούτοις*] *τούτων* ab, corr. in *τούτοις* prim. m. A 9 *φημισθείη*] *τιμηθῇ* U ‖ *δὲ*] *γὰρ* U 10 *γὰρ* om. U ‖ *Καματηρὸς*] *καμματηρὸς* U 12 *Ἰταλοί*] *οἱ ἰταλοὶ* U ‖ *Διδυμότειχον*] *διδυμότοιχον* AGab 13 *ἐπεποίητο* Aab *ἐποιεῖτο* O ‖ *Λασκάριος*] *λάσκαρι* U 16 *Αὐτωρειανὸς*] *αὐθωρειανὸς* U 17 ante *θύραθεν* add. *τῆς* b 18 *βασιλείας* A *τῆς βασιλείας* O *βασιλικῷ* ab ‖ *ταινιοῖ*] *ἐταινίωσεν* ab ‖ *βασιλεία θεοδώρου τοῦ λασκάριος* in marg. A *ἀναγορεύεται βασιλεὺς κυρὸς θεόδωρος ὁ λάσκαρις* in marg. B *βασιλεία θεοδώρου τοῦ λάσκαρι* in marg. sec. m. F 20 *προσέκυρσεν*] *προσ*[illegible] a 24 *Ἀτραμύτιον* Oab *ἀτραμύττιον* BU ‖ *Βάρις* emend. e *βαρίς* B ‖ *Ποιμανηνόν*] *ποιμανινὸν* F

νηνόν τε καὶ Λεντιανὰ μέχρι τοῦ Λοπαδίου αὐτοῦ δεσπότας ἐγίνωσκον Ἰταλούς, ἀλλά γε δὴ καὶ τὰ τῆς Θυνίας πάντα μέχρι καὶ Νικομηδείας αὐτῆς. ἐντεῦθεν ἐστενοῦτο πολὺ ὁ βασιλεὺς Θεόδωρος. οὐδὲν δὲ ἧττον καὶ πρὸς τῶν 14 ed. B. *Ῥωμαίων κατεβιάζετο. ἐν γὰρ τῇ συγχύσει τῆς Κωνσταντίνου ἁλώσεως ἄλλοθεν ἄλλος ἡγεμόνες εἶναι τυχόντες ἢ καὶ οἱ τῶν ἄλλων προύχοντες ὡς οἰκείαν ἀρχὴν τὴν ὑφ' ἑαυτοὺς ἐποιοῦντο χώραν, ἢ ἐξ αὐτῶν εἰς τοῦτο ὁρμήσαντες ἢ καὶ παρὰ τῶν οἰκητόρων μετακληθέντες εἰς τὴν τῆς χώρας δεφένδευσιν. αὐτίκα Θεόδωρός τε, ὃν Μωροθεόδωρον ἀπεκάλουν, ἄρχων ἦν τῆς Φιλαδέλφου πόλεως· ἕτερος δὲ Σάββας τοὐπίκλην τοῦ ἄστεος ἐδέσποζε τοῦ Σαμψὼν μετὰ καὶ τῶν πλησίον τυγχανόντων αὐτῷ· Παφλαγονίας δὲ πάσης ἐγκρατὴς ἦν Δαυίδ, ἀδελφὸς ὢν Ἀλεξίου τοῦ τῆς Τραπεζοῦντος κρατήσαντος, ὃς καὶ Μέγας ὠνομάζετο Κομνηνός· οἳ τοῦ βασιλέως Ἀνδρονίκου ὑπῆρχον ἔγγονοι, Μανουὴλ τῷ τούτου τεχθέντες υἱῷ. διὰ ταῦτα ἐν πολλῇ στενοχωρίᾳ τὰ πράγματα ὑπῆρξε τῷ βασιλεῖ Θεοδώρῳ. ἀλλὰ τὸν μὲν Μωροθεόδωρον καὶ τὸν Σάββαν εὐχερῶς μετῆλθε κἀντεῦθεν ἐδέσποζεν ἀδεῶς Κελβιανοῦ τε παντός, Μαιάνδρου Φιλαδελφείας καὶ Νεοκάστρων.*

8. *Ἀλλ' ἐνταῦθά μοι ὁ λόγος ἀναμεινάτω· ἱστορῆσαι* Nic. Greg. ed. B. I 16 sq. *γὰρ βούλεται τὰ τῷ βασιλεῖ Ἀλεξίῳ συμβάντα, ἤδη δὲ καὶ τἄλλα τὰ ἐπὶ τῇ ἑσπέρᾳ γενέσθαι φθάσαντα. ἀφίκετο μέν,* Ephraem. ed. B. v. 7541 *ὡς εἰρήκειν, εἰς Θεσσαλονίκην ὁ εἰρημένος βασιλεὺς Ἀλέξιος*

---

1 *Λεντιανὰ* Oab *λεοντιανὰ* B o pr. m. del. *λεντίανα* U 2 *ἐγίνωσκον Ἰταλούς*] *τοὺς ἰταλοὺς ἐγίνωσκον* U ‖ *τὰ* om. Aab ‖ *Θυνίας*] *θινίας* AG *θηνίας* U *θινίας* BF *βυ* sec. m. sup. scr. B *βι* sec. m. sup. scr. F *Βιθυνίας* ab 3 *μέχρι καὶ*] *καὶ μέχρι* U 6 *ἄλλοθεν*] *ἄλλοθι* U ‖ *ἄλλος* Oab *ἄλλως* BU 7 *ἄλλων*] *Ἰταλῶν* U 9 *παρὰ*] *περὶ* G 10 *Θεόδωρός*] *θεόδωρον* U ‖ *τε* O om. FU *τις* s, nescio an recte ‖ *ἀπεκάλουν*] *ἐπεκάλουν* b 12 *Σάββας*] *σάβας* FG ‖ *ἄστεος*] *ἄστεως* b 13 *πλησίον*] *πλησίως* ex *-ον* prim. m. F 14 *τοῦ* om. U 15 *ὠνομάζετο*] *κατωνομάζετο* U 16 *Μανουὴλ*] *μετὰ* a 18 *ὑπῆρξε* ABG *ὑπῆρχε* FU ‖ *μὲν* om. U 19 *Σάββαν*] *σάβαν* FG ‖ *μετῆλθε*] *μετῆλθεν* A 20 *τε* om. U ‖ *παντός, Μαιάνδρου* Oab *παντὸς μαιἄδρου* B ‖ *Φιλαδελφείας*] *φιλαδελφίας* FU 24 *φθάσαντα* in ras. prim. m. A.

καὶ ὑπεδέχθη παρὰ τῆς αὐτοῦ νύμφης, ἣ ἐξ Οὔγγρων μὲν ὥρμητο, ἐπεγαμβρεύθη δὲ τῷ βασιλεῖ Ἰσαακίῳ μετὰ τὴν τῆς γυναικὸς αὐτοῦ τελευτήν· ἣν καὶ ὡραίαν πάνυ τῷ εἴδει οἱ κατιδόντες ἔφασκον εἶναι. τῶν γοῦν Ἰταλῶν εἰς πολυμέρειαν 15 ed. B. *τὰ τῆς Ῥωμαΐδος κληρωσαμένων καὶ τοῦ μὲν ἐκ Φλάντρας ὡρμημένου Βαλδουΐνου βασιλέως ἀναγορευθέντος, τοῦ δὲ δουκὸς Βενετίας, ὃς καὶ αὐτοπροσώπως συνῆν, μερίδα οὐ σμικρὰν ἐσχηκότος καὶ δεσποτικῷ ἀξιώματι τιμηθέντος ἔχειν τε ἐξ ὅλου — πρὸς τὸ ὅλον, ὃ τὸ τῶν Φράγγων ἐκτήσατο γένος — τὸ τέταρτον καὶ τοῦ τετάρτου τὸ ἥμισυ, ἐπειδὴ καὶ ὁ μαρκέσιος ἀξιόλογον μοῖραν τῇ συμμαχίᾳ ἣν ἐνεγκάμενος, ῥὴξ Θεσσαλονίκης παρὰ τοῦ Φλάντρα τετίμητο, προσλαβόμενος καὶ γυναῖκα τὴν δηλωθεῖσαν Μαρίαν τὴν ἐξ Οὐγγρίας, πρότερον προσηρμοσμένην Ἰσαακίῳ τῷ βασιλεῖ. ὑπὸ ταύτης, ὡς ἔφην, ὁ βασιλεὺς ὑπεδέχθη Ἀλέξιος. μετὰ μικρὸν δὲ φωραθεὶς τοῖς ἐκεῖσε νεωτερίζεσθαι ἀπεδιώχθη συνάμα τῇ γυναικὶ καὶ τῇ θυγατρὶ Εὐδοκίᾳ, ἣν καὶ ἐς Κόρινθον ἀφικόμενος τῷ ἐκεῖσε τῆς χώρας κατάρχοντι συνεξεύξατο Σγουρῷ· ἦν γὰρ καὶ ὁ Σγουρὸς οὗτος μετὰ τὴν τῆς Κωνσταντίνου ἅλωσιν νεωτερίσας καθ᾽ ἑαυτὸν καὶ Κορίνθου ἄρχων καὶ τῶν περὶ ταύτην χωρῶν, ὡς καὶ ἑτέρων ἕτεροι. μικρὸν δὲ καὶ τοῖς ἐκεῖσε προσδιατρίψας, γνοὺς παρά τινων ὡς ἁλίσκεσθαι μέλλει, ἀπέδρα. ἐκ Λογγιβαρδίας δέ τισι ξυντυχὼν ἁλίσκεται, πρὸς τὸν πρωτεξάδελφον αὐτοῦ Μιχαὴλ τὰς κινήσεις ποιούμενος· ἦν γὰρ οὗτος τῷ*

---

1 *Οὔγγρων* Aab *οὔγκρων* O ‖ post *νύμφης* ⟨*Μαρίας*⟩ suppl. ex s? **2** *ἐπεγαμβρεύθη*] *ἀπεγαμβρεύθη* G **5** *τὰ* om. U **8** *σμικρὰν*] *μικρὰν* FU **9** *τε*] *τὰ* Aa ‖ post *τε* ⟨*ταχθέντος μετὰ τῶν ὁμογενῶν*⟩ suppl. ex s? ‖ ὃ Oab, om. B ‖ *Φράγγων*] *Φράγκων* ab **12** *τετίμητο* Aab *τετίμηται* O **13** *Οὐγγρίας* Aab *Οὐγκρίας* O **14** *προσηρμοσμένην* Oab *ἡρμοσμένην* BU ‖ *Ἰσαακίῳ τῷ βασιλεῖ*] *τῷ βασιλεῖ Ἰσαακίῳ* U ‖ *ὑπὸ ταύτης* om. U **15** *ὡς—Ἀλέξιος.* Oab *ὑπεδέχθη ὡς ἔφην ὁ βασιλεὺς ἀλέξιος* B **16** *τοῖς*] *τὰ* ab **17** *ἦν*] *ἥν* U ‖ *ἐς*] *εἰς* U **18** *συνεξεύξατο*] *συνεξεύξατο τῷ* F *συνευζεύξατο* U *συνέζευξε τῷ* scrib.? **20** *Κορίνθου*] *κόρινθον* U **21** *ταύτην*] *ταῦτα* F *αὐτὴν* U *ταύτας* G **24** *δέ* om. U **25** *τῷ* om. Aab *τὸ* U

τότε μέρους τινὸς τῆς παλαιᾶς Ἠπείρου κρατήσας καὶ πολλὰ 16 ed. B. τοῖς πρὸς τὰ ἐκεῖσε μέρη ἀφιγμένοις Ἰταλοῖς παρέχων πράγματα. καὶ ἦν οὗτος δυναστεύων τῆς τοιαύτης χώρας· Ἰωαννίνων γὰρ ἦρχε καὶ Ἄρτης καὶ μέχρι Ναυπάκτου. ὡς γοῦν ἑάλω παρὰ τῶν Λογγιβάρδων ὁ βασιλεὺς Ἀλέξιος, ἀπεμπολεῖτο παρ' αὐτῶν συνάμα τῇ γυναικὶ εἰς τὸν δηλωθέντα Μιχαὴλ χρυσίον συχνὸν τοῖς κατέχουσι διδόντα. μικρὸν δὲ μετὰ τοῦ Μιχαὴλ προσκαρτερήσας ὁ βασιλεὺς Ἀλέξιος βούλεται πρὸς τὸν τοῦ Ἰκονίου σουλτὰν ἀπελθεῖν, ὃν Ἰαθατίνην ὠνόμαζον· ἦν γὰρ τούτῳ συνήθης. ὁ γὰρ εἰρημένος Ἰαθατίνης τὰς τοῦ ἀδελφοῦ αὐτοῦ χεῖρας ἀποδρὰς Ἀζατίνη κατάρχοντος τῷ τότε τῶν Μουσουλμάνων, φυγὰς παρὰ τὴν Κωνσταντίνου ᾤχετο καὶ τῷ βασιλεῖ ὑποδέδεκται Ἀλεξίῳ, βαπτίζεταί τε παρ' αὐτοῦ καὶ υἱοθετεῖται· ὃς καὶ τῷ βασιλεῖ Ἀλεξίῳ συναπέδρα ἀποδράντι τῆς Κωνσταντίνου. ἀλλ' οὔπω συχναὶ παρῆλθον ἡμέραι, καὶ ἀφικνεῖται πρὸς αὐτὸν ἀνὴρ κρύφα μηνύων αὐτῷ τὸν τοῦ ἀδελφοῦ αὐτοῦ μόρον· ὃς καὶ ῥάκεσι πενιχροῖς ἐσταλμένος μετ' αὐτοῦ ἀφικνεῖται, καὶ τοῖς αὐτοῦ καταστὰς γνώριμος περσάρχης ἐπιφημίζεται. ὃς καὶ τῷ βασιλεῖ Θεοδώρῳ ἔν τισι καιροῖς στενοχωρηθέντι χρήσιμος ἀνεφάνη, συμμαχίαν δοὺς καὶ τὰ εἰς εἰρήνην σπεισάμενος· ὡς ἀδελφὴν γὰρ τὴν βασιλίδα Ἄνναν ὠνόμαζε.

9. Πρὸς τοῦτον ἡ πᾶσα σπουδὴ τοῦ βασιλέως Ἀλεξίου ἀφικέσθαι προσῆν· ἐδυσανασχέτει γὰρ ἐλθεῖν περὶ τὸν

---

1 μέρους—παλαιᾶς] μέρος τῆς U 5 παρὰ] πρὸς F 6 ἀπεμπολεῖτο A καὶ ἀπεμπωλεῖται U καὶ ἀπεμπολεῖται b ἀπεμπολεῖται O ‖ ἀπεμπολεῖτο—8 προσκαρτερήσας om. a 6 παρ' αὐτῶν] πρὸς αὐτὸν F ‖ τῇ om. A ‖ εἰς—διδόντα om. b 7 διδόντα A δόντα O 8 ὁ βασιλεὺς Ἀλέξιος om. ab 9 βούλεται Aab βουλεύεται O ‖ σουλτὰν] σουλτάνον ab 10 Ἰαθατίνην] ἰαφατίνην U ‖ συνήθης Oab συνήθεις B 11 Ἰαθατίνης] ἰαφατίνης U 12 Ἀζατίνη] Ἀζατίνου b om. Aa ‖ τῷ τότε] τῷ τότε καιρῷ U 15 τῆς Oab τῆς τοῦ B 17 ἀνὴρ] ἀνήρ τις U ‖ αὐτοῦ Oab om. B 18 ἐσταλμένος—16,10 Ἀντιοχείας om. U ‖ post αὐτοῦ add. εἰς τὸ Ἰκόνιον s 19 καὶ Oab τε καὶ B 20 ὃς Aa οὗτος O 23 ὠνόμαζε] ὠνόμαζεν b 25 περὶ] παρὰ b

βασιλέα καὶ γαμβρὸν Θεόδωρον. ἐφοδίοις γοῦν ἀπάρας τῆς τοῦ Μιχαὴλ γῆς καὶ φορῷ χρησάμενος πνεύματι τῇ 17 ed. B. τῆς Ἀττάλου προσώρμισεν. ἀσμενέστατα γοῦν παρὰ τοῦ σουλτὰν προσδέδεκται. ὁ βασιλεὺς δὲ Θεόδωρος διῆγεν ἐν τῇ Νικαίᾳ, καὶ πρεσβεία πρὸς τοῦ σουλτὰν παρ' αὐτὸν ἀφικνεῖται τὴν τοῦ βασιλέως καὶ πενθεροῦ γνωρίζουσα ἄφιξιν, καὶ ὡς ἄδικος εἴη ξένης ἐπειλημμένος ἀρχῆς. ἐταράχθη γοῦν ἐπὶ τοῖς λόγοις ὁ βασιλεύς, καὶ δέος αὐτῷ ἐπεισῄει οὐχὶ σμικρόν. ὁ μὲν γὰρ σουλτὰν πρόφασιν εἶχε τὸν βασιλέα Ἀλέξιον, τῇ δ' ἀληθείᾳ σκοπὸς ἦν αὐτῷ πᾶσαν τὴν Ῥωμαίων καταδραμεῖν καὶ καταληΐσασθαι ἢ καὶ ὑπὸ χεῖρα ποιήσασθαι· καὶ ἦν ἐπὶ ξυροῦ, ὅ φασι, τῷ βασιλεῖ Θεοδώρῳ τὰ πράγματα. συναγαγὼν οὖν τοὺς αὐτοῦ ἐπειρᾶτο τούτων, εἴτε αὐτῷ προσανέχοντες ἂν εἶεν εἴτε τῷ πενθερῷ αὐτοῦ τῷ βασιλεῖ Ἀλεξίῳ. οἱ δὲ πανσυδὶ μιᾷ φωνῇ, ὡς ἐκ γνώμης μιᾶς, ἢ συζῆν αὐτῷ ἢ συναπολέσθαι εἰρήκεισαν. θαρσαλέος γοῦν ὁ βασιλεὺς τοῖς τῶν ὑπὸ χεῖρα λόγοις γενόμενος τῆς Νικαίας ἐξῄει, ἔχων καὶ τὸν τοῦ σουλτὰν πρέσβιν μεθ' ἑαυτοῦ. ταχύτερον δὲ τῷ δρόμῳ χρησάμενος ἀφικνεῖται τῇ Φιλαδέλφου. ὁ δὲ σουλτὰν ἐπάρας μεθ' ἑαυτοῦ καὶ ὃν ὡς δέλεαρ ἐπεφέρετο βασιλέα Ἀλέξιον, τὴν ἔφοδον ἐν Ἀντιοχείᾳ πεποίηται· πόλις δὲ αὕτη χώρας προκαθημένη Μαιάνδρου. κρατεῖν δέ οἱ ταύτης ἦν ὁ σκοπός· διὰ ταῦτα καὶ ἑλεπόλεις ἐστήσατο καὶ ἐπόρθει τὴν πόλιν, καὶ ἦν γε αὕτη ἐν χρῷ τοῦ ἁλῶναι. ὃ δὴ καὶ δεδιὼς ὁ βασιλεὺς Θεό- 18 ed. B. δωρος — ἦν γὰρ καὶ ἀληθὲς ὡς εἰ ταύτης ἐκράτησεν ὁ σουλτάν, οὐδὲν ἂν ἦν αὐτῷ ἐμποδὼν τοῦ μὴ πᾶσαν τὴν τῶν Ῥωμαίων χειρώσασθαι — καὶ οἷον ἐπὶ κύβου τὸν πό-

---

1 βασιλέα καὶ γαμβρὸν] γανρὸν καὶ βασιλέα F ‖ γοῦν A οὖν O 3 προσώρμισεν] προσώρμησεν G η in ι corr. prim. m. F 4 σουλτὰν Aab σουλτάνου O 5 ἀφικνεῖται Aab ἀφῖκται O 7 ξένης] ξενικῆς ab 10 δ'] δὲ ab ‖ Ῥωμαίων] τῶν ῥωμαίων F 11 ἢ — ποιήσασθαι om. F 12 ξυροῦ] ξηροῦ G 16 θαρσαλέος] θαρσαλίως F 17 τῆς Νικαίας] τὴν Νίκαιαν F 18 ἐξῄει] ἐξείη corr. in ἐξήει prim. m. F ‖ ἑαυτοῦ Oab ἑαυτῶν B 19 δρόμῳ] λόγῳ F 22 προκαθημένη Fab προσκαθημένη ABG 23 κρατεῖν ab κρατεῖ A κρατῆσαι O 24 ἐστήσατο Oab ἐστήσαντο B

λεμον θεὶς ἢ μᾶλλον ἀληθῶς εἰπεῖν ἐπὶ τῷ δεσπότῃ θαρρήσας Χριστῷ, οὗ τὴν κλῆσιν ὡς σύσσημόν τι ἢ σφραγῖδα οἱ εὐσεβεῖς περιφέρομεν, ἐπισπεύδει τὸν δρόμον, παραγγείλας μηδένα ἢ σκηνὴν φέρειν ἢ ἄχθος ἢ ἕτερόν τι τῶν μὴ λυσιτελούντων ἐν τῷ πολέμῳ ἄνευ μέντοι τῶν ἀναγκαίων, τροφῆς μικρᾶς καὶ ἐνδύματος. ἦν δὲ ἅπαν αὐτῷ τὸ στράτευμα εἰς δισχιλίους ἠριθμημένον, ὧν ὀκτακόσιοι μὲν Ἰταλοί, ἄνδρες γενναῖοι καὶ τὴν χεῖρα σθεναροί, ὡς ὁ καιρὸς ἔδειξε, Ῥωμαῖοι δὲ οἱ λοιποὶ ἐτύγχανον.

1211 10. Ἐγγύς που γοῦν γενόμενος τῆς Ἀντιοχείας ὁ βασιλεὺς ἀφίησι τὸν πρέσβιν Πέρσην παρὰ τὸν σφέτερον ἀφικέσθαι δεσπότην· καὶ ὃς ἀπῆλθε καὶ μηνύει τῷ σουλτὰν τὴν τοῦ βασιλέως ἔφοδον, δύσπιστον ἐκείνῳ πάνυ τυγχάνουσαν. ὅρκοις γοῦν ἐβεβαίου ὁ πρέσβις, ὡς ἐγγὺς ὁ βασιλεὺς πάρεστι. ταῦτ' οὖν ἀκηκοὼς ὁ σουλτὰν ὡς εἶχε τάχους τὰς δυνάμεις συνάγει καὶ παρατάττει πρὸς τὸν πόλεμον. ἐμπίπτουσι γοῦν ταῖς τοῦ σουλτὰν πρῶτον δυνάμεσιν Ἰταλοί, ἀλλ' ἦν τὸ τῶν Μουσουλμάνων πλῆθος πολύ. ἔργα δὲ κρατερᾶς χειρὸς ἐνδειξάμενοι καὶ γενναιοτέρας ψυχῆς σχεδὸν πίπτουσι πάντες, ἀπειροπλασίους ξίφους ἔργον ποιήσαντες. τῶν γοῦν Ἰταλῶν οἱ Μουσουλμάνοι περιγενόμενοι ῥᾷον καὶ τῶν Ῥωμαϊκῶν ἐκράτουν δυνάμεων· καὶ οἱ μὲν προτροπάδην
19 ed. B. ἔφευγον, ὀλίγοι δὲ ἐκαρτέρουν τὸ τέλος τῆς μάχης ἀποσκοπούμενοι. τῆς μάχης οὖν ἐγκρατὴς γενόμενος ὁ σουλτὰν ἐζήτει τὸν βασιλέα, καὶ δείκνυσί τις τοῦτον αὐτῷ ἐν ἀμηχανίᾳ γενόμενον. ὡς εἶχε γοῦν τάχους πρὸς τὸν βασιλέα ὁρμᾷ, τῇ τοῦ σώματος ἰσχύι θαρρῶν ἐπ' αὐτῷ. ἔγνωσαν οὖν ἑκατέ-

---

3 περιφέρομεν] ἐπιφέρομεν ab 4 σκηνὴν] σκευὴν ab || μὴ A οὐ O 11 πρέσβιν] πρέσβην U 13 δύσπιστον] δύσπειστον AG 14 πρέσβις] πρέσβης U || πάρεστι] πάρεστιν ab 15 ταῦτ'] ταῦτα ab || τάχους om. A 16 πόλεμον. in marg. prim. m. πόλεμος τοῦ βασιλέος κυροῦ θεοδώρου τοῦ λάσκαρι μετὰ τοῦ σουλτάνου B 17 γοῦν] γὰρ U || ταῖς] τοῖς U || Ἰταλοί] οἱ ἰταλοί U 19 κρατερᾶς] καρτερᾶς U 20 ἀπειροπλασίους] οἱ πλείους U || ποιήσαντες] γενόμενοι U 22 προτροπάδην] τροπάδην F 24 μάχης οὖν] οὖν μάχης U 25 τοῦτον] τοῦ τὸν αὐτὸν U || αὐτῷ om. F 27 ἐπ' αὐτῷ om. U

ρους ἑκάτεροι. καὶ ὁ μὲν σουλτὰν κορύνῃ κατὰ κεφαλῆς πλήττει τὸν βασιλέα, καὶ πίπτει τοῦ ἵππου· ἦν γὰρ τῇ βολῇ σκοτοδινιάσας. συνεποδίσθη γάρ, ὥς φασι, τῇ βολῇ καὶ ὁ ἵππος, οὐκ οἶδ' εἰ καὶ τούτου δευτέραν παρὰ τοῦ σουλτὰν λαβόντος πληγήν. ἔξω γοῦν τοῦ ἵππου ὁ βασιλεὺς γενόμενος καὶ οἷον ῥωσθεὶς ὑπὸ θειοτέρας δυνάμεως, ἐπὶ πόδας σταθεὶς τὴν σπάθην ἐξάγει τοῦ κουλεοῦ, καὶ τοῦ σουλτὰν ἐνθένδε στραφέντος καὶ ὑβριστικῶς ἐπειπόντος 'λάβετε τουτονί' πλήττει τοὺς ὀπισθίους πόδας τῆς τοῦ σουλτὰν ἵππου ὁ βασιλεύς· θηλείας γὰρ ἐπωχεῖτο καὶ ὑπερμεγέθους. ὡς ἐκ πύργου γοῦν ὁ σουλτὰν καταβάλλεται, καί οἱ αἰφνηδὸν ἡ κεφαλὴ ἀποτέμνεται, μήτε τοῦ βασιλέως γνόντος μήθ' ἑτέρου τῶν συμπαρεστώτων τῷ βασιλεῖ παρὰ τοῦ κεκαρατόμητο. νικᾷ γοῦν ἐντεῦθεν ὁ βασιλεὺς τὸ πλεῖστον ἐξηττημένος· οὐδὲ γὰρ εἶχεν ἐπὶ τοῖς πρόσω χωρεῖν, μετὰ μετρίων ἐλλελειμμένος. τοῦτο τοῖς Ῥωμαίοις ἀναψυχῆς ἐγένετο πρόφασις· σπονδὰς γὰρ ἐντεῦθεν ἀρρήκτους οἱ Μουσουλμάνοι μετὰ Ῥωμαίων ἐποίησαν. ἐντεῦθεν τῆς ἐκεῖθεν μάχης ἐκεχειρίαν ἔσχεν ὁ βασιλεύς, τοῖς δ' Ἰταλῶν πολέμοις ἐσχόλαζε. προσελάβετο δὲ καὶ τὸν πενθερὸν αὐτοῦ τὸν βασιλέα Ἀλέξιον ἐν τῇ μάχῃ εὑρών, καὶ τὰ εἰκότα τιμήσας ἀπήγαγέ τε εἰς Νίκαιαν καὶ τῶν βασιλικῶν παρασήμων ἐκδύσας ἐν τῇ τοῦ 20 ed. B. Ὑακίνθου μονῇ διάγειν ἐκέλευσεν. ἔνθα καὶ θνήσκει· ἡ γὰρ σύζυγος αὐτοῦ Εὐφροσύνη ἐν τῇ τῆς Ἄρτης ἐτελεύτησε χώρᾳ, ἔνθα καὶ ὁ νεκρὸς αὐτῆς κατετέθη.

---

2 καὶ] καὶ ὃς U 3 συνεποδίσθη] συνεμποδίσθη b ‖ γάρ] δὲ U ‖ τῇ βολῇ om. A ‖ καὶ ὁ] ὁ U 4 τούτου δευτέραν] οὗτος U 5 λαβόντος πληγήν] βάλοιτο U ‖ γοῦν] δ' οὖν b οὖν F 6 πόδας] πόδες F 8 λάβετε] λάβε U 9 σουλτὰν] σουλτάνου F 10 θηλείας] ἐπὶ θηλείας U ‖ γὰρ om. B add. b δὲ a ‖ καὶ om. U 11 γοῦν] οὖν U ‖ καταβάλλεται] κάτω βάλλεται U ‖ 13 συμπαρεστώτων] συμπαρόντων B ‖ παρὰ τοῦ b παρά του O ‖ κεκαρατόμητο A κεκαρατόμηται O 14 ἐντεῦθεν ὁ βασιλεὺς] ὁ βασιλεὺς ἐντεῦθεν U 15 τοῖς] τὰ b ‖ μετρίων] μυρίων a ‖ ἐλλελειμμένος] ἐλελειμμένος BF corr. b 17 ἀρρήκτους om. U 18 ἐντεῦθεν] τοὐντεῦθεν U ‖ ἐκεῖθεν] ἐκεῖσε ab 19 ἐσχόλαζε] ἐσχόλαζεν ab 20 τὸν βασιλέα] βασιλέα U 21 εὑρὼν καὶ b ‖ τιμήσας, ἀπήγαγε ab ‖ ἀπήγαγέ τε] ἀπήγαγεν U 23 in marg. θάνατος ἀλεξίου βασιλέως τοῦ ἀγγέλου A ‖ γὰρ] δὲ U

11. *Περιεγένετο δὲ καὶ ὁ βασιλεὺς Θεόδωρος καὶ τοῦ
τῆς Παφλαγονίας κρατοῦντος Δαυίδ, καὶ Ἡράκλειαν παρ-
εστήσατο καὶ Ἄμαστριν καὶ τὴν πᾶσαν πέριξ χώραν καὶ τὰ
πολίχνια. πάλιν δέ μοι τὰ τῆς ἱστορίας βούλεται τὰ ἐν τῇ
ἑσπέρᾳ ξυμβάντα συγγράψασθαι. ἵνα δέ μοι ἡ ἱστορία τοῖς
πᾶσιν εὔγνωστος εἴη, δέον ὀλίγ' ἄττα προεξειπεῖν. τοῦ βασι-*
Ephraem. *λέως Ἰσαακίου τῆς Κωνσταντίνου κατάρχοντος, καὶ τῆς*
ed. B. v. 7763 *γαμετῆς θανούσης αὐτοῦ, ἠγάγετο εἰς γυναῖκα τὴν ἣν
προειρήκειν ἐξ Οὐγγρίας ὡρμημένην, θυγατέραν οὖσαν τοῦ*
1185 *τῶν Οὔγγρων ἄρχοντος. ἐπεὶ δὲ ἔμελλε τὸν γάμον ποιεῖν
καὶ ὑπῆρχεν οὗτος βασιλικός, ἀξιόλογα ἔδει γενέσθαι τού-
του καὶ τὰ ἀναλώματα. ἐντεῦθεν ἐξ ἁπάσης τῆς Ῥωμαίων
ἐπαρχίας πρόβατά τε καὶ χοῖροι καὶ βόες συνήγοντο. ἐπεὶ
δὲ πλείω τῶν ἄλλων ἡ Βουλγάρων τρέφει ταῦτα, καὶ πλείω
παρὰ ταύτης ἀπῃτοῦντο. τὸ δὲ Βουλγάρων φῦλον ἔκσπον-
δον μὲν τὰ πρῶτα Ῥωμαίοις τελοῦν καὶ πολλῶν πολέμων
πρόξενον γεγονὸς αὐτοῖς ἀνδραποδισμῶν τε καὶ ἁλώσεων
πόλεων καὶ μυρίων ἄλλων δεινῶν, καὶ ταῦτα ἐν πολλοῖς
τοῖς ἔτεσιν, ὕστατα παρὰ τοῦ βασιλέως Βασιλείου χειροῦνται,
ὃν διὰ ταῦτα Βουλγαροκτόνον ἡ φήμη ἐκάλεσε. μέχρι γοῦν*
21 ed. B. *τοῦ βασιλέως Ἰσαακίου ὑπόφορον τὸ γένος ἐτέλει Ῥωμαίοις,*
Nic. Acom. *διὰ δὲ τὴν τοιαύτην πρόφασιν μεμελέτηκεν ἀνταρσίαν. καὶ*
ed. B. 485 *ἀνίσταταί τις Ἀσὰν τοὔνομα καὶ βασιλεύει τῆς χώρας,
ἅπαντα τὰ ἐντὸς τοῦ Αἵμου μέχρι καὶ τοῦ Ἴστρου ὑφ'
ἑαυτὸν ποιησάμενος. ἐκ τούτου οὐκ ὀλίγα πράγματα Ῥω-
μαίοις ξυνέβη. ἔχοντες γὰρ οἱ Βούλγαροι τὸ Σκυθικὸν*

---

1 *δὲ καὶ*] *δὲ* U 5 *ξυμβάντα*] *συμβάντα* F ‖ *συγγράψασθαι*] *συγγράψαι* U 6 *ὀλίγ' ἄττα*] *ὀλιγ́ττα* (ά supra) A *ὀλίγα ἅτα* F *ὀλίγα ἅττα* a 9 post *προειρήκειν* ⟨*Μαρίαν*⟩ suppl. ex s? ‖ *Οὐγγρίας* A a b *Οὐγκρίας* O ‖ *ὡρμημένην*] *δρμωμένην* F ‖ *θυγατέραν*] *θυγατέρα* B 10 *Οὔγγρων* A a b *Οὔγκρων* O 12 *καὶ* A om. O 13 *χοῖροι καὶ βόες*] *βόες καὶ χοῖροι* U 14 *πλείω*] *πλέον* U 15 *παρὰ ταύτης*] *παρ' αὐτῆς* U 16 *μὲν* om. U ‖ *Ῥωμαίοις τελοῦν*] *ἐτέλει* U ‖ *πολλῶν πολέμων* A *πολέμων πολλῶν* O 18 *πολλοῖς τοῖς*] *πολλοστοῖς*? 19 *ἔτεσιν*] *ἔτεσι* BU ‖ *χειροῦνται*] *χειροῦται* a b *ὑποτελεῖς γίνονται* U 23 *Ἀσὰν*] in marg. *βασιλεία ἀσὰν ἐν βουλγάροις* A 25 *τούτου*] *τούτου γοῦν* U ‖ *Ῥωμαίοις ξυνέβη*] *τοῖς ῥωμαίοις συνέβη* U 26 *Σκυθικὸν*] *σκυθικὸν γένος* U

ξύμμαχον πολλὰ ἐποίουν τῇ Ῥωμαίων δεινά. τῷ τοι καὶ ὁ
βασιλεὺς ἀγανακτήσας Ἰσαάκιος, τὸ τῶν Ῥωμαίων ἅπαν
συναγαγὼν στράτευμα, κατ' αὐτῶν ἐχώρει. τὴν γοῦν παρ-
άλιον παριὼν καὶ διὰ τῆς Μεσημβρίας πόλεως τὴν δίοδον
ποιησάμενος ἔσω τοῦ Αἵμου γίνεται. ὁ δὲ Ἀσὰν μετὰ τοῦ
ὑπ' αὐτὸν στρατεύματος ἐντὸς τοῦ πολιχνίου οὗ δὴ τοὔνομα
Στρίναβος εἰσέρχεται. ἔνθα καὶ τὰς σκηνὰς ποιησάμενος ὁ
βασιλεὺς Ἰσαάκιος τοὺς Βουλγάρους ἐπολιόρκει, καταστρατη-
γεῖται δὲ παρ' αὐτῶν. τῶν τις γὰρ Βουλγάρων προσωπεῖον
ὑπενδὺς φυγάδος ἀφικνεῖται πρὸς τὸν βασιλέα καὶ μηνύει
αὐτῷ Σκυθῶν ἔφοδον, ὁ δὲ βασιλεὺς τῷ λόγῳ θροηθεὶς
καὶ ταῦτα τὴν ἐπιοῦσαν τὸ πολίχνιον χειρώσασθαι μέλλων,
ἀπανίσταται τοῦ τόπου. οὐκ ἐξῆλθεν οὖν τὴν ἣν ἐπῆλθεν
ὁδόν, ἀλλ' ἐξαπατηθεὶς ὑπὸ τοῦ Βουλγάρου τὴν ταχυτέραν Nic. Acom.
τάχα διεξιέναι βεβούλευται. ἐπεισπίπτουσιν οὖν αὐτῷ διερ- ed. B. 563
χομένῳ οἱ Βούλγαροι ἐπί τινι στενωπῷ γενομένῳ, καὶ κατα-
λύουσι τὸ ὑπ' αὐτὸν ἅπαν στράτευμα καὶ σκυλεύουσι πᾶσαν
τὴν τῆς στρατιᾶς ἀποσκευήν, ἀλλὰ δὴ καὶ τὴν τοῦ βασι-
λέως αὐτοῦ. πίπτουσι δὲ πολλοὶ τῶν Ῥωμαίων, οἱ δὲ δια- 1190
σωθέντες μετὰ τοῦ βασιλέως γυμνοί τε ἦσαν καὶ ὀλίγοι πάνυ. 22 ed. B.
ἐντεῦθεν ἐφυσιώθη τὸ τῶν Βουλγάρων γένος, λείαν πολλὴν
ἐκ τῶν Ῥωμαίων κερδῆσαν, ἀλλὰ δὴ καὶ ἐκ τῶν βασιλικῶν
παρασήμων τὰ τιμιώτερα. τάς τε γὰρ τοῦ βασιλέως πυρα-
μίδας ἀνελάβοντο καὶ φιάλας τῶν ἐπισήμων καὶ χρῆμα εἰς
πλῆθος καὶ αὐτὸν δὴ τὸν βασιλικὸν σταυρόν· τῶν τινος
γὰρ αὐτὸν ἱερέων ῥίψαντος μετὰ μικρὸν ἐφεῦρον ἐν τῷ πο-

---

1 *ξύμμαχον* A *σύμμαχον* O 3 *συναγαγὼν*] *συναγαγὼν εἰς ἓν* B 5 *ἔσω*] *εἴσω* F 6 *αὐτὸν*] *αὐτοῦ* a corr. in -*ὸν* B ‖ *οὗ*] ὃ U ‖ *τοὔνομα* A *τὸ ὄνομα* O 7 *Στρίναβος*] *τρίνοβος* A ‖ *σκηνὰς*] *κηνὰς* U 9 *γὰρ Βουλγάρων*] *Βουλγάρων γὰρ* B 10 *ὑπενδὺς*] *ὑπενδεὶς* A *ὑπενδυθεὶς* BU ‖ *πρὸς* AU *παρὰ* O 11 *αὐτῷ*] *αὐτοῦ* G 12 *τὴν ἐπιοῦσαν* om. U 14 *ταχυτέραν*] *τραχυτέραν* U 15 *τάχα*] *τάχος* F ‖ *ἐπεισπίπτουσιν οὖν*] *ἐπιπίπτουσι δὲ* U 16 *ἐπί—γενομένῳ* om. U ‖ *καταλύουσι*] *καταλύουσιν* B 17 *αὐτὸν*] *αὐτῷ* U *αὐτοῦ* B corr. b 18 *τὴν τῆς στρατιᾶς*] *τῆς στρατιᾶς τὴν* F *τὴν τῆς στρατείας* a 21 *γένος* A *φῦλλον* F *φῦλον* O 24 *ἀνελάβοντο*] *ἀνέλαβόν τε* A 25 *αὐτὸν*] *αὐτοῦ* U 26 *ἱερέων*] *ἱερέως* AU ‖ ἐφεῦρον] ἐφεῦρον αὐτὸν F

ταμῷ, ἐκ χρυσοῦ μὲν κατεσκευασμένον, φέροντα δὲ μέσον ἐκ τοῦ ἁγίου ξύλου, ἐν ᾧπερ ὁ δεσπότης προσηλώθη Χριστός, εἰς σταυροῦ σχῆμα τετυπωμένον, θήκας δὲ σμικρὰς παμπόλλας ἔχοντα, ἐν οἷς λείψανα πρόσεστι τῶν περιφανεστέρων μαρτύρων τῆς θεομήτορός τε τὸ γάλα καὶ μέρος τι τῆς ζώνης αὐτῆς καὶ ἄλλα πλεῖστα, ὁπόσα τῶν εὐαγῶν καθειστήκει. ὁ μὲν οὖν βασιλεὺς Ἰσαάκιος εἰς τὴν Κωνσταντίνου οἷον φυγὰς ᾤχετο.

12. *Ἐντεῦθεν οὐκ ὀλίγα πράγματα τοῖς Ῥωμαίοις ἐκ Βουλγάρων ὑπῆρχεν. ἀλλὰ καὶ τοῦ βασιλέως Ἰσαακίου ὑπὸ*
1195 *τοῦ ἀδελφοῦ αὐτοῦ Ἀλεξίου τυφλωθέντος καὶ αὐτοῦ δὲ τῶν Ῥωμαϊκῶν σκήπτρων ἐπειλημμένου, πόλεμοι πάμπολλοι τοῖς Ῥωμαίοις παρὰ τῶν Βουλγάρων ἐγένοντο περὶ τὰ μέρη τῆς*
Nic. Acom. *Φιλιππουπόλεως καὶ Βερόης, ἔνθα καὶ ὁ πρωτοστράτωρ*
ed. B. 679 *Καμμύτζης ὑπὸ Βουλγάρων ἑάλω μαχόμενος, τοῦ ἀδελφοῦ τοῦ Ἀσὰν Ἰωάννου τότε κατάρχοντος. ὁ γὰρ δηλωθεὶς Ἀσὰν δύο ἔσχεν ἀδελφούς, ὧν ὁ μὲν Πέτρος ἐκαλεῖτο, ὁ δὲ Ἰωάν-*
23 ed. B. *νης. καὶ τὸν μὲν Ἰωάννην εἶχε μεθ' ἑαυτοῦ, τὸν δὲ Πέτρον τμῆμά τι κόψας τῆς ἑαυτοῦ ἐπαρχίας ἄρχειν ἐκείνου διεκελεύσατο· ἥ τε γὰρ μεγάλη Περσθλάβα καὶ ἡ Προβάτους καὶ τὰ περὶ αὐτὰ τῷ Πέτρῳ παρὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἀσὰν ὡς οἰκεῖος κλῆρος δεδώρηται, ὅθεν καὶ μέχρι τοῦ νῦν τὰ τοιαῦτα τοῦ Πέτρου ὀνομάζεται Χώρα. ἐννέα γοῦν ἐνιαυτοὺς διανύσας ὁ Ἀσὰν βασιλικῶς κατάρχων τοῦ Βουλγαρι-*

---

1 *μέσον*] *μέσον καὶ* U 3 *τετυπωμένον*] *τετυπωμένος* U ‖ *σμικρὰς* A *μικρὰς* O 4 *λείψανα* A *λείψανά τε* O 5 *μαρτύρων*] *ἁγίων μαρτύρων* F ‖ *τῆς*] *τὸ τῆς* U ‖ *τε τὸ* om. U *τε* om. B 7 *τὴν*] *τοῦ* a 8 *οἷον* om. U *οἷον* G 9 *οὐκ*] *δὲ οὐκ* U ‖ *τοῖς* om. b 11 *δὲ*] *δὴ* G 14 *Φιλιππουπόλεως*] *Φιλίππου πόλεως* U 15 *Καμμύτζης*] *καμύτζης* BUG ‖ *ὑπὸ Βουλγάρων ἑάλω*] *ἑάλω ὑπὸ βουλγάρων* U ‖ *Βουλγάρων*] *τῶν Βουλγάρων* ab 16 *Ἰωάννου* om. U *ἰωάννη* sec. m. *η* in *ου* corr. G 17 *ἔσχεν ἀδελφοὺς*] *ἀδελφοὺς ἔσχεν* U 19 *τμῆμά τι*] *κλήματι* U ‖ *ἑαυτοῦ* A *αὐτοῦ* O 20 *γὰρ* om. BU ‖ *Περσθλάβα* AFG *περαθλάβα* pr. *α* del. B *περασσλάβα* U *Παραθλάβα* a *Περισθλάβα* a in notis et b *πρεσθλάβα* s 21 *παρὰ*] *περὶ* sec. m. in *παρὰ* F ‖ *αὐτοῦ* om. U 22 *δεδώρηται*] *δεδώρητο* ab 23 *Πέτρου*] *πέτρα* B corr. ab ‖ *ὀνομάζεται Χώρα*] *ὀνομάζονται χῶραι* U

κοῦ γένους φονεύεται παρὰ τοῦ πρωτεξαδέλφου αὐτοῦ Ἰβαγγοῦ, ὃς καὶ παραντίκα ἀπέδρα· βασιλεύει δὲ τοῦ γένους ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης, μὴ θελησάντων τῶν Βουλγάρων τὸν Πέτρον εἰς βασιλείαν ἀναγαγεῖν. καὶ ὁ τοῦ Ἀσὰν δὲ υἱὸς Ἰωάννης ἔτι ἀφῆλιξ ὑπῆρχεν.

13. *Οὗτος οὖν ὁ Ἰωάννης βασιλεὺς Βουλγάρων ὀνομασθεὶς* 1197 *πολλῶν τε τοῖς Ῥωμαίοις αἴτιος ἐγεγόνει κακῶν, εὐτυχῶς δὲ καὶ τοῖς Ἰταλοῖς αὐτοῖς. ἦν γὰρ οὗτος βασιλεὺς Βουλγάρων, ὁπότε ἡ Κωνσταντίνου ἑάλω. ὡς γοῦν οἱ Ἰταλοὶ πᾶσαν τὴν τῆς Μακεδονίας χώραν ὑφ' ἑαυτοὺς ἐποιήσαντο, βασιλικῶς τοῦ πρώτως ἐν τῇ Κωνσταντινουπόλει κατάρξαντος Βαλδουΐνου τὰ κατ' αὐτοὺς διευθύνοντος, καὶ πρὸς τὴν πόλιν Ἀδριανοῦ διεμηνύσαντο ὅπως ὑπ' αὐτοὺς γένηται· ὁ γὰρ βασιλεὺς Βουλγάρων Ἰωάννης προύλαβε χειρώσασθαι τὴν Φιλιππούπολιν καὶ ἀνδραποδισμὸν μέγαν* Nic. Acom. *τῶν Ῥωμαίων ἐκεῖθεν ποιήσασθαι. μὴ βουληθέντων δὲ* ed. B. 829 *τῶν Ἀδριανουπολιτῶν ὑπὸ χεῖρας γενέσθαι τῶν Ἰταλῶν, ἐκστρατεύουσιν οἱ Ἰταλοὶ κατ' αὐτῶν, αὐτοῦ τε τοῦ βασιλέως* 21 ed. B. *Βαλδουΐνου συνόντος αὐτοῖς καὶ ⟨τοῦ⟩ τὸν τόπον τοῦ δουκὸς ὑπέχοντος Βενετίας ἐν τῇ Κωνσταντινουπόλει. εἰς στενο-* Ephraem. *χωρίαν γοῦν οὐ μικρὰν ἐλθόντες οἱ τῆς Ἀδριανοῦ οἰκήτορες* ed. B. v. 7790 *ἀποστέλλουσι πρὸς τὸν βασιλέα τῶν Βουλγάρων Ἰωάννην, ἵνα συναίρηται τούτοις καὶ τοῦ ἐπηρτημένου κινδύνου ῥύσηται. ὁ δὲ ἀσμένως δέχεται τοῦτο, καὶ Σκύθας μεθ' ἑαυτοῦ προσλαβόμενος, ἐπεὶ φανερῶς οὐκ εἶχε τοῖς Λατίνοις μαχέ-*

---

1 *πρωτεξαδέλφου*] *πρωτεξαδελφοῦ* Uab 2 *Ἰβαγγοῦ*] *ἰβαγκοῦ* F 3 *ὁ ἀδελφὸς* om. U ‖ *τῶν* om. A 4 *τὸν Πέτρον εἰς βασιλείαν*] *εἰς βασιλείαν τὸν Πέτρον* BU ‖ *ἀναγαγεῖν*] *ἀγαγεῖν* U in marg. *βασιλεία ἐν βουλγάροις τοῦ σκυλοϊωάννου* A 6 *οὖν*] *γοῦν* F 7 *τε* om. F 8 *οὗτος* om. U 9 *ὁπότε*] *ἡνίκα* U 11 *πρώτως*] *πρώτου* F 12 *αὐτοὺς διευθύνοντος*] *αὐτὴν διιθύνοντος* U 14 *προύλαβε*] *προύβαλλε* A *προύβαλε* U 16 *ἐκεῖθεν* om. U 17 *χεῖρας*] *χεῖρα* U 18 *βασιλέως* om. A 19 ⟨*τοῦ*⟩ em. b ‖ post *τόπον* supra lineam *αὐτοῦ* sec. m. add. F 20 *ὑπέχοντος*] *ἐπέχοντος* ab 21 *τῆς*] *τῆς τοῦ* U 23 *συναίρηται*] *συνάρηται* b ‖ *ἐπηρτημένου*] *ἐπηρμένου* ab ‖ *ῥύσηται*] *ῥύσεται* F *ῥύσηται αὐτούς* U

σασθαι, περιγενέσθαι βεβούληται μηχαναῖς. καὶ ὁ μὲν ἔκειτο
Nic. Greg. μακράν που τῆς Ἀδριανουπόλεως, ἐκπέμπει δὲ κατὰ τῶν
ed. B. I 15 Ἰταλῶν τοὺς Σκύθας τῇ Σκυθικῇ στρατείᾳ κατ' αὐτῶν χρήσασθαι. Ἰταλοῖς μὲν οὖν ἔθος ἐφ' ἵπποις ὑψαύχεσιν ἐποχεῖσθαι καταφράκτοις τε δι' ὅλου εἶναι τοῖς ὅπλοις τοῦ σώματος, κἀντεῦθεν δυσκινήτως κατὰ τῶν ἐναντίων ὁρμῶσι· Σκύθαι δὲ κουφότερον ὡπλισμένοι ἐλευθερώτερον ἐπιπηδῶσι τοῖς ἐναντίοις. οὗ μὴ ξυνιέντες οἱ Ἰταλοὶ παρὰ τῶν Σκυθῶν καταστρατηγοῦνται καὶ νικῶνται, ὥστε καὶ αὐτὸν τὸν βασιλέα Βαλδουῖνον ὑπ' αὐτῶν ἁλῶναι καὶ δέσμιον ἀπα-
1205 χθῆναι πρὸς τὸν βασιλέα Βουλγάρων Ἰωάννην· οὗπερ, ὥς φασι, καὶ τὴν κεφαλὴν μετὰ τὴν σφαγὴν εἰς κύπελλον χρη-
Nic. Acom. ματίσαι τῷ βαρβάρῳ, τῶν ἐντὸς ταύτης πάντων κεκαθαρ-
ed. B. 847 μένην καὶ κόσμῳ περιπυκασθεῖσαν κύκλωθεν. οἱ μὲν οὖν Ἀδριανουπολῖται ἐκ τοῦ παραυτίκα τὸ γεγονὸς οὐκ ἐγνώρισαν·
25 ed. B. εἰ γὰρ ᾔδεισαν, ἐξῄεσαν ἂν τῆς πόλεως καὶ λείαν αὐτῶν ἐπεποιήκεισαν τὰς Ἰταλικὰς σκηνάς. οἱ γοῦν ἀπολειφθέντες Ἰταλοὶ φῶτα λαμπρὰ ἐν ταῖς σφετέραις ἀνάψαντες σκηναῖς καὶ ὑποψίαν δόντες τοῖς πολίταις ὡς πάρεισι, μέσων νυκτῶν φυγάδες περὶ τὴν Κωνσταντίνου χωροῦσι. πρωΐας γοῦν γνόντες τοῦτο οἱ τῆς Ἀδριανοῦ οἰκήτορες τὰ ἐλλελειμμένα ταῖς σκηναῖς ἐληΐσαντο. ὁ μὲν οὖν βασιλεὺς Βουλγάρων κατὰ τὰ ὑπεσχημένα τοῖς Ἀδριανουπολίταις ἐγκρατὴς γενέσθαι τῆς σφῶν πόλεως ὥρμησεν, οἱ δὲ ἀπηνήναντο τοῦτο. δυσαναςχετήσας οὖν ἐπὶ τῇ ἀπάτῃ ὁ τῶν Βουλγάρων βασιλεὺς πολιορκῆσαι τούτους ἠθέλησεν. ἀλλ' ἀφυεῖς παντελῶς εἰς πολιορκίαν οἱ Βούλγαροι· οὔτε γὰρ ἑλεπόλεις οἴδασι στῆσαι οὔτε τι ἄλλο τῶν δυναμένων πορθῆσαι διανοήσασθαι.

---

1 βεβούληται] βεβούλευται U 3 στρατείᾳ] στρατίᾳ B ‖ κατ' αὐτῶν χρήσασθαι] χρήσασθαι κατ' αὐτῶν BU 8 οὗ] ὃ prim. m. in οὗ A ‖ ξυνιέντες] ξυνιόντες a 9 καταστρατηγοῦνται] στρατηγοῦνται A ‖ καὶ νικῶνται om. BU 10 ἀπαχθῆναι] ἀχθῆναι U 16 ᾔδεισαν] εἴδησαν Aa ‖ αὐτῶν] πολλὴν F 17 ἐπεποιήκεισαν] πεποιήκεισαν U 20 περὶ] παρὰ U ἐπὶ b 21 Ἀδριανοῦ] τοῦ Ἀδριανοῦ U 22 οὖν] γοῦν U 25 ἐπὶ—βασιλεὺς A, sed vid. 5,8; ὁ τῶν βουλγ. βασ. τῇ ἀπάτῃ O 26 ἀφυεῖς] ἀφιεὶς U 27 γὰρ om. U 28 οὔτε τι ἄλλο A οὐθ' ἕτερόν τι O

ἀπάρας γοῦν ἐκεῖθεν ὁ τῶν Βουλγάρων βασιλεύς, μὴ ἔχων τὸ ἐμποδὼν ὡς τῶν Ἰταλῶν αὐτοῦ καταπορθηθέντων τὸ ἔσχατον, ἑτέρου δὲ μὴ ὄντος τοῦ ἀνθισταμένου, πᾶσαν κατατρέχει Μακεδονίαν. λείαν οὖν παμπόλλην ἐποιήσατο, αὐτάνδρους τὰς πόλεις ἀνδραποδισάμενος καὶ τέλεον κατασκάψας αὐτάς. τὸ δέ οἱ διανόημα ἦν, ὡς μήποτε Ῥωμαίους ἀνάκλησιν σχεῖν τῶν σφετέρων ἐπιδράξεσθαι πόλεων. κατέσκαψε γοῦν ἐκ βάθρων αὐτῶν τὴν Φιλιππούπολιν, θαυμαστὴν ἄγαν οὖσαν, ἥτις παρὰ τῷ Ἕβρῳ κεῖται, εἶτα τὰς ἄλλας πάσας πόλεις, τὴν Ἡράκλειαν, τὸ Πάνιον, τὴν Ῥαι- 26 ed. B.
δεστόν, Χαριούπολιν, Τραϊανούπολιν, Μάκρην, Κλαυδιούπολιν, Μοσυνούπολιν, Περιθεώριον καὶ ἄλλας πολλάς, ἃς ἀριθμεῖν οὐ χρεών. τὸν δὲ λαὸν ἀπάρας ἐκεῖθεν περὶ τὰς παραρροίας καθίζει τοῦ Ἴστρου, ἐκ τῶν ἰδίων τῶν ἠνδραποδισμένων κωμῶν καὶ πόλεων τὰς κλήσεις ἐπιθεὶς ταῖς οἰκήσεσιν. ἀντάμυναν οὖν, ὡς ἔφασκεν, ἐποιεῖτο τῶν ὧν εἰργάσατο πρὸς Βουλγάρους κακῶν ὁ βασιλεὺς Βασίλειος, καὶ καλεῖσθαι μὲν ἔλεγεν ἐκεῖνον Βουλγαροκτόνον, Ῥωμαιοκτόνον δὲ ὠνόμαζεν ἑαυτόν. μέχρι γοῦν καὶ αὐτῆς καταντήσας Θεσσαλονίκης ἐκεῖσε θνήσκει πλευρίτιδι νόσῳ 1207
κατασχεθείς, ὡς δέ τινες ἔλεγον ὅτι ἐκ θεομηνίας αὐτῷ ὁ θάνατος γέγονεν· ἔδοξε γὰρ αὐτῷ καθ' ὕπνους ἔνοπλον ἄνδρα ἐπιστῆναι αὐτῷ καὶ δόρατι πλῆξαί οἱ τὴν πλευράν. ἦν γὰρ καὶ ἀληθῶς ὡς οὐδέποτε τῇ Ῥωμαίων τοσαῦτα παρά του συνέβη κακά, ὡς καὶ ὄνομα τεθῆναι τούτῳ ἐκ

---

1 ὁ — βασιλεύς] ὁ βασιλεὺς τῶν βουλγάρων B ὁ βασιλεὺς βουλγάρων U 2 τῶν] τὸν B corr. ab ‖ αὐτοῦ] παρ' αὐτοῦ U 3 τὸ] εἰς U ‖ ἑτέρου] ἐξ ἑκατέρου F 4 παμπόλλην] πολλὴν F 7 σχεῖν] ἔχειν prim. m. in σχεῖν A ‖ ἐπιδράξεσθαι A ἐπιδράξασθαι O 9 εἶτα] εἶτα καὶ U 10 πόλεις] πόλεις ἀνδραποδισάμενος καὶ τέλεον κατασκάψας καὶ αὐτάς, U ‖ sec. τὴν] τὸν F 12 Μοσυνούπολιν] μοσυνόπολιν FU ‖ post Περιθεώριον ⟨Πόρους⟩ suppl. ex s? ‖ πολλάς, ἃς om. U 14 παραρροίας] παραρρείας F 16 οὖν] γοῦν U ‖ ἔφασκεν] ἔφασκον F 19 καὶ αὐτῆς καταντήσας] κατηντήσας καὶ αὐτῆς B 20 Θεσσαλονίκης] τῆς Θεσσαλονίκης BU 21 ὡς — 23 πλευράν.] ἀξίως ὧν κατὰ ῥωμαίων εἰργάσατο U 24 γὰρ om. F ‖ ἀληθῶς] ἀληθὲς U ‖ Ῥωμαίων] τῶν ῥωμαίων U 25 συνέβη] ξυνέβη BU

σασθαι, περιγενέσθαι βεβούληται μηχαναῖς. καὶ ὁ μὲν ἔκειτο
Nic. Greg. μακράν που τῆς Ἀδριανουπόλεως, ἐκπέμπει δὲ κατὰ τῶν
ed. B. I 15 Ἰταλῶν τοὺς Σκύθας τῇ Σκυθικῇ στρατείᾳ κατ' αὐτῶν
χρήσασθαι. Ἰταλοῖς μὲν οὖν ἔθος ἐφ' ἵπποις ὑψαύχεσιν
ἐποχεῖσθαι καταφράκτοις τε δι' ὅλου εἶναι τοῖς ὅπλοις τοῦ
σώματος, κἀντεῦθεν δυσκινήτως κατὰ τῶν ἐναντίων ὁρμῶσι·
Σκύθαι δὲ κουφότερον ὡπλισμένοι ἐλευθερώτερον ἐπιπηδῶσι
τοῖς ἐναντίοις. οὗ μὴ ξυνιέντες οἱ Ἰταλοὶ παρὰ τῶν Σκυ-
θῶν καταστρατηγοῦνται καὶ νικῶνται, ὥστε καὶ αὐτὸν τὸν
βασιλέα Βαλδουῖνον ὑπ' αὐτῶν ἁλῶναι καὶ δέσμιον ἀπα-
1205 χθῆναι πρὸς τὸν βασιλέα Βουλγάρων Ἰωάννην· οὗπερ, ὥς
φασι, καὶ τὴν κεφαλὴν μετὰ τὴν σφαγὴν εἰς κύπελλον χρη-
Nic. Acom. ματίσαι τῷ βαρβάρῳ, τῶν ἐντὸς ταύτης πάντων κεκαθαρ-
ed. B. 847 μένην καὶ κόσμῳ περιπυκασθεῖσαν κύκλωθεν. οἱ μὲν οὖν
Ἀδριανουπολῖται ἐκ τοῦ παραυτίκα τὸ γεγονὸς οὐκ ἐγνώρισαν·
25 ed. B. εἰ γὰρ ᾔδεισαν, ἐξῄεσαν ἂν τῆς πόλεως καὶ λείαν αὐτῶν
ἐπεποιήκεισαν τὰς Ἰταλικὰς σκηνάς. οἱ γοῦν ἀπολειφθέντες
Ἰταλοὶ φῶτα λαμπρὰ ἐν ταῖς σφετέραις ἀνάψαντες σκηναῖς
καὶ ὑποψίαν δόντες τοῖς πολίταις ὡς πάρεισι, μέσων νυκτῶν
φυγάδες περὶ τὴν Κωνσταντίνου χωροῦσι. πρωΐας γοῦν
γνόντες τοῦτο οἱ τῆς Ἀδριανοῦ οἰκήτορες τὰ ἐλλελειμμένα
ταῖς σκηναῖς ἐληΐσαντο. ὁ μὲν οὖν βασιλεὺς Βουλγάρων
κατὰ τὰ ὑπεσχημένα τοῖς Ἀδριανουπολίταις ἐγκρατὴς γενέ-
σθαι τῆς σφῶν πόλεως ὥρμησεν, οἱ δὲ ἀπηνήναντο τοῦτο.
δυσανασχετήσας οὖν ἐπὶ τῇ ἀπάτῃ ὁ τῶν Βουλγάρων βασι-
λεὺς πολιορκῆσαι τούτους ἠθέλησεν. ἀλλ' ἀφυεῖς παντελῶς
εἰς πολιορκίαν οἱ Βουλγάροι· οὔτε γὰρ ἑλεπόλεις οἴδασι στῆ-
σαι οὔτε τι ἄλλο τῶν δυναμένων πορθῆσαι διανοήσασθαι.

---

1 βεβούληται] βεβούλευται U 3 στρατείᾳ] στρατίᾳ B ‖ κατ' αὐτῶν χρήσασθαι] χρήσασθαι κατ' αὐτῶν BU 8 οὗ] ὃ prim. m. in οὗ A ‖ ξυνιέντες] ξυνιόντες a 9 καταστρατηγοῦνται] στρατηγοῦνται A ‖ καὶ νικῶνται om. BU 10 ἀπαχθῆναι] ἀχθῆναι U 16 ᾔδεισαν] εἴδησαν A a ‖ αὐτῶν] πολλὴν F 17 ἐπεποιήκεισαν] πεποιήκεισαν U 20 περὶ] παρὰ U ἐπὶ b 21 Ἀδριανοῦ] τοῦ Ἀδριανοῦ U 22 οὖν] γοῦν U 25 ἐπὶ—βασιλεὺς A, sed vid. 5,8; ὁ τῶν βουλγ. βασ. τῇ ἀπάτῃ O 26 ἀφυεῖς] ἀφιεὶς U 27 γὰρ om. U 28 οὔτε τι ἄλλο A οὐθ' ἕτερόν τι O

ἀπάρας γοῦν ἐκεῖθεν ὁ τῶν Βουλγάρων βασιλεύς, μὴ ἔχων τὸ ἐμποδὼν ὡς τῶν Ἰταλῶν αὐτοῦ καταπορθηθέντων τὸ ἔσχατον, ἑτέρου δὲ μὴ ὄντος τοῦ ἀνθισταμένου, πᾶσαν κατατρέχει Μακεδονίαν. λείαν οὖν παμπόλλην ἐποιήσατο, αὐτάνδρους τὰς πόλεις ἀνδραποδισάμενος καὶ τέλεον κατασκάψας αὐτάς. τὸ δέ οἱ διανόημα ἦν, ὡς μήποτε Ῥωμαίους ἀνάκλησιν σχεῖν τῶν σφετέρων ἐπιδράξεσθαι πόλεων. κατέσκαψε γοῦν ἐκ βάθρων αὐτῶν τὴν Φιλιππούπολιν, θαυμαστὴν ἄγαν οὖσαν, ἥτις παρὰ τῷ Ἕβρῳ κεῖται, εἶτα τὰς ἄλλας πάσας πόλεις, τὴν Ἡράκλειαν, τὸ Πάνιον, τὴν Ῥαι- 26 ed. B.
δεστόν, Χαριούπολιν, Τραϊανούπολιν, Μάκρην, Κλαυδιούπολιν, Μοσυνούπολιν, Περιθεώριον καὶ ἄλλας πολλάς, ἃς ἀριθμεῖν οὐ χρεών. τὸν δὲ λαὸν ἀπάρας ἐκεῖθεν περὶ τὰς παραρροίας καθίζει τοῦ Ἴστρου, ἐκ τῶν ἰδίων τῶν ἠνδραποδισμένων κωμῶν καὶ πόλεων τὰς κλήσεις ἐπιθεὶς ταῖς οἰκήσεσιν. ἀντάμυναν οὖν, ὡς ἔφασκεν, ἐποιεῖτο τῶν ὧν εἰργάσατο πρὸς Βουλγάρους κακῶν ὁ βασιλεὺς Βασίλειος, καὶ καλεῖσθαι μὲν ἔλεγεν ἐκεῖνον Βουλγαροκτόνον, Ῥωμαιοκτόνον δὲ ὠνόμαζεν ἑαυτόν. μέχρι γοῦν καὶ αὐτῆς κατ- αντήσας Θεσσαλονίκης ἐκεῖσε θνήσκει πλευρίτιδι νόσῳ 1207
κατασχεθείς, ὡς δέ τινες ἔλεγον ὅτι ἐκ θεομηνίας αὐτῷ ὁ θάνατος γέγονεν· ἔδοξε γὰρ αὐτῷ καθ' ὕπνους ἔνοπλον ἄνδρα ἐπιστῆναι αὐτῷ καὶ δόρατι πλῆξαί οἱ τὴν πλευράν. ἦν γὰρ καὶ ἀληθῶς ὡς οὐδέποτε τῇ Ῥωμαίων τοσαῦτα παρά του συνέβη κακά, ὡς καὶ ὄνομα τεθῆναι τούτῳ ἐκ

---

1 ὁ — βασιλεύς] ὁ βασιλεὺς τῶν βουλγάρων B ὁ βασιλεὺς βουλγάρων U 2 τῶν] τὸν B corr. ab ‖ αὐτοῦ] παρ' αὐτοῦ U 3 τὸ] εἰς U ‖ ἑτέρου] ἐξ ἑκατέρου F 4 παμπόλλην] πολλὴν F 7 σχεῖν] ἔχειν prim. m. in σχεῖν A ‖ ἐπιδράξεσθαι A ἐπιδράξασθαι O 9 εἶτα] εἶτα καὶ U 10 πόλεις] πόλεις ἀνδραποδισάμενος καὶ τέλεον κατασκάψας καὶ αὐτάς, U ‖ sec. τὴν] τὸν F 12 Μοσυνούπολιν] μοσυνόπολιν FU ‖ post Περιθεώριον ⟨Πόρους⟩ suppl. ex s? ‖ πολλάς, ἃς om. U 14 παραρροίας] παραρρείας F 16 οὖν] γοῦν U ‖ ἔφασκεν] ἔφασκον F 19 καὶ αὐτῆς καταντήσας] κατηντήσας καὶ αὐτῆς B 20 Θεσσαλονίκης] τῆς Θεσσαλονίκης BU 21 ὡς — 23 πλευράν.] ἀξίως ὧν κατὰ ῥωμαίων εἰργάσατο U 24 γὰρ om. F ‖ ἀληθῶς] ἀληθὲς U ‖ Ῥωμαίων] τῶν ῥωμαίων U 25 συνέβη] ξυνέβη BU

κυνὸς τὴν ἐπίκλησιν ἔχον· Σκυλοϊωάννης γὰρ ἐπεκλήθη τοῖς πᾶσι. τὸ γὰρ Σκυθῶν γένος ἰδιοποιησάμενος καὶ κοινωνήσας αὐτοῖς συγγενείας καὶ τρόπου μετασχὼν ἐκ φύσεως θηριωδεστέρου, φόνοις ἐνετρύφα Ῥωμαίων. ὡς γοῦν οὑτοσὶ ἐτεθνήκει, ὁ τῆς ἀδελφῆς αὐτοῦ παῖς Βορίλλας τοὔνομα, τὴν Σκυθίδα θείαν γαμετὴν εἰληφώς, τῆς ἀρχῆς τῶν Βουλγάρων γέγονεν ἐγκρατής. τὸν δὲ τοῦ Ἀσὰν παῖδα Ἰωάννην ἀφήλικα ἔτι ὄντα κρύφα τις λαβὼν ἐπειρήκει, ὡς
27 ed. B. περὶ τοὺς Σκύθας κεχώρηκε. καὶ ταῦτα μὲν τὰ περὶ Βουλγάρων· ὁ λόγος δὲ τὰ μετὰ ταῦτα τοῖς οἰκείοις ἐξιστορήσει καιροῖς.

Ephraem. ed. B. v. 7633 14. Ὁ δὲ Μιχαήλ, ὃν ἱστορήσας ὁ λόγος πέφθακε τῆς Ἠπείρου κατάρξαι καί τινος μέρους τῆς χώρας Ῥωμαίων, τρεῖς κασιγνήτους ἐκέκτητο, τὸν Κωνσταντῖνον, τὸν Θεόδωρον καὶ τὸν Μανουήλ. ὧν ὁ μὲν Θεόδωρος τῷ βασιλεῖ Ῥωμαίων συνῆν Θεοδώρῳ τῷ Λάσκαρι, ὑπηρετῶν αὐτῷ ὡς καὶ οἱ λοιποὶ τῶν Ῥωμαίων. διὰ τοῦτο παρακαλεῖ τὸν βασιλέα Θεόδωρον ὁ Μιχαήλ, ἵνα τοῦτον πρὸς αὐτὸν ἐκπέμψῃ διὰ τὸ μὴ ἔχειν ἔτι παῖδα εἰς ἥβην ἐλθόντα, ἀλλ' οὐδὲ γνήσιον — ὁ γὰρ αὐτῷ γεννηθεὶς Μιχαὴλ ἐκ παλλακῆς ἐκείνῳ γεγένηται, περὶ οὗ ἐροῦμεν ἐν τοῖς μετέπειτα — καὶ τοῦ θανάτου δὲ δεδιέναι τὸ ἄωρον· τοὺς γὰρ λοιποὺς τῶν ἀδελφῶν ἀφυεῖς ἐγίνωσκεν εἰς ἀρχήν. τοῦτον δὲ τὸν Θεόδωρον ὁ βασιλεὺς ἐκπέμπει τῷ ἀδελφῷ Μιχαήλ, ὅρκοις

1 ἔχον] ἔχων FU ‖ Σκυλοϊωάννης] κυνοϊωάννης U ‖ γὰρ] καὶ γὰρ B 2 πᾶσι] πᾶσιν B ‖ τὸ γὰρ A τῶν γὰρ F τὸ γὰρ τὸ a τὸ γὰρ τῶν O 3 συγγενείας] συγγενείᾳ FG 5 οὑτοσὶ] οὑτωσὶ F ‖ τῆς ἀδελφῆς] τῇ ἀδελφῇ F ‖ Βορίλλας A βορίλας O Φρορίλλας a 6 Σκυθίδα] σκύθα F 8 Ἰωάννην] τὸν ἰωάννην F ‖ ἔτι ὄντα A ὄντα ἔτι O ‖ τις] τίς AB corr. ab ‖ ἐπειρήκει, ὡς A εἰρήκαμεν F ὡς εἰρήκειμεν O 9 περὶ] ἐπὶ b ‖ κεχώρηκε] κεχώρηκεν b 10 τὰ om. BU ‖ μετὰ ταῦτα om. U ‖ οἰκείοις] ἰδίοις ab 12 δὲ Μιχαήλ] μιχαὴλ δὲ F 13 Ἠπείρου] Ἐπείρου a ‖ κατάρξαι] κατάρξας A ‖ μέρους om. U 15 καὶ om. F 18 ἐκπέμψῃ] πέμψῃ U 19 ἔχειν ἔτι A ἔχειν U ἔτι ἔχειν O 20 γνήσιον] γνήσιον· τοῦ θανάτου δὲ δεδιέναι τὸ ἄωρον U ‖ γεννηθεὶς] γενηθεὶς ab 21 γεγένηται] γεγέννηται BF γεγένητο ab 22 καὶ — ἄωρον om. U 24 ἐκπέμπει] πέμπει B

πρῶτον ἐμπεδωσάμενος πίστιν δουλείας εἰς τοῦτον φυλάττειν καὶ εἰς τοὺς μετ' αὐτὸν τῶν Ῥωμαίων κατάρξοντας. ὃς καὶ ἀφικόμενος συνῆν τῷ ἀδελφῷ Μιχαήλ. μετ' οὐ πολὺ δὲ φονεύεται παρά του τῶν ὑπηρετῶν ὁ Μιχαὴλ νύκτωρ ἐπὶ τῆς κλίνης συγκαθεύδων τῇ γυναικί· Ῥωμαῖος δὲ ἦν τῷ φονευτῇ τοὔνομα. ἐπιλαμβάνεται γοῦν τῆς ἐξουσίας 1214 ἐκείνου ὁ ἀδελφὸς Θεόδωρος, ἔχων καὶ τοὺς ἀδελφοὺς Κωνσταντῖνον καὶ Μανουήλ. ἄρξαι δὲ βουληθεὶς πάνυ γε ἐπηύξησε τὴν αὐτοῦ ἀρχήν· ἔκ τε γὰρ τῶν Ἰταλῶν 28 ed. B. οὐκ ὀλίγην χώραν ἐκτήσατο κἀκ τῶν Βουλγάρων πολλήν· τήν τε γὰρ Θεσσαλίαν ὑφ' ἑαυτὸν ἐποιήσατο, Ἀχρίδα τε καὶ Πρίλαπον, Ἄλβανόν τε καὶ αὐτὸ τὸ Δυρράχιον· ἔνθα καὶ Πέτρον μετὰ μεγίστης στρατιᾶς ἐξ Ἰταλίας ὁρμώμενον καὶ ὡς πρὸς τὴν Κωνσταντίνου πεποιημένον τὴν δίοδον, ἀνηγορευμένον πρὸς τοῦ πάπα καὶ βασιλέα, αὐτοῦ που γεγενημένον προχειρωσάμενόν τε καὶ αὐτὸ τὸ Δυρράχιον γενναίως κατετροπώσατο. ὁ μὲν οὖν ῥηθεὶς Πέτρος γαμβρὸς ὑπῆρχεν ἐπ' ἀδελφῇ τοῦ πρώτως βασιλεύσαντος ἐκ τοῦ Λατίνων μέρους Βαλδουΐνου καὶ τοῦ μετ' αὐτὸν Ἐρῆ, ἐκαλεῖτο δὲ ἡ αὐτῶν ἀδελφὴ Ἰολεντία, ἐξ ἧς παῖδες τῷ Πέτρῳ γεγένηνται τρεῖς, ὅ τε Φίλιππος, ὁ Ῥομπέρτος καὶ ὁ Βαλδουῖνος, ὧν ὁ μὲν Ῥομπέρτος καὶ ὁ Βαλδουῖνος τῆς Κωνσταντίνου βεβασιλεύκασι, τοῦ πρώτου αὐτῶν ἀδελφοῦ τοῦ Φιλίππου τῷ ἀδελφῷ Ῥομπέρτῳ τῆς βασιλείας παραχωρήσαν-

---

1 πρῶτον] πρότερον U 2 τῶν om. BU ‖ κατάρξοντας Oab κατάρ$\overset{ο}{ξ}$αντος prim. m. B κατάρχοντος U 4 δὲ U om. A καὶ O cf. 26,18 6 τοὔνομα] τὸ ὄνομα U 7 post ἔχων add. ὑφ' ἑαυτὸν s 9 γε om. BU τε F ‖ ἀρχήν] βασιλείαν U 10 ἐκτήσατο] ἐπεκτήσατο s ‖ πολλήν om. U 11 γὰρ om. U ‖ Ἀχρίδα] ἀχρίδαν FG 12 Πρίλαπον] πρίλλαπον U ‖ Ἄλβανόν] ἀλβανόν FG 13 ὁρμώμενον] ὡρμημένον? 14 πρὸς τὴν] πρὸς U ‖ Κωνσταντίνου AF κωνσταντίνου πόλιν U κωνσταντινούπολιν O 15 τοῦ πάπα] τὸν πάππα U ‖ βασιλέα] βασιλέως a 16 προχειρωσάμενόν] χειρωσάμενόν F 18 πρώτως] πρότερον U ‖ ἐκ—Βαλδουΐνου] βαλδουίνου ἐκ τοῦ τῶν λατίνων μέρους U 19 Ἐρῆ] Ἐρρῆ b 20 Ἰολεντία A ἰολέντα O
21 γεγένηνται AUab γεγέννηνται O ‖ Ῥομπέρτος] ῥομπέλτος λ in ras. B corr. ab 23 αὐτῶν ἀδελφοῦ] ἀδελφοῦ αὐτῶν U

τος. ὑπῆρχον δέ σφισι καὶ ἀδελφαί, ὧν μία Μαρία ἦν,
ᾗ συνεζύγη ὁ βασιλεὺς Θεόδωρος. ὁ μὲν οὖν δηλωθεὶς
Θεόδωρος, καθὼς εἰρήκειν, τὸ οἰκεῖον παραλαβὼν στράτευμα
ἀντιτάττεται τῷ Πέτρῳ, μικρὸν ὑπερπηδήσαντι τὸ Δυρράχιον
καὶ ἐν ταῖς τοῦ Ἀλβάνου δυσχωρίαις γεγενημένῳ. νικῶσι
γοῦν κατὰ κράτος οἱ τοῦ Κομνηνοῦ Θεοδώρου τὸ τῶν
Λατίνων στράτευμα, ὡς πάντας ἄρδην δεσμώτας ποιῆσαι σὺν
29 ed.B. πᾶσι σκεύεσι, καὶ αὐτὸν δὲ τὸν βασιλέα Πέτρον ἔργον μαχαί-
1217 ρας γενέσθαι. τοῦτο δὴ τότε μέγα Ῥωμαίοις ἐγεγόνει βοήθημα.
Ephraem. 15. Ἀλλ' ὁ λόγος μοι καὶ πάλιν ἐπὶ τὸν βασιλέα Θεό-
ed.B.v.7882 δωρον τὸν Λάσκαριν ἐφορμᾷ. οὗτος γὰρ ἐκ τῆς αὐτοῦ
γαμετῆς Ἄννης, ὡς ἔφην, τρεῖς ἐποιήσατο θυγατέρας, Εἰρήνην,
Μαρίαν καὶ Εὐδοκίαν. τὴν γοῦν Μαρίαν τὴν δευτέραν τῶν
αὐτοῦ θυγατέρων τῷ ῥηγὶ Οὐγγρίας διερχομένῳ τὴν αὐτοῦ
χώραν ἐκ τῶν Ἱεροσολύμων εἰς κῆδος ἐπὶ υἱῷ παραδίδωσι,
τὴν δὲ πρώτην αὐτοῦ θυγατέρα τὴν Εἰρήνην ἀνδρὶ συζεύ-
γνυσι τῷ Παλαιολόγῳ Ἀνδρονίκῳ, ὃν καὶ δεσπότην τετίμηκε.
μετ' οὐ πολὺ δὲ ὁ δεσπότης Παλαιολόγος θνήσκει, ὡς μὲν
τινες ἔφασκον, ἐξ ἐρωτικῶν διαθέσεων, καὶ προσλαμβάνεται
1212 ὁ βασιλεὺς εἰς γαμβρὸν Ἰωάννην τὸν Δούκαν, οὗ Βατάτζης
τοὐπίκλην· καὶ ἐκ Διδυμοτείχου ἦν ὡρμημένος, τὸ τοῦ
πρωτοβεστιαρίτου διενεργῶν ὀφφίκιον. ἡ μὲν οὖν βασιλὶς
Ἄννα ἔφθη πρὸ καιροῦ τελευτῆσαι, ἠγάγετο δὲ ἐξ Ἀρμενίων
γυναῖκα ὁ βασιλεύς. δυσαρεστήσας δὲ πρὸς αὐτὴν πρὸς τὴν

---

1 μία—2 ᾗ] τῇ μίᾳ τῇ μαρίᾳ U 3 παραλαβὼν] παλαβὼν B corr. ab 4 ἀντιτάττεται] τάττεται sec. m. παρα supra lin. add. F ‖ ὑπερπηδήσαντι] ἐπιπηδήσαντι A ut mihi vid. fals. cf. 8,4; 22,7 et 25,16 5 τοῦ om. U ‖ Ἀλβάνου] ἀλβανοῦ Uab ‖ γεγενημένῳ] γενομένῳ U 9 δὴ] δὲ U ‖ Ῥωμαίοις A τοῖς ῥωμαίοις O ‖ μέγα post τοῖς Ῥωμαίοις U 11 αὐτοῦ γαμετῆς] γαμετῆς αὐτοῦ U 14 αὐτοῦ om. A ‖ Οὐγγρίας AFab οὐγκρίας BGU 15 υἱῷ] τῷ υἱῷ Fb 16 θυγατέρα] θυγατέραν FG 17 τετίμηκε] τετίμηκεν F 18 ὡς—19 διαθέσεων om. BG 18 δεσπότης] δεσπότης οὗτος ὁ U 20 οὗ] ὧ U ‖ Βατάτζης] βατάτζην F 21 τοὐπίκλην] τὸ πίκλην B τὸ ἐπίκλην ab ‖ Διδυμοτείχου FU διδυμοτοίχου Gab διδυμο^τχ B οι prim. m. in ει A 22 πρωτοβεστιαρίτου] πρωτοβεστιαρίου U 24 ὁ βασιλεὺς ante ἐξ pos. U ‖ post βασιλεὺς add. τὴν θυγατέρα τοῦ ἐκεῖσε ῥηγὸς τοῦ λεβούνη s ‖ πρὸς τὴν] ἐπὶ τὴν b

ἰδίαν πατρίδα τὴν Κιλικίαν ἐκπέμπει, ἐπιφέρει δὲ αὐτῷ Ephraem.
γαμετὴν τὴν τοῦ βασιλεύοντος τῶν Ἰταλῶν ἀδελφήν, ὃς ed. B. v. 7717
Ῥομπέρτος, ὡς ἔφην, ἐκέκλητο καὶ τὸν θεῖον Ἐρῆν διεδέξατο. 1221
ὅστις Ἐρῆς πολλῶν πολέμων αἴτιος ἐγένετο τῷ βασιλεῖ Θεο-
δώρῳ καὶ πολλὰς πόλεις καὶ χώρας τῶν Ῥωμαίων ὑφ' ἑαυ-
τὸν ἐποιήσατο. ἀνδρεῖος γὰρ ὢν καὶ περὶ μάχας ὀξύρροπος, 30 ed. B.
καὶ τεταπεινωμένα τὰ τῶν Ῥωμαίων ὁρῶν καὶ μάλιστα ἐξ ὅτου
τὸν σουλτὰν πεφόνευκεν ὁ βασιλεὺς Θεόδωρος — τότε γὰρ
τὸ ἐκ Φράγγων προσὸν αὐτῷ ἀπολώλεκε στράτευμα, ἐν ᾧ
καὶ τὰς πρὸς τοὺς ὁμογενεῖς τεθαρρηκὼς ἦν μάχας καὶ οὓς
καὶ ὁ βασιλεὺς Ἐρῆς ἐδεδίει· πολλοὶ γὰρ ἦσαν ὀνομαστοὶ
ἀπό τε γένους ἀπό τε μὴν τῆς προσούσης ἐκείνοις ἀνδρείας.
διὰ ταῦτα, ὥς φασί τινες, καὶ τὴν τοῦ βασιλέως νίκην ἀκη-
κοὼς ὁ Ἐρῆς 'νενίκηται' ἔφη 'ὁ Λάσκαρις, οὐ νενίκηκεν'.
ἵνα γοῦν μὴ πολὺν κατατείνω λόγον τῆς ἱστορίας, τοῦτ' ἂν
μόνον εἰπὼν τὸ πᾶν παραστήσαιμι. μέχρι καὶ αὐτοῦ τοῦ
Νυμφαίου τὰς σκηνὰς ὁ Ἐρῆς ἐπήξατο, κατ' ἐρημίαν πολλὴν
τοῦ κωλύοντος, ἐκεῖθέν τε ὑποστρέψας τὸ μὲν τοῖς κρατη-
θεῖσι κορεσθείς, τὸ δὲ καὶ ἐκεχειρίαν ἐθελήσας λαβεῖν, —
οὐ γὰρ ἄγαν καρτερικὸν τὸ Λατινικὸν φῦλον ἐν ταῖς μάχαις
καθέστηκεν — εἰς ξυμβάσεις ἦλθε μετὰ τοῦ βασιλέως Θεο- 1212
δώρου. καὶ συνεφωνήθη τὰ μὲν τοῦ Κεμινᾶ πάντα —

---

1 ἰδίαν] οἰκείαν F ‖ δὲ αὐτῷ Aab δὲ αὐτοῦ F δ' αὐτῷ U δ' ἑαυτῷ BG 2 τῶν om. U 3 Ἐρῆν] Ἐρῆ a Ἐρρῆ b 4 ὅστις] οὗτος καὶ γὰρ ὁ BGU ‖ Ἐρῆς] Ἐρρῆς b ‖ πολλῶν — 6 ἐποιήσατο] πολλὰ πράγματα παρέσχε ῥωμαίοις καὶ αὐτῷ τῷ βασιλεῖ θεοδώρῳ BGU 6 ὢν] ἦν U ‖ καὶ om. ab ‖ περὶ] πρὸς F ‖ μάχας] μάχαις U 7 καὶ om. U 9 ἐκ Φράγγων] ἐκ Φράγκων b ἐξ ἰταλῶν U 10 τὰς] ταῖς U ‖ μάχας] μάχαις U ‖ καὶ οὓς om. U οὓς ab 11 Ἐρῆς] Ἐρρῆς b 12 τε γένους] γένους U ‖ προσούσης] προσηκούσης A ‖ ἐκείνοις] ἐκείνης F ‖ ἀνδρείας] ἀνδρίας ab 13 ἀκηκοὼς — 14 οὐ om. A 14 Ἐρῆς] Ἐρρῆς b 15 γοῦν] δὲ U ‖ λόγον] τὸν λόγον U 16 μόνον εἰπὼν] εἰπὼν μόνον F ‖ τὸ πᾶν] τὰ πάντα U ‖ παραστήσαιμι] παραστήσαι μοι U 17 τὰς σκηνὰς post Ἐρῆς pos. U ‖ Ἐρῆς] Ἐρρῆς b 18 τοῦ] οὐδενὸς ab 19 καὶ om. U 20 οὐ] οὐδὲ F ‖ φῦλον] φῦλλον F 22 τὰ μὲν om. U ‖ τοῦ om. F ‖ Κιμινᾶ] Καμινᾶ a

οὕτω γὰρ τὸ ὄρος καλεῖται τὸ ἐγγὺς τῆς Ἀχυράους τυγχάνον — μετὰ καὶ αὐτῆς τῆς Ἀχυράους παρὰ τοῦ τῶν Φράγγων μέρους δεσπόζεσθαι, τὸν δὲ Κάλαμον — κώμη δέ ἐστιν ὁ Κάλαμος, ἐξ οὗ τὸ τῶν Νεοκάστρων ἄρχεται θέμα — μένειν ἄοικον, τὰ δ' ἐντεῦθεν παρὰ τοῦ βασιλέως Θεοδώρου δεσπόζεσθαι· Νεόκαστρα δὲ ταῦτα ἦν καὶ Κελβιανόν, Χλιαρά τε καὶ Πέργαμος καὶ τὰ πλαγίως ἐγκείμενα Μαγιδία τε καὶ
31 ed. B. Ὀψίκια. ὑπῆρχε δὲ καὶ ἄλλη χώρα τῷ βασιλεῖ Θεοδώρῳ, ἡ ἀπὸ τοῦ Λοπαδίου ἀρχομένη καὶ Προῦσαν περιλαμβάνουσα καὶ Νίκαιαν. καὶ οὕτω μὲν συνέβη τῷ βασιλεῖ Θεοδώρῳ τὰ πράγματα.

16. Ὁ δ' εἰρημένος Ἐρῆς, εἰ καὶ Φράγγος τὸ γένος ἐτύγχανεν, ἀλλ' οὖν τοῖς Ῥωμαίοις καὶ ἰθαγενέσι τῆς Κωνσταντίνου ἱλαρώτερον προσεφέρετο, καὶ πολλοὺς εἶχε τοὺς μὲν τοῖς μεγάλοις τούτου συντεταγμένους, τοὺς δὲ τοῖς στρατιώταις, τὸ δὲ κοινὸν πλῆθος ὡς οἰκεῖον περιεῖπε λαόν. καὶ γὰρ περιγενόμενος τῶν Ῥωμαϊκῶν ἄστεων Λεντιανῶν τε καὶ Ποιμανηνοῦ καὶ ἄνδρας τὸν Ἄρην πνέοντας καὶ ἔργα ψυχῆς γενναίας ἐνδειξαμένους ὡς ἕρμαιόν τι ἐδέξατο ἐφευρών. ἐν γὰρ τῷ τῶν Λεντιανῶν ἄστει οὐ μόνον σπάνις ὕδατος τοὺς φυλάττοντας ἐξέκαυσεν, οὐδ' ὅτι καὶ ὁ λιμὸς καὶ σκύτη φαγεῖν αὐτοὺς κατηνάγκασε τὰ ἀπὸ τῶν ἀσπίδων καὶ ἐφεστρίδων αὐτῶν, ἀλλὰ καὶ τεῖχος οὐ μικροδιάστατον ταῖς ἑλεπόλεσι καταπεσὸν μετὰ μεγίστης πυρκαϊᾶς τεσσαράκοντα

---

1 ἐγγὺς] ἐγγύς που U ‖ τυγχάνον — 2 Ἀχυράους om. U 2 αὐτῆς τῆς] τῆς αὐτῆς A ‖ Φράγγων] Φράγκων b 3 μέρους] μέρος U γένους F ‖ κώμη δέ] κώμη γάρ F 4 μένειν — 5 δεσπόζεσθαι om. A 5 δ'] δὲ ab 6 Χλιαρά] Χλίαρά ab 7 Μαγιδία] Μαγιδιά B Μαγίδιά Fab 8 post χώρα ⟨τότε⟩ suppl. ex s? 9 περιλαμβάνουσα] περιλαμβάνουσαν F 10 συνέβη A ξυνέβη O 12 δ'] δὲ ab ‖ Ἐρῆς] Ἐρρῆς b ‖ Φράγγος] Φράγκος b 13 ἐτύγχανεν] ἐτύγχανε F ‖ τοῖς om. F ‖ καὶ] καὶ τοῖς F 14 ἱλαρώτερον] ἱλαρότερον F 16 ὡς] εἰς U 17 Ῥωμαϊκῶν] τῶν ῥωμαίων U λοιπῶν U 18 καὶ ἄνδρας] ἄνδρας U ‖ ἔργα post γενναίας pos. F 19 ὡς om. a ‖ ἐφευρών] ἐφευρὼν αὐτούς U 20 τῷ] τὸ A 21 φυλάττοντας] φυλάσσοντας U ‖ καὶ om. ab ‖ καὶ σκύτη om. F 22 κατηνάγκασε] κατηνάγκασεν ab 23 ἑλεπόλεσι] ἑλεπόλεις F 24 καταπεσόν] καταπεσὼν F

ἡμέρας ἐφύλασσον τοῦτο, ἀμοιβαδὸν τῇ πυρκαϊᾷ προσεπισωρεύοντες ξύλα. κρατηθέντος γοῦν τοῦ ἄστεος οὐδεὶς ἐξ αὐτῶν ἀπολέλυται εἰ μὴ μόνος ὁ τοῦ βασιλέως αὐτάδελφος καὶ ὁ εἰς ἡγεμόνα τοῦ στρατεύματος τεταγμένος Δερμοκαΐτης καὶ ὁ Παλαιολόγος Ἀνδρόνικος, ὅν, ὡς ὁ λόγος δηλῶσαι πέφθακε, καὶ εἰς τὴν θυγατέρα αὐτοῦ Εἰρήνην γαμβρὸν ὁ βασιλεὺς προσελάβετο. πάντας δὲ τοὺς ἄλλους ὁ Ἐρῆς συλλεξάμενος καὶ κατὰ ἴλας συντάξας καὶ ὁμογενεῖς αὐτοῖς 32 ed. B. παραδοὺς ἡγεμόνας, ὑπερέχειν δὲ πάντων τὸν Θεοφιλόπουλον Γεώργιον παρακελεύσας, τὴν τῶν ἀνατολικῶν μερῶν αὐτοῖς φυλακὴν ἐνεπίστευσε.

17. Τουτουῒ δὲ τοῦ Ἐρῆ τῆς Κωνσταντίνου κατάρχοντος, ἀπεστάλη παρὰ τοῦ πάπα πρὸς τὴν βασιλίδα τῶν πόλεων ἀρχιερεύς, ὃν καὶ λεγάτον αὐτοί φασι, τοὔνομα Πελάγιος, 1213 ἅπαντα τὰ προνόμια τοῦ πάπα φέρων· ἐρυθροβαφῆ καὶ γὰρ ὑπεδέδετο πέδιλα, ἐκ τῆς αὐτῆς δὲ χροιᾶς καὶ τὰ ἐνδύματα εἶχε, καὶ ἡ ἐφεστρὶς δὲ τοῦ ἵππου καὶ τὰ χαλινὰ τῷ τοιούτῳ ἐβάπτοντο χρώματι. ἤθους δὲ τυχὼν ἀγριωτέρου καὶ ἀλαζονείᾳ χρώμενος πολλὰ δεινὰ ἐνεδείξατο ἐν τοῖς τῆς Κωνσταντίνου οἰκήτορσι. καὶ ἡ σκῆψις ὡς εὔλογος· ἠνάγκαζε γὰρ τοὺς πάντας τῇ τῆς πρεσβυτέρας Ῥώμης ὑποκύψαι ὑποταγῇ. ἐντεῦθεν καθείργνυντο μοναχοί, ἱερεῖς ἐδεσμοῦντο καὶ ναὸς ἅπας ἐκέκλειστο. καὶ ἦν ἐν αὐτῷ δυοῖν θάτερον, ἢ ὁμολογῆσαι τὸν πάπαν πρῶτον ἀρχιερέα καὶ τούτου τὴν

---

1 ἐφύλασσον A ἐφύλαττον O 2 ἄστεος] ἄστεως ab 3 αὐτάδελφος] ἀδελφὸς U 5 δηλῶσαι πέφθακε] πεφθάκει δηλώσας U πέφθακε δηλῶσαι B 6 θυγατέρα] θυγατέραν U 7 Ἐρῆς] Ἐρρῆς b 10 παρακελεύσας] παρασκευάσας ab 11 αὐτοῖς φυλακὴν A φυλακὴν αὐτοῖς O 12 Τουτουῒ—κατάρχοντος] τουτωῒ τῷ ἐρῆ τ. κ. κατάρχοντι U ‖ Ἐρῆ] Ἐρρῆ b 13 πάπα] πάππα U 14 αὐτοί] αὐτόν U ‖ Πελάγιος] Πελάγιον Fb 15 προνόμια] προνόμια (οι suprascr.) B παράσημα U ‖ πάπα] πάππα U ‖ φέρων] φέροντος B φέροντα FGb 16 ὑπεδέδετο] ὑπεδέδυτο F 18 ἀλαζονείᾳ] ἀλαζονίᾳ A 19 δεινὰ] κακὰ U ‖ ἐνεδείξατο] ἐπεδείξατο U ‖ ἐν A ἐπὶ O ‖ τοῖς om. U 21 γὰρ A δὲ U καὶ γὰρ O 22 ἱερεῖς] οἱ ἱερεῖς A 23 ἐκέκλειστο] ἐγκέκλειστο F 24 πάπαν] πάππαν U

μνήμην ἐν ἱεροτελεστίαις ποιεῖν, ἢ θάνατον εἶναι τῷ μὴ διαπραξαμένῳ τοῦτο τὸ ἐπιτίμιον. τοῦτο εἰς βαρυθυμίαν ἦγε τοὺς οἰκήτορας τῆς Κωνσταντίνου καὶ μάλιστα τῶν ἄλλων τοὺς προύχοντας. οἳ καὶ πρὸς τὸν βασιλέα Ἐρῆν ἀφιγμένοι 'ἡμεῖς μὲν' ἔφασαν 'ἄλλου γεγονότες γένους καὶ ἄλλον ἀρχιερέα ἔχοντες, ἑαυτοὺς τῷ κράτει σου ὑπετάξαμεν ὥστε σωματικῶς κατάρχειν ἡμῶν, οὐ μήν γε πνευματικῶς 33 ed. B. καὶ ψυχικῶς. σοῦ μὲν γὰρ ἐν πολέμῳ ὑπερμαχεῖσθαι τῶν ἀναγκαίων, τῶν δ' ἡμετέρων ἐκστῆναι σεβασμάτων καὶ θρησκευμάτων τῶν ἀδυνάτων πάντη καθέστηκεν. ἢ γοῦν λῦσον ἡμῖν τὰ ἐπελθόντα δεινὰ ἢ ἄφες ὡς ἐλευθέρους ἐν τοῖς ἰθαγενέσιν ἀφῖχθαι'. ταῦτ' εἶπον, κἀκεῖνος μὴ βουλόμενος ἐν στερήσει γενέσθαι τοσούτων καλῶν κἀγαθῶν ἀνθρώπων, καὶ ἄκοντος τοῦ εἰρημένου λεγάτου τούς τε ναοὺς ἀνέῳξε καὶ τοὺς ὅσοι ταῖς εἰρκταῖς ἦσαν κατισχημένοι μοναχούς τε καὶ ἱερεῖς ἀπολέλυκε, καὶ τὸν κατασχόντα τότε τὴν Κωνσταντίνου κλύδωνα κατεστόρησε. πολλοὶ δὲ τῶν μοναχῶν προεξιόντες τῆς Κωνσταντίνου τῷ βασιλεῖ Θεοδώρῳ προσῆλθον, καὶ αὐτοῖς προστάξει τούτου μοναὶ πρὸς καταμονὴν ἐπιδέδοντο. καὶ πρεσβύτεροι δὲ πρὸς τὴν Νίκαιαν ἀπιόντες οἱ μὲν τῷ πατριαρχικῷ κλήρῳ συγκατηλέγησαν, οἱ δὲ θείοις ἐνασμενίσαντες τοῖς σηκοῖς ἐλευθέρως ἐβίωσαν. καὶ οὕτω μὲν ἐγεγόνει ταῦτα παρὰ τοῦ τότε βασιλεύοντος τῆς Κωνσταντίνου Ἐρῆ.

18. Τούτου δὲ τελευτήσαντος ὁ ἀδελφιδοῦς αὐτοῦ Ῥομ-

---

1 ἱεροτελεστίαις] ἱεροτελεστείαις F 2 βαρυθυμίαν] ἀθυμίαν U 4 οἳ] ἢ U ‖ βασιλέα ABU βασιλεύοντα FG ‖ Ἐρῆν] Ἐρρῆν b 5 ἔφασαν] ἔφθασαν B corr. ab 7 κατάρχειν] κατάρξαι U ‖ οὐ μήν γε] οὐχὶ δὲ U ‖ πνευματικῶς καὶ ψυχικῶς A ψυχικῶς καὶ πνευματικῶς O 8 σοῦ μὲν γὰρ] καὶ σοῦ μὲν U 9 ἐκστῆναι] ἐκστῆσαι F 10 πάντη] τοῦτο U πάντων a 11 ἐπελθόντα om. U 13 κἀγαθῶν] καὶ ἀγαθῶν B 15 εἰρκταῖς] εἱρκταῖς ab ‖ κατισχημένοι] κατισχυμένοι AF 16 τὴν] τῆς A 17 κατεστόρησε A κατεστόρεσε O 20 ἐπιδέδοντο A ἐπιδέδονται BG ἐπιδίδονται F ἐπεδίδοντο U 21 συγκατηλέγησαν] συγκατελέγησαν Fab 22 τοῖς om. U 23 ἐγεγόνει] ἐγένετο U ‖ ταῦτα om. U 24 Ἐρῆ] Ἐρρῆ b 25 ἀδελφιδοῦς A ἀδελφὸς FGUab -ος corr. in -ιδοῦς B in *marg. sec. m.* ἀδελφιδοῦς G

πέρτος μαλακώτερον ἐχρῆτο τοῖς πράγμασι. τούτου τὴν ἀδελ- 1221
φὴν εἰς γαμετὴν εἰλήφει ὁ βασιλεύς. οὐ πολλοὶ παρῆλ- Ephraem.
θον ἐνιαυτοί, καὶ ἐπεὶ ὁ τῆς Κωνσταντινουπόλεως βασιλεὺς ed. B. v. 7720
Ῥομπέρτος οὐκ ἔφθασε συζυγῆναι γυναικί, παράνομόν τι
πρᾶγμα βεβούληται ὁ βασιλεὺς διαπράξασθαι· ἐπὶ γὰρ τῇ
θυγατρὶ αὐτοῦ Εὐδοκίᾳ προσλαβέσθαι τουτονὶ γαμβρὸν
ᾑρετίσατο. ἔνθεν τοι καὶ ἔρις ἐκ τοῦ τότε πατριαρχοῦντος
Μανουὴλ τῷ βασιλεῖ ξυμβεβήκει, μηδ' ὅλως τῇ τοιαύτῃ 34 ed. B.
ἀθεσμογαμίᾳ συγκατανεύοντος. ἀλλ' οὐκ ἔφθασεν ὁ βασι-
λεὺς τέρματι δοῦναι τὸ βούλημα· μήπω γὰρ στείλας ταύτην
εἰς Κωνσταντινούπολιν, ὡς ηὐτρέπιζε, καταλύει τὸν βίον, τὴν 1222
βασιλείαν αὐτοῦ καταλιπὼν τῷ γαμβρῷ αὐτοῦ Ἰωάννῃ τῷ
Δούκᾳ· οὐδὲ γὰρ εἶχεν ἄρρενα παῖδα εἰς ἥβην ἐλθόντα. ὃν
γὰρ ἐκ τῆς βασιλίδος Ἄννης ἔσχηκεν ἄρρενα παῖδα, τεθνά-
ναι προύφθασεν, ἐκ δὲ τῆς ἐξ Ἀρμενίων ὡρμημένης ἓν
παιδίον ἄρρεν πεποίηκεν, ὅπερ ὀκταετὲς ἦν, ἡνίκα ὁ βασι-
λεὺς καὶ πατὴρ αὐτοῦ ἐτεθνήκει. διὰ τὸ γοῦν ἀμοιρεῖν
αὐτὸν ἄρρενος ἐνήβου γονῆς ὁ ἐπὶ τῇ θυγατρὶ γαμβρὸς
αὐτοῦ τῆς βασιλείας κληρονομεῖ. ἦν δὲ ὁ βασιλεὺς Θεό-
δωρος ὁ Λάσκαρις, ὁπότε τὸ τέλος ἔσχε τοῦ βίου, τῶν μὲν
τεσσαράκοντα πέντε ἐτῶν ὑπερέκεινα, ἐλάττων δὲ τῶν πεν-
τήκοντα, βασιλεύσας ἐκ τούτων ἔτη δεκαοκτώ. ἦν δὲ τὸ Nic. Greg.
σῶμα μικρός, οὐκ ἄγαν δέ, μελάγχρους ἐφ' ἱκανόν, καθει- ed. B. I 24

---

1 ἐχρῆτο] ἐχρᾶτο BFG 2 εἰς—βασιλεύς] εἴληφεν εἰς γαμετὴν ὁ βασιλεὺς θεόδωρος U 3 Κωνσταντινουπόλεως] Κωνσταντίνου, πρότερον U 5 βεβούληται] βεβούλευται b ‖ διαπράξασθαι—6 γαμβρὸν] διαπράξασθαι ἐπὶ τῇ θυγατρὶ εὐδοκίᾳ· προσλαβέσθαι γὰρ τουτονὶ εἰς γαμβρὸν U ‖ γὰρ om. B 9 συγκατανεύοντος] συγκατανεύσαντος F 10 τέρματι] τέρμα τί G ‖ βούλημα] θέλημα BU 11 ηὐτρέπιζε] ηὐτρέπιζεν A 12 pr. αὐτοῦ A om. O 13 οὐδὲ A οὐ O ‖ ὃν γὰρ] οὓς γὰρ δύο BG in marg. βασιλεία ἰωάννου τοῦ δούκα A καὶ βατάτζη λεγομένου add. sec. m. 14 Ἄννης ἔσχηκεν] ἔσχηκεν ἄννης U ‖ ἄρρενα παῖδα] ἄρρενας παῖδας BG om. U ἄρρενας παῖδας νικόλαον καὶ ἰβόλαν D 15 προύφθασεν AF προύφθακεν U ‖ προύφθασαν BG 16 ἄρρεν] ἄρρενα B ‖ ὀκταετὲς] ὀκταετὴς U 17 τὸ γοῦν ἀμοιρεῖν AG τὸ ἀμοιρεῖν γοῦν BU γοῦν τὸ ἀμοιρεῖν F fort. recte 18 αὐτὸν om. F 19 Θεόδωρος ὁ Λάσκαρις] ὁ λάσκαρις θεόδωρος F 23 καθειμένον] καθημένον U

μένον ἔχων τὸ γένειον καὶ περὶ τὸ ἄκρον σχιζόμενον, ἐπ' ὀλίγον ἑτερόφθαλμος, περὶ τὰς μάχας ὀξύς, θυμοῦ τε καὶ ἀφροδισίων ἡττώμενος, ἐλευθεριώτερος ἐν ταῖς δωρεαῖς· οἷς γὰρ ἂν βούλοιτο, πολὺ τὸ χρυσίον ἐδίδοτο, ὡς ἐν ἀκαρεῖ τούτους πλουτεῖν. τεταλαιπώρηκε δὲ πάμπολλα ἐν ταῖς μάχαις ταῖς τε πρὸς Ἰταλοὺς καὶ τοὺς Πέρσας. ἀρχὴ γοῦν οὗτος ἐγεγόνει τῆς τῶν Ῥωμαίων ἀρχῆς, ᾧ καὶ πολλὴν χάριν 35 ed. B. *ὀφλεῖν τοῖς Ῥωμαίοις πάνυ δέον καθέστηκε. κατετέθη δὲ ὁ νεκρὸς αὐτοῦ ἐν τῇ τοῦ Ὑακίνθου μονῇ, ἔνθα καὶ ὁ βασιλεὺς Ἀλέξιος τέθαπται καὶ ἡ βασιλὶς Ἄννα ἡ τούτου σύζυγος.*

Ephraem. ed. B. v. 7852 19. *Καθὼς γοῦν εἰρήκειν, μετὰ τὴν τελευτὴν αὐτοῦ ἐπιλαμβάνεται τῶν Ῥωμαϊκῶν σκήπτρων Ἰωάννης ὁ Δούκας ὁ γαμβρὸς αὐτοῦ, στεφθεὶς παρὰ τοῦ πατριάρχου Μανουήλ, ὃς τὸν Μάξιμον διεδέξατο. μετὰ γὰρ τὴν τελευτὴν τοῦ πατριάρχου Μιχαὴλ ὁ Εἰρηνικὸς Θεόδωρος τῷ πατριαρχικῷ ἐνίδρυται θρόνῳ, ὃς καὶ Κωπᾶς ὑπὸ τῶν πολλῶν ἐκαλεῖτο· μετὰ δὲ ἐνιαυτοὺς ἓξ ἐκείνου τὸν βίον ἀπολιπόντος ὁ μοναχὸς Μάξιμος εἰς τὸν πατριαρχικὸν ἀνάγεται θρόνον, θεραπεύων τὴν γυναικωνῖτιδα καὶ ὑπὸ ταύτης ἀντιθεραπευόμενος· οὐδὲν γὰρ ἄλλο ἦν τὸ εἰς ταύτην ἀναβιβάσαν αὐτὸν τὴν περιωπήν. ἐπιβιοὺς δὲ μῆνας ἓξ τελευτᾷ, καὶ ὁ Μανουὴλ* 1215? *εἰς τὸν πατριαρχικὸν ἀνάγεται θρόνον, φιλόσοφος, ὡς ἐδόκει, ὢν καὶ ὑπὸ τῶν πολλῶν κατονομαζόμενος.*

20. *Ἐπὶ δὲ τὰ Βουλγάρων καὶ αὖθις ὁ λόγος χωρεῖ. ὁ πρῶτος βασιλεὺς τῶν Βουλγάρων Ἀσὰν δύο ἔσχεν υἱούς,*

---

1 *περὶ*] *πρὸς* b 5 *πάμπολλα*] *πάμπαν* F 6 *ἀρχὴ γοῦν οὗτος*] *ἀρχηγοῦντας* F 7 *τῶν* om. U ‖ *ἀρχῆς*] *βασιλείας* F 8 *καθέστηκε*] *καθέστηκεν* B 9 *Ὑακίνθου*] *ὑκίνθου*, in marg. *σοφωτάτου κυροῦ θεοδώρου τοῦ ἐξαπτερύγου* F 11 *σύζυγος*] *σύζυγος. βασιλεία ἰωάννου τοῦ βατάτζη: ἔτη τριάκοντα.* U 12 *Καθὼς—αὐτοῦ*] *καὶ* F ‖ *γοῦν*] *οὖν* U 13 *Ἰωάννης*] in marg. *βασιλεία δούκα τοῦ βατάτζη* sec. m. F in marg. *ἰωάννου τοῦ ἐλεήμονος* sec. m. B 14 *γαμβρὸς*] *γαβρὸς* B corr. ab ‖ *τοῦ* om. a 15 *τὴν τελευτὴν* post *πατριάρχου* pos. B corr. b 17 *Κωπᾶς*] *κοπᾶς* U ‖ *ὑπὸ* om. U ‖ *τῶν* om. A *τῶν πολλῶν* om. U 20 *τὴν*] *τὸν* F ‖ *γυναικωνῖτιδα*] *γυναικωνίτην* F 23 *τῶν* om. ab 24 *καὶ* om. F ‖ *χωρεῖ*] *ἀναχωρεῖ* ab

τὸν Ἰωάννην καὶ τὸν Ἀλέξανδρον. τοῦ γοῦν εἰρημένου Ephraem. Βορίλλα βασιλικῶς τῶν Βουλγάρων κατάρχοντος, ὁ τοῦ ed. B. v. 8048 Ἀσὰν υἱὸς Ἰωάννης φυγαδείᾳ χρησάμενος περὶ τὰ τῶν Ῥώσων χωρεῖ, ἐκεῖσέ τε χρόνον ἐφ' ἱκανὸν διαμείνας καί τινας τῶν συγκλύδων Ῥώσων ἐν ἑαυτῷ περιαγαγών, τὴν πατρικὴν 36 ed. B. ἀνακαλεῖται κληρονομίαν, καὶ πολεμεῖ τῷ Βορίλλᾳ καὶ νικᾷ τοῦτον καὶ χώρας ἐγκρατὴς οὐκ ὀλίγης γίνεται. ὁ δὲ Βορίλλας ἔνδον εἰσέρχεται τοῦ Τρινόβου καὶ ἐπὶ ἑπτὰ ἔτεσι τειχήρης ἔσω πολιορκεῖται. ἐπεὶ δὲ ἀπέκαμον οἱ συνόντες αὐτῷ, τῷ Ἀσὰν Ἰωάννῃ προσέρχονται. φεύγων δὲ ἁλίσκεται ὁ Βορίλλας καὶ παρὰ τοῦ Ἰωάννου τυφλοῦται, καὶ οὕτως ἐγκρατὴς τῆς τῶν Βουλγάρων ἁπάσης ὁ Ἰωάννης γεγένηται. 1218 καὶ τὰ μὲν ἐν τοῖς Βουλγάροις τοσαῦτα.

21. Ὁ δὲ Κομνηνὸς Θεόδωρος, ὃν πρὸ μικροῦ ὁ λόγος ἱστόρησε, μὴ θέλων μένειν ἐν τῇ οἰκείᾳ τάξει ἀλλὰ τὰ τῆς βασιλείας σφετερισάμενος, ἐπειδὴ τῆς Θεσσαλονίκης γέγονεν ἐγκρατὴς πολλήν τε χώραν τῆς Ῥωμαΐδος ἐκ τῆς κεκρατημένης παρὰ τῶν Ἰταλῶν ὑφ' ἑαυτὸν ἐποιήσατο, ἔτι δὲ καὶ τῆς παρὰ τῶν Βουλγάρων κεχειρωμένης, πορφυρίδα τε ὑπενδύεται καὶ ἐρυθρὰ περιβάλλεται πέδιλα, ἀντιστάντος αὐτῷ ἐπὶ τούτῳ στερρότατα τοῦ μητροπολίτου Θεσσαλονίκης Κωνσταντίνου τοῦ Μεσοποταμίτου, ὃν καὶ πολλαῖς κακουχίαις καὶ ἐξορίαις διὰ ταῦτα ὑπέβαλε τῶν κανονικῶν ἐθῶν ἀντε-

2 Βορίλλα A βορύλα F βορίλα O 3 φυγαδείᾳ] φυγαδίᾳ B || περὶ] ἐπὶ b 4 ἐφ' om. F 5 συγκλύδων] συγκλείδων F || ἐν] σὺν b 6 τῷ Βορίλλᾳ A τὸν βορίλαν U τῷ βορύλᾳ F τῷ βορίλᾳ O || νικᾷ τοῦτον] τοῦτον νικᾷ U 7 ἐγκρατὴς post οὐκ ὀλίγης pos. BGU || Βορίλλας A βορύλας F βορίλας O 8 Τρινόβου] τρινάβου FG στρινάβου U || ἐπὶ] περὶ U 9 ἔσω om. BU 10 Ἀσὰν] τοῦ ἀσὰν U || δὲ om. U 11 Βορίλλας A βορύλας F βορίλας O 12 ὁ Ἰωάννης post 11 οὕτως pos. U 13 τοσαῦτα] τοιαῦτα U 15 ἱστόρησε] ἱστόρησεν a b || τὰ τῆς βασιλείας] τὴν βασιλείαν U 17 χώραν τῆς] χώραν ἐκ τῆς AU ἐκ τῆς del. pr. m. A || ἐκ om. U 18 τῆς παρὰ] παρὰ τῆς U τῆς περὶ F τῆς περὶ ead. m. ε mut. in α A 19 ὑπενδύεται] ἐπενδύεται U 21 τούτῳ] τοῦτο F || Θεσσαλονίκης om. F 22 κακουχίαις καὶ ἐξορίαις] ἐξορίαις καὶ κακοχίαις U 23 διὰ ταῦτα om. BU || ὑπέβαλε] ὑπέβαλλε pr. λ ead. m. del. A

1222 *χόμενον. ὁ δὲ Βουλγαρίας ἀρχιεπίσκοπος Δημήτριος τὸ*
βασιλικὸν περιδιδύσκει τοῦτον διάδημα, ὡς ἔφασκεν, αὐτόνο-
μος ὢν καὶ μηδενὶ εὐθύνας ὀφείλων δοῦναι, καὶ διὰ ταῦτα
ἐξουσίαν ἔχειν βασιλέας χρίειν οὓς τε ἂν καὶ ὅπου καὶ ὅτε
βούλοιτο. βασιλεὺς οὖν ἀναγορευθεὶς ὁ Θεόδωρος βασιλι-
37 ed. B. *κῶς ἐχρῆτο τοῖς πράγμασι, δεσπότας τε προυβάλλετο καὶ*
σεβαστοκράτορας μεγάλους τε δομεστίκους, πρωτοβεστιαρίους
καὶ τὴν λοιπὴν πᾶσαν τάξιν βασιλικήν. ἀφυῶς δὲ ἔχων
περὶ τοὺς τῆς βασιλείας θεσμοὺς Βουλγαρικώτερον ἢ μᾶλλον
βαρβαρικώτερον ταῖς ὑποθέσεσι προσεφέρετο, οὐ τάξιν γι-
νώσκων οὐδὲ κατάστασιν οὐδὲ ὅσα ἐν τοῖς βασιλείοις ἀρχαῖα
ἔθιμα καθεστήκασιν. οὗτος οὐ μικρῶς τῷ βασιλεῖ ἀντε-
φέρετο Ἰωάννῃ. ὁ μὲν γὰρ βασιλεὺς ἠξίου αὐτὸν τῶν δευ-
τερείων μετέχειν τῆς βασιλείας καὶ τῆς χώρας αὐτοῦ ἐγκρατῆ
εἶναι καὶ κατ' οὐδὲν ἄλλο ὑπείκειν αὐτῷ· ὁ δὲ ἀντέβαινε
στερεώτερον.

Ephraem. 22. *Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης ἄρτι τῶν σκήπτρων*
ed. B. v. 7909 *ἐπειλημμένος καὶ κομιδῇ ἐν στενῷ οὖσαν τὴν τῶν Ῥω-*
μαίων τεθεαμένος ἀρχήν, οὐκ ἀνασχόμενος ἐν πολλοστοῖς βα-
Nic. Greg. *σιλεύειν, δύο παραδραμόντων ἐνιαυτῶν μάχην ποιεῖται μετὰ*
ed. B. I 25 *τῶν Ἰταλῶν. καὶ συνάγεται στράτευμα Λατινικὸν ἀξιό-*
μαχον, οὗ προυμάχοντο οἱ τοῦ βασιλέως Θεοδώρου αὐτάδελ-
φοι, οἱ σεβαστοκράτορες Ἀλέξιός τε καὶ Ἰσαάκιος. οὗτοι γὰρ
ἅμα ⟨τῷ⟩ τὸν ἀδελφὸν αὐτῶν βασιλέα θανεῖν τὴν θυγατέρα
αὐτοῦ Εὐδοκίαν λαβόντες ἀποδρᾶναι πρὸς τὴν Κωνσταντι-
νούπολιν ἐβουλεύσαντο· ἀλλὰ τοῦ μὲν σκοποῦ αὐτῶν ἥμαρ-
τον, ἐκεῖνοι δὲ δραπέται ᾤχοντο. τῆς μάχης οὖν συρρα-
1224 *γείσης ἐν τοῖς μέρεσι τοῦ Ποιμανηνοῦ, ὅπου καὶ ὁ ναὸς*

---

4 *ἐξουσίαν* post *ἔχειν* pos. U ‖ *ἔχειν*] *ἔχων*? 6 *ἐχρῆτο*] *ἐχρᾶτο* BF 7 *δομεστίκους*] *δομεστίκους καὶ* b 11 *ἀρχαῖα*] *ἀρχαῖα καὶ* U 13 *γὰρ*] *οὖν* ab 14 *αὐτοῦ ἐγκρατῆ*] *αὐτοῦ, ἐγκρατής τε* U 15 *ἄλλο*] *ἄλλον ν* sec. m. del. B. in marg. sec. m. *ἀρχὴ ἰωάννου τοῦ ἐλεήμονος* B 19 *πολλοστοῖς*] *πολλοῖς ἔστεσι* U 21 *Λατινικὸν*] *βασιλικὸν* F 22 *προυμάχοντο*] *προεμάχοντο* U 23 *γὰρ* A *γὰρ καὶ* O 24 ⟨*τῷ*⟩ suppl. b ‖ *ἀδελφὸν αὐτῶν βασιλέα*] *βασιλέα αὐτῶν ἀδελφὸν* B ‖ *θυγατέρα*] *θυγατέραν* U 26 *μὲν* om. U

τοῦ ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων ἐγκαθίδρυται Μιχαήλ, νικᾷ κατὰ κράτος ὁ βασιλεύς, τῶν μὲν πλείστων Ῥωμαίων 38 ed. B σχεδὸν ἐξηττημένων τὸ πρῶτον, αὐτοῦ δὲ τοῦ βασιλέως μετ' ὀλίγων πάνυ τὴν νίκην ἐξειργασμένου πᾶσαν· αὐτός τε γὰρ δόρατος ἥψατο καὶ πολέμιον ἔβαλε καὶ ἀνδρεῖον ἐν ἐκείνῳ τῷ πολέμῳ φρόνημα ἐνεδείξατο, οὐδὲ τοῖς πρὸ τοῦ ἀγνοούμενον. ἡ τοιαύτη γοῦν νίκη εἰς μεγάλην αὔξησιν ἐγεγόνει τῆς τῶν Ῥωμαίων ἀρχῆς, τῶν Ἰταλῶν δὲ συστολὴν καὶ κατάπτωσιν. τοὺς μὲν γὰρ ζωγρίας τοὺς κρείττους αὐτῶν ἐν τῷ τοιούτῳ πολέμῳ κατέσχεν ὁ βασιλεύς, ἀλλὰ δὴ καὶ τοὺς αὐταδέλφους Λασκάριας, οὓς τυφλοῖ ἐπ' αἰτίαις εὑρών· ἄλλοι δὲ ξίφους ἔργον ἐγένοντο· οἱ δὲ μὴ συνιόντες τῷ πολέμῳ δειλίᾳ κάτοχοι ἐγεγόνεισαν. καὶ μέρος δὲ τῶν Ἰταλῶν τὸ τῶν Σερρῶν κάστρον τῷ τότε πολιορκοῦν ὑπὸ τοῦ Κομνηνοῦ Θεοδώρου δεσποζόμενον, ἐπεὶ τὴν τῶν οἰκείων τοιαύτην ἐπέγνωκεν ἧτταν, ἀπέδρα ἐλευθέρας τὰς Σέρρας καταλιπόν· ἐς μικρὸν γὰρ αὐτῷ κομιδῇ τοῦ ἁλῶναι ἦλθον. ἐντεῦθεν τὰ τῶν Ἰταλῶν ἔνθεν κἀκεῖθεν διαιρούμενα κατά τε τὴν ἕω καὶ τὴν ἑσπέραν καὶ ἰσχυροῖς ἀντιπάλοις προσπταίοντα, τῷ τε βασιλεῖ Ἰωάννῃ καὶ τῷ Κομνηνῷ Θεοδώρῳ, βασιλεῖ φημιζομένῳ καὶ τουτωΐ, ἀπήρχοντο καταπίπτειν. αὐτίκα γοῦν ὁ βασιλεὺς Ἰωάννης, ἐπειδὴ τοὺς Ἰταλοὺς ἐν τῷ εἰρημένῳ τόπῳ καταλελύκει, τὰ ὑπ' ἐκείνων κρατούμενα τῶν Ῥωμαίων ἐπολιόρκει φρούρια, καὶ ἥλισκε ταῦτα μηδενὸς

---

4 ἐξειργασμένου πᾶσαν A πᾶσαν ἐξειργασμένου O 5 ἔβαλε] ἔβαλλε AG ‖ ἐν om. U 6 φρόνημα] τὸ φρόνημα b 7 γοῦν A om. O ‖ μεγάλην A μεγίστην O 8 τῶν Ῥωμαίων] ῥωμαίων U 9 ζωγρίας] ζωγρείας U 10 κατέσχεν ὁ βασιλεύς A ὁ βασιλεὺς κατέσχεν O 11 Λασκάριας—τυφλοῖ] λασκαρίους· οὓς καὶ ἐκτυφλοῖ U ‖ ἐπ' αἰτίαις] ἐπ' αἰτίας sec. m. ι add. F ἐπ' αἰτίαν U ἐπαιτίους ab 12 συνιόντες A συνόντες O 14 τῶν Σερρῶν] Σερρῶν b ‖ πολιορκοῦν] πολιορκοῦν τῶν sec. m. add. F 15 τὴν om. U 17 καταλιπόν] καταλιπών FGUab ‖ ἐς om. U ‖ μικρὸν] σμικρὸν G ‖ αὐτῷ] αὐτὸ A ἂν ἐπ' αὐτῷ U ‖ ἦλθον] ἦλθ//// in ras. sec. m. F ο in ε sec. m. G 19 προσπταίοντα] προσπταίοντας F 20 βασιλεῖ om. U 21 ἀπήρχοντο post καταπίπτειν pos. U 23 καταλελύκει] κατελελύκει G 24 ταῦτα] πάντα U

τελοῦντος τοῦ βοηθήσοντος. μέχρι μὲν γάρ τινος οἱ ἐν
39 ed. B. τοῖς φρουρίοις ἀντείχοντο· ὡς δὲ χρονιωτέρους ἐποίει τὰς πολιορκίας ὁ βασιλεύς, μάλιστα δὲ καὶ παρακαιρίους — οὐ γὰρ ἐν ἔαρι ἢ θέρει ἢ μετοπώρῳ, ἀλλ' ἐν μέσῳ χειμῶνος τὰς ἐφόδους ἐποιεῖτο — ἑλεπόλεις τε συνίστα καὶ τὰς ἐπάλξεις κατέβαλλεν, ἀποκάμνοντες οἱ ἐντὸς τὰ μὲν προυδίδουν ὅρκοις τὴν ζωὴν ἐξωνούμενοι, ἐκ δὲ τῶν ἔπιπτον μάχῃ καὶ καθείργνυντο ὡς δεσμῶται. ἑάλω γοῦν ὑπὸ τοῦ βασιλέως Ποιμανηνὸν Λεντιανὰ Χαρίορος Βερβενίακον. ὁ γοῦν βασιλεὺς Ἰωάννης παντοίως τοῖς Λατίνοις μαχόμενος τριήρεις τε κατεσκεύασε καὶ περὶ τὸν Ἑλλήσποντον ταύτας ἔστησεν ἐν τόπῳ, ὃς Ὁλκὸς ὀνομάζεται· καὶ ἦν πολλὰ παρέχων αὐτοῖς πράγματα, κατὰ δύσιν ὁρμώμενος καὶ λείαν τἀκείνων ποιούμενος πορθῶν τε τὸ τῶν Μαδύτων ἄστυ καὶ τὴν Καλλιούπολιν καὶ τὰ παραιγιάλια πάντα τοῖς Ἰταλοῖς ὑπόφορα ὄντα.

Ephraem. ed. B. v. 7983 23. Ἐν τουτοισὶ δὲ ὄντος τοῦ βασιλέως Ἰωάννου καὶ ἀκρατῶς μαχομένου τοῖς Ἰταλοῖς κατά τε χέρσον καὶ θάλατταν, σκευωρεῖται τούτῳ ἐπιβουλή. ὁ δὲ ταύτην συστησάμενος πρωτεξάδελφος ἦν τοῦ βασιλέως ὁ Νεστόγγος Ἀνδρόνικος. οὑτοσὶ δὲ καὶ τὴν τῆς συγγενείας σχέσιν παρ' οὐδὲν θέμενος καὶ τὸν τῆς φιλίας ἀπορρήξας δεσμὸν ἀνταρσίαν κατὰ τοῦ πρωτεξαδέλφου βασιλέως βεβούληται, ἔχων τε συνεργὸν εἰς τοῦτο τὸν ἀδελφὸν Ἰσαάκιον καὶ ἑτέ-
40 ed. B. ρους τῶν ἐπιφανῶν οὐκ ὀλίγους, τόν τε Φλαμούλην, ὃν μέγαν ἑταιρειάρχην ὁ βασιλεὺς τετίμηκε, τὸν Ταρχανειώτην, τὸν

---

1 *γάρ*] *οὖν* U **2** *χρονιωτέρους*] *χρονιωτέρας* U -*ας* ex -*ους* pr. m. A **3** *δὲ* om. F ‖ *παρακαιρίους*] *πολυκαιρίους* U **6** *κατέβαλλεν*] *κατέβαλεν* FGU ‖ *προυδίδουν*] *προύδιδον* U **8** *ὡς*] *ὡς πολέμιοι καὶ* U **9** *Λεντιανὰ*] *τε καὶ λεντιανὰ* U ‖ *Χαρίορος*] *χαριόρος* U ‖ *Βερβενίακον*] *βεερβενίακον* B corr. b **11** *ταύτας* om. U **12** *Ὁλκὸς*] *ὁλκὸς* F **13** *τἀκείνων* A *τὰ ἐκείνων* O **14** *τὸ* om. F **15** *παραιγιάλια*] *παραιγίαλα* F ‖ *πάντα* om. U **17** *θάλατταν*] *θάλασσαν* Ua **18** *σκευωρεῖται*] *κευωρεῖται* B corr. ab **19** *Νεστόγγος*] *νοστόγγος* U **20** *δὲ*] *γὰρ* U ‖ *παρ'*] *εἰς* U **22** *βασιλέως*] *καὶ βασιλέως* FU ‖ *βεβούληται*] *βεβούλευται* b **23** *τε* om. b **24** *τε* om. U ‖ *Φλαμούλην*] *φλαμούλιον* BFG **25** *τετίμηκε*] *τετίμηκεν* ab ‖ pr. *τὸν* om. U ‖ sec. *τὸν* U om. O cf. Ephraem. v. 7988

Συναδηνόν, τὸν ἐπ' ἀδελφῇ τούτου γαμβρὸν Στασηνόν, τὸν Μακρηνὸν καὶ ἄλλους εἰς πλῆθος τὸν ἀριθμόν. ἐγένετο δὲ ἡ ἐπιβουλὴ πολυήμερος καὶ τὸν βασιλέα ἐλάνθανεν. ἐν τῇ Λαμψάκῳ δὲ διάγων μανθάνει ταῦτα. πυρὶ γοῦν τὰς τριήρεις καταναλώσας, ἵνα μὴ τοῖς Ἰταλοῖς ὑπὸ χεῖρα γένοιντο, καὶ προυργιαίτερον τὸν ἔσωθεν πόλεμον κρίνας τοῦ ἔξωθεν, ἀπάρας ἐκεῖθεν περὶ τὴν Ἀχυράους ἀφίκετο κἀκεῖσε τὴν ἐξέτασιν τῆς ἐπιβουλῆς ἐποιήσατο. καὶ ἦσαν οἱ συνωμόται πάντες ταῖς δίκαις ὑπεύθυνοι. ἀλλ' ὁ βασιλεὺς φιλανθρωπότερον τοῖς νόμοις ἐχρήσατο, καὶ τὸν μὲν Νεστόγγον Ἰσαάκιον τυφλώσει καταδικάζει καὶ χειροκοπίᾳ, ὡσαύτως καὶ τὸν Μακρηνόν· ἐξελήλεκτο γὰρ ὡς πολλάκις ἐφώρμησε κατὰ νῶτον τυγχάνων τοῦ βασιλέως ἐφελκύσαι τὴν σπάθην καὶ καταρράξαι καιρίαν· καὶ ἄλλους δέ τινας μικραῖς ποιναῖς καθυπέβαλε. τοὺς δὲ πλείστους ἀφῆκεν εἱρκταῖς μέχρι τινὸς περικλείσας, καὶ αὐτὸν δὴ τὸν πρωτουργὸν τῆς ἐπιβουλῆς τὸν καὶ βασιλείας ἐφιέμενον, τὸν Νεστόγγον Ἀνδρόνικον, ἐν τῷ φρουρίῳ τῆς Μαγνησίας συνέκλεισε· τοσοῦτον ἡ τῆς ἀγάπης σχέσις τὸν βασιλέα τοῦ κακοποιῆσαι τοῦτον ἐκώλυσεν. ὃς καὶ μετ' ὀλίγον ἀπέδρα, ὡς μέν τινες ἔφασκον, θελήσει τοῦ βασιλέως ἐλευθερώτερον βαίνειν τοῦτον παρακελευσαμένου καὶ οἷον κλέψαι τοῦτον τὴν σωτηρίαν βουλευσαμένου. ὃς καὶ νυκτὸς φυγὼν περὶ τὰ τῶν Μουσουλμάνων ἐφώρμησε, καὶ διῆγεν ἐκεῖσε μέχρι τῆς αὐτοῦ 41 ed. B.
τελευτῆς. ἐντεῦθεν ὁ βασιλεὺς προσεκτικώτερον ἐχρῆτο τοῖς

---

1 τούτου] τούτῳ U ‖ γαμβρὸν om. F 2 καὶ—3 ἐλάνθανεν om. BU 3 δὲ om. F 4 διάγων] διάγων ὁ βασιλεὺς B ‖ γοῦν] οὖν B γὰρ U 6 τοῦ] τὸν U 7 περὶ] ἐπὶ b ‖ κἀκεῖσε] κἀκεῖθεν ab 10 Νεστόγγον] νοστόγγον F 11 καταδικάζει] κατεδίκασε U ‖ χειροκοπίᾳ] χειροκοπείᾳ B corr. ab 12 Μακρηνόν] μακρινόν B corr. ab ‖ ἐξελήλεκτο] ἐξελήλεγκτο BG ‖ ὡς] ὅτι sec. m. in ras. F ‖ ἐφώρμησε] ἐφώρμισε a 13 νῶτον] τοῦτον a 15 καθυπέβαλε] καθυπέβαλεν ab καθυπέβαλλε sec. λ sec. m. add. A 16 δὴ] δὲ U 17 τὸν Νεστόγγον] νεστόγγον U 18 συνέκλεισε] συνέκλεισεν BU ‖ τοσοῦτον ἡ] ἡ γὰρ U 21 ἐλευθερώτερον] ἐλευθεριώτερον Uab ‖ βαίνειν τοῦτον] διάγειν τούτου U 22 τοῦτον om. U 23 περὶ] ἐπὶ b ‖ Μουσουλμάνων] μουλσουμάνων U 25 ἐχρῆτο] ἐχρᾶτο BF

πράγμασι καὶ τῆς προτέρας ἐλευθεριότητος οὐκ ἀντεποιεῖτο, φύλακάς τε περὶ αὐτὸν ἔστησε καὶ φρουρούς, νύκτωρ καὶ μεθ' ἡμέραν τοῖς ἐκείνου προσέχοντας. μάλιστα δὲ περὶ ταῦτα συνέτεινεν ἡ βασιλὶς Εἰρήνη, ἀρρενωπότερον τὸ ἦθος ἔχουσα καὶ τοῖς πᾶσι βασιλικώτερα ἐντυγχάνουσα.

Ephraem. ed. B. v. 8009 24. *Εἰς συνθήκας δὲ θελήσαντες οἱ Ἰταλοὶ ἐλθεῖν ἀπέλυσαν πρὸς τὸν βασιλέα καὶ τὸ τῶν Πηγῶν ἄστυ. καὶ οὕτω δὴ μετ' αὐτῶν ὁ βασιλεὺς Ἰωάννης εἰρήνευσε, πάντων τῶν πρὸς νότον ὑποχωρησάντων αὐτῷ τῶν Λατίνων, ἔτι δὲ κρατούντων τὰ πρὸς βορρᾶν τὰ πλησίον ὄντα τῆς Κωνσταντίνου καὶ τῇ τοῦ Νικομήδους πόλει ἐγγίζοντα. συνέβη δέ τι καὶ πρὸ αὐτοῦ τοιοῦτον. οἱ γὰρ τῆς Ἀδριανουπόλεως οἰκήτορες πρεσβείαν πρὸς τὸν βασιλέα ἐστείλαντο, ὅπως ἀποστείλῃ πρὸς αὐτοὺς στράτευμα καὶ τῆς Ἰταλῶν ἐλευθερώσῃ χειρός. ὁ δὲ τὸν πρωτοστράτορα Ἰσῆν στράτευμα δοὺς αὐτῷ ἐξαπέστειλε· συνῆν δὲ αὐτῷ καὶ ὁ Καμμύτζης Ἰωάννης. οἳ καὶ διαπεράσαντες τὸν Ἑλλήσποντον καὶ διὰ τῆς Μακεδονίας διελθόντες εἰς Ἀδριανούπολιν ἀφίκοντο, ἐντὸς δὲ γενόμενοι τῆς πόλεως διῆγον ἐκεῖσε. ἐλπὶς δὲ ἦν τῷ βασιλεῖ Ἰωάννῃ διὰ ταῦτα καὶ τῶν πέριξ ἐγκρατῆ*
42 ed. B. *γενέσθαι. ἀλλ' ὁ Κομνηνὸς Θεόδωρος, ὃν φθάσας ὁ λόγος*
Nic. Greg. ed. B. I 25 *ἐδήλωσε, τῶν ἐγγὺς πάντων γενόμενος ἐγκρατὴς ἄνευ μέντοι τοῦ τῆς Ῥοδόπης ὄρους, ὅπερ καὶ Ἀχριδὸς ὠνόμασται, καὶ τῶν ἐν τούτῳ ἄστεων καὶ τοῦ Μελενίκου — τούτων γὰρ*

---

1 *ἐλευθεριότητος*] *ἐλευθεριότατος* F 2 *αὐτὸν*] *αὑτὸν* b ‖ *καὶ* A *τε καὶ* O 4 *ἀρρενωπότερον*] *ἀρρεοπώτερον* U 5 *βασιλικώτερα* A *βασιλικώτερον* O 6 *οἱ Ἰταλοὶ ἐλθεῖν* A *ἐλθεῖν οἱ ἰταλοὶ* O 7 *πρὸς* om. U 8 *μετ' αὐτῶν* om. U ‖ *εἰρήνευσε*] *εἰρήνευσεν* a b 9 *τῶν Λατίνων*] *λατίνων* BU 10 *δὲ*] *τε* U ‖ *τὰ πρὸς*] *πρὸς* B 11 *Κωνσταντίνου*] *κωνσταντινουπόλεως* BU ‖ *τοῦ* om. U ‖ *Νικομήδους*] *Νικομήδεος* a 12 *καὶ πρὸ αὐτοῦ* A *πρὸ αὐτοῦ καὶ* O 14 *ἀποστείλῃ*] *στείλῃ* U 15 *ἐλευθερώσῃ*] *ἐλευθερώσει* AFa ‖ *Ἰσῆν*] *η* corr. ex *ο* prim. m. B *μεὶ ὂν ἰσῆν* sec. m. U 16 *Καμμύτζης*] *καμύτζης* BGU 18 *διελθόντες*] *ἐλθόντες* U 20 *δὲ*] *δὴ* ab ‖ *καὶ* om. a ‖ *ἐγκρατῆ*] *ἐγκρατὴς* U 22 *ἐδήλωσε*] *ἐδήλωσεν* ab 23 *τοῦ* post *Ῥοδόπης* pos. U ‖ *Ἀχριδὸς*] *ἀχριδὼν* ead. m. *ν* in *ς* corr. B *Ἀχριδὼς* ab 24 *Μελενίκου*] *μελινίκου* G

ἦρχεν ὁ Σθλάβος, προσγενὴς ὢν τοῦ βασιλέως Ἀσὰν καὶ δεσπότης τετιμημένος ὑπὸ τοῦ βασιλέως τῆς Κωνσταντίνου Ἐρῆ, οὗ καὶ τὴν θυγατέρα ἐκ παλλακῆς αὐτῷ γεγεννημένην ἠγάγετο εἰς γυναῖκα. οὗτος δὴ ὁ Σθλάβος, ἵνα μικρόν τι τὸν εἱρμὸν τοῦ λόγου διέλωμαι, φρούριον τὸν Μελενίκον εὑρὼν ὀχυρὸν καὶ σχεδὸν πᾶσιν ἐναντιουμένοις ἀνάλωτον αὐτοκρατὴς ἦν, μηδενὶ τῶν πέριξ ἀρχόντων ὑποπεσών. ἐνίοτε μὲν γὰρ Ἰταλοῖς ὑπῆρχε ξύμμαχος ἐκ κήδους αὐτοῖς συναγόμενος, ἐνίοτε δὲ Βουλγάροις ἐκ συγγενείας ὁμοφρονῶν, ἐνίοτε δὲ τῷ Κομνηνῷ Θεοδώρῳ· καὶ ἦν οὐδέποτέ τινι οὔτε ὑποτασσόμενος οὔτ' εἰς ἀληθῆ πίστιν καὶ ὁμοφροσύνην συνερχόμενος. τούτῳ συνεζύγη μετὰ θάνατον τῆς αὐτοῦ γαμετῆς ἡ τοῦ Πετραλίφα θυγάτηρ, τοῦ γυναικαδέλφου τοῦ Κομνηνοῦ Θεοδώρου, περὶ ἧς παρακατιὼν ὁ λόγος δηλώσει. ἄνευ μέντοι, καθὼς εἰρήκειν, τῶν ὑποπιπτόντων τῷ τοιούτῳ Σθλάβῳ χωρῶν τὰ πάντα ὑπὸ τὸν Κομνηνὸν ἐγεγόνει Θεόδωρον. ἐπεὶ γοῦν Μοσυνούπολις καὶ Ξάνθεια καὶ ἡ Γρατζιανοὺς αὐτὴ ὑπὸ τοῦτον ἐτέλει, τὸ τῆς Σταγείρας ὑπερβὰς ὄρος, ὃ δὴ Μάκρην ὀνομάζουσιν οἱ πολλοί, τὰ ἐκεῖθεν τοῦ Ἕβρου κατέδραμεν, ἄνετα εὑρὼν πάντα καὶ μηδενὶ φρουρίῳ περιφραγνύμενα. ἔνθεν τοι καὶ περὶ τὸ 48 ed. B.
Διδυμότειχον γεγονὼς ἐν οὐ πολλῷ χρόνῳ βασιλεὺς ἐπεφη-

1 Σθλάβος Ob ἀθλάβος a sec. m. ἀ del. B ‖ βασιλέως om. F 2 τῆς Κωνσταντίνου A κωνσταντινουπόλεως O 3 Ἐρῆ] Ἐρρῆ b ‖ θυγατέρα] θυγατέραν U ‖ γεγεννημένην] γεγενημένην Uab 4 δὴ] δὲ U ‖ Σθλάβος Ob ἀθλάβος a sec. m. ἀ del. B 5 Μελενίκον] μελενίκου F μελινίκον G Μελένικον ab 8 ξύμμαχος A σύμμαχος O 10 τῷ] καὶ σὺν F 11 οὔτε om. F ‖ οὔτ' A οὔτε O 12 συνερχόμενος] ἐρχόμενος BU 13 Πετραλίφα] πετραλείφα G πετραλείφη U ‖ γυναικαδέλφου] γυναικαδελφοῦ F 14 παρακατιὼν] κατιὼν U ‖ δηλώσει A ἐρεῖ O 15 ὑποπιπτόντων] ὑποπιπτουσῶν B v. ind. gram. 16 Σθλάβῳ Ob ἀθλάβῳ a sec. m. ἀ del. B ‖ χωρῶν] χωρίων U ‖ πάντα] πάντως F ‖ τὸν] τὴν G ‖ ἐγεγόνει post Θεόδωρον pos. U 17 Ξάνθεια] ξά//θια U 18 ἡ om. U ‖ Γρατζιανοὺς] γρατζιάνους B γρατζιανοῦς G γρατιανοὺς U Γρατζιανὰ b ‖ αὐτὴ] αὕτη B om. U καὶ αὐτὴ ab 20 κατέδραμεν] κατέδραμε U 21 περὶ] παρὰ F ‖ τὸ m. ab 22 Διδυμότειχον] διδυμότυχον B διδυμότοιχον Gab

μίζετο τούτων. ἀφικόμενος δὲ καὶ περὶ τὴν Ἀδριανούπολιν εὗρεν ἐντὸς τὸν δηλωθέντα Ἰσῆν τὸν πρωτοστράτορα καὶ τὸν Καμμύτζην μετὰ τοῦ στρατεύματος τοῦ βασιλέως Ἰωάννου. ἀπατηλοῖς δὲ λόγοις τοὺς οἰκήτορας ὑπελθών, ὡς πλουτίσειε τούτους ἄκρως καὶ τῶν ἄλλων Ῥωμαίων ὑπερυψώσειε, πείθει τὸ μὲν τοῦ βασιλέως ἐξαγαγεῖν στράτευμα ἔξω, αὐτὸν δὲ εἰσαγαγεῖν. ἐξάγεται οὖν ὁ πρωτοστράτωρ Ἰσῆς καὶ ὁ Καμμύτζης μετὰ τοῦ συνόντος τούτοις στρατεύματος ἐπὶ ὅρκοις τοῦ μή τινα τούτων παθεῖν τι δεινόν. ἐξελθόντες οὖν ὁ μὲν πρωτοστράτωρ οὐδὲ ὅλως τὸν Κομνηνὸν Θεόδωρον τεθέαται — τοῦτο γὰρ δὴ αὐτοῖς συμπεφώνηται — ὁ δὲ Καμμύτζης συντυχὼν αὐτῷ οὐκ ἀπέβη τοῦ ἵππου οὐδὲ ὡς βασιλεῖ προσεκύνησεν. εἰς ὃ βαρυθυμήσας ὁ Κομνηνὸς Θεόδωρος — ἐβούλετο γὰρ ὡς βασιλέα ἐκεῖνον πάντας ἔχειν Ῥωμαίους, ἐπείπερ καὶ ὡς βασιλεὺς ἐφημίζετο — ὕβρεις τε κατέχεε τοῦ ἀνδρὸς καὶ μικροῦ ἂν καὶ πληγὰς ἐπέθετο. τοῦτο τῷ Καμμύτζῃ ἀφορμὴ ἐγεγόνει πρὸς τὸν βασιλέα τιμῆς· ὡς γὰρ αὖθις τὸν Ἑλλήσποντον διεπέρασαν καὶ πρὸς τὸν βασιλέα ἀφίκοντο, μέγας ἑταιρειάρχης διὰ ταῦτα ὁ Καμμύτζης τετίμηται. ὁ Κομνηνὸς οὖν Θεόδωρος
44 ed. B. ἐγκρατὴς καὶ τῆς Ἀδριανουπόλεως γεγονὼς πολλὰ παρέσχε τοῖς Ἰταλοῖς πράγματα. κατέδραμε γὰρ πάντα τὰ ὑπ᾽ ἐκεί-

---

1 περὶ] ἐπὶ b 2 δηλωθέντα Ἰσῆν] δηλωθὲν μελίσηνον sec. m. μελ- in ras. et -ον U 3 Καμμύτζην] καμύτζην BGU 4 πλουτίσειε] πλουτήσειε AF 5 ὑπερυψώσειε] ὑπερυψώσειεν b 6 ἐξαγαγεῖν post στράτευμα pos. U 7 Ἰσῆς] ἰσὴς sec. m. ς in ν mut. U 8 Καμμύτζης] καμύτζης BGU ‖ μετὰ] μετὰ καὶ FG 9 τούτων — δεινόν] παθεῖν τούτων δεινόν τι B παθεῖν δεινόν τι U 10 οὐδ᾽ ὅλως] οὐδὲ ὅλως BFG 11 αὐτοῖς] τοῖς αὐτοῖς A 12 Καμμύτζης] καμύτζης BGU 13 βασιλεῖ] βασιλέα F ‖ προσεκύνησεν] προσεκίνησεν B corr. ab 14 Κομνηνὸς] βασιλεὺς U 15 Ῥωμαίους] ῥωμαίων sec. m. ου superscr. B ‖ ἐφημίζετο] εὐφημίζετο U 16 τε om. U 17 ἐπέθετο] ἐπέθηκε U ‖ τοῦτο] τούτῳ F ex ω prim. m. B ‖ Καμμύτζῃ] καμύτζῃ BGU τὸν βασιλέα] τοῦ βασιλέως? 18 διεπέρασαν] διεπέρασεν G 19 μέγας ἑταιρειάρχης in μέγαν ἑταιρειάρχην sec. m. F 20 Καμμύτζης] καμύτζης BGU βασιλεὺς F ‖ τετίμηται in τετίμηκαι sec. m. F

νων κρατούμενα, καὶ μέχρις αὐτῆς τῆς Βιζύης γενόμενος τὸ ἔξω κατέσχε τοῦ ἄστεος καὶ λείαν πολλὴν ἐκεῖθεν ἐποιήσατο, καὶ μέχρι καὶ τῶν πυλῶν τῆς Κωνσταντίνου κατήντησε καὶ πτοίαν πολλὴν τοῖς Λατίνοις ἐνέβαλε. τότε δὴ καὶ ὁ Ἀσὲλ δε Κάε, ὃς τῇ θυγατρὶ τοῦ βασιλέως Θεοδώρου τοῦ Λασκάριος συνεζύγη, ὑπό τινος τοῦ Κομνηνοῦ Θεοδώρου δόρατι ἐπλήγη τὸν τράχηλον· καὶ ἦν ὡς ἔδοξε τὰ τῆς βολῆς ἐκείνῳ θανάσιμα, ἀλλ' ὑπό του τῶν ἰατρῶν τεθεράπευται. ἦν δὲ τὸ ἀπὸ τοῦδε τραχυτέρα αὐτῷ ἡ φωνὴ καὶ οὐκ εὐχερῶς οἱ τοῦ τραχήλου στρεφόμενοι σπόνδυλοι.

25. Οὕτως οὖν ἐπαυξήσας τοῖς πράγμασιν ὁ Κομνηνὸς Θεόδωρος, ἐπειδὴ ὁμορῶν ἐγεγόνει τοῖς Βουλγάροις, Ephraem. ed.B.v.8038
εἰς σπονδάς τε συνῆλθε τῷ Βουλγάρων βασιλεῖ Ἰωάννῃ Nic. Greg.
τῷ Ἀσάν, ὃν φθάσας ὁ λόγος εἴρηκε μετὰ τὸν Βορίλλαν ed.B.I 28
βασιλεῦσαι τῆς τῶν Βουλγάρων, καὶ συγγένειαν μετὰ τούτου πεποίηκε, προσλαβόμενος ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ Μανουὴλ τὴν θυγατέρα αὐτοῦ Μαρίαν, ἥτις ἐκ παλλακῆς ἐκείνῳ γεγέννηται. ὁ μὲν οὖν Ἄγγελος Θεόδωρος τὰς μετὰ τοῦ 1230
Ἀσὰν Ἰωάννου σπονδὰς διαλύσας, οἷα ἐκεῖνος ἀνὴρ θρασύτερος καὶ ἀτακτότερον φερόμενος οὐ μόνον ἐν βασιλείοις ἀλλὰ καὶ ἐν πᾶσιν ἁπλῶς τοῖς πολιτικοῖς, καὶ θαμὰ παρα- 45 ed.B.
βαίνων τοὺς ὅρκους καὶ παρασπονδῶν τοῖς ἐν γειτόνων, κατὰ Βουλγάρων χωρεῖ, πολλὴν συναθροίσας τὴν στρατιὰν ἔκ τε Ῥωμαίων συγκεκροτημένην καὶ Ἰταλῶν. παραμείψας οὖν τὴν Ἀδριανοῦ περὶ τὰ ἄνω τοῦ Ἕβρου τὴν πορείαν ἐποιεῖτο, ζητῶν μετὰ Βουλγάρων συρρῆξαι πόλεμον. ἐζήτει δὲ ἄρα τὸν αὐτοῦ ὄλεθρον. ἐδόκει καὶ γὰρ ὡς οὐδ' ὅλως

---

1 μέχρις A μέχρι καὶ O **2** ἄστεος] ἄστεως ab || πολλὴν· ἐκεῖθεν] ἐκεῖθεν πολλὴν FG **3** μέχρι καὶ] μέχρι FU **4** δὴ καὶ] δὴ U **5** Ἀσὲλ] ἀσὲ U || δε Κάε] Δεκαέ ab **6** Λασκάριος] λάσκαρι U || τινος] τινος τῶν b **8** τὰ om. F || βολῆς] βουλῆς U **9** αὐτῷ A αὐτοῦ O post φωνὴ pos. U **13** Βουλγάρων] τῶν Βουλγάρων b post βασιλεῖ pos. U **14** Βορίλλαν A βορίλαν O **15** τῆς om. FU **16** πεποίηκε] πεποιηκέναι F || αὐτοῦ] τούτου b **18** γεγέννηται] γεγένηται F **19** θρασύτερος] θρασύτερον U **20** ἀτακτότερον] ἀτακτότερος F **21** πᾶσιν] πᾶσι B corr. b **22** ἐν] ἐκ F **23** πολλὴν] πλὴν A **25** περὶ] ἐπὶ b

οἱ Βούλγαροι ὑποπτήξαντες τὴν ὁρμὴν καὶ μόνην τῆς στρατιᾶς αὐτοῦ... ὑποσταῖεν. οὐχ οὕτω δὲ καὶ οἱ Βούλγαροι, ἀλλ' ὁ Ἀσὰν Ἰωάννης ταῖς ἐπιορκίαις καὶ ταῖς παρασπονδήσεσι τοῦ Ἀγγέλου Θεοδώρου μᾶλλον τεθαρρηκὼς ἢ ταῖς σφετέραις δυνάμεσιν, ὀλίγον τι συμμαχικὸν ἀπὸ Σκυθῶν εἰληφώς, οὐκ εἰς χιλίους μετρούμενον, θαρραλεώτερον εἰς τὴν μάχην ἐφέρετο, ὥς φασί τινες κἂν τῇ σημαίᾳ τὸν ἔγγραφον ὅρκον τοῦ Θεοδώρου ἀπαιωρήσας. καὶ δὴ περί που τὸν παρέβριον τόπον — Κολοκοτινίτζαν αὐτὸν ὀνομάζουσι — ξυμβάλλουσι τὰ στρατεύματα. καὶ ὡς ἐν μικρῷ τὸ πᾶν παραστῆσαι, κατὰ κράτος νικᾶται παρὰ τῶν Βουλγάρων καὶ τῶν Σκυθῶν ὁ Θεόδωρος, καὶ συλλαμβάνεται μὲν παρὰ τῶν πολεμίων οὗτος, οὐκ ὀλίγοι δὲ καὶ τῶν προσγενῶν αὐτοῦ καὶ τῶν ἐν τέλει τε καὶ λογάδων, καὶ τὰ ἐκείνων πάντα λεία τοῖς Βουλγάροις ἐγένετο. φιλανθρωποτέρως δὲ περὶ
46 ed. B. τὸ ἁλωθὲν πλῆθος ὁ Ἀσὰν διατεθείς, τοὺς πλείους τῶν στρατευμάτων καὶ μάλιστα τοὺς χυδαιοτέρους καὶ σύγκλυδας ἐλευθεροῖ καὶ πρὸς τὰς αὐτῶν ἀποπέμπει κώμας τε καὶ πόλεις, τάχα μὲν καὶ τὸ φιλάνθρωπον ἐνδεικνύμενος, τάχα δὲ καὶ τὸ συμφέρον τούτῳ πραγματευόμενος· ἐβούλετο καὶ γὰρ δεσπόσαι τῶν τοιούτων, τῆς Ῥωμαϊκῆς ἀρχῆς ἀποστήσας. οὗ καὶ τετύχηκεν· ἐπεὶ καὶ γὰρ κατ' αὐτῶν κατόπιν ἐχώρει, πάντες ἀναιμωτὶ τούτῳ ὑπέπιπτον, καὶ γίνεται μὲν ὑπ' αὐτὸν ἡ Ἀδριανοῦ, ἐκ τοῦ σχεδὸν δὲ καὶ τὸ Διδυμότειχον, εἶτα Βολερὸν ἅπαν, Σέρραι, Πελαγονία καὶ Πρίλαπος καὶ

---

1 ὑποπτήξαντες] οὐκ ἐπτήξαντες sec. m. del. F 2 οὕτω] ὅτω U 5 ἀπὸ] ὑπὸ U 6 θαρραλεώτερον] θαραλεώτερον F 7 ἐφέρετο] ἀφίκετο U ‖ κἂν] καὶ B 9 Κολοκοτινίτζαν] κλοκοτινίτζαν BFG ‖ ὀνομάζουσι] ὀνομαζόμενον U 10 ἐν om. F 12 ὁ om. U 15 ἐγένετο] ἐγένοντο in marg. ..... ἡττήθη αὐτὸς καὶ συσχεθεὶς ἐτυφλώθη U ‖ δὲ] δὲ καὶ U ‖ περὶ] παρὰ F 16 τοὺς χυδαιοτέρους] τῶν χυδαιοτέρων U 17 σύγκλυδας] σύκλιδας G 18 αὐτῶν] ἑαυτῶν BU ‖ κώμας τε καὶ πόλεις] πόλεις τε καὶ κώμας F 19 καὶ om. ab 20 τούτῳ] αὐτοῦ U ‖ ἐβούλετο Oab ἐβουλεύετο BG 21 ἀποστήσας] ἀποστάσας a ἀποσπάσας b 23 πάντες] πάντας a πάντα b ‖ ἀναιμωτὶ] ἀναιμοτὶ AB ἀναιμοτεὶ G 24 Διδυμότειχον] διδυμότοιχον Gab 25 Βολερὸν] βουλερὸν U

τὰ πέριξ τούτων. κατέδραμε δὲ καὶ τῆς Μεγάλης Βλαχίας, ἀλλὰ καὶ τοῦ Ἐλβάνου κατακυριεύει, καὶ μέχρι τοῦ Ἰλλυρικοῦ τὰς λείας ποιεῖ. ἐπεὶ δὲ τὸ πολὺ τοῦ βουλεύματος κατειργάσατο καὶ ὡς ἠγάπα τὰ κατ' αὐτὸν διέθετο, εἰς τοὺς οἰκείους ἐπανέζευξε τόπους, τινὰ μὲν τῶν φρουρίων καταλελοιπὼς ὑπὸ Ῥωμαίων δεσπόζεσθαι, τὰ πλείω δὲ ὑφ' ἑαυτὸν ποιησάμενος, στρατιώτας ἐν τούτοις τάξας καὶ στρατηγοὺς καὶ τοὺς εἰσπραττομένους τὰ δημόσια φορολογήματα. ἔδοξε γοῦν τοῖς πᾶσι τότε καὶ θαυμαστὸς καὶ μακάριος· οὐ γὰρ ἐχρῆτο μαχαίραις ἐν τοῖς ἰδίοις οὐδὲ ἐχραίνετο φόνοις Ῥωμαϊκοῖς, ὡς οἱ πρὸ αὐτοῦ τῶν Βουλγάρων. ἔνθεν τοι καὶ οὐ μόνον παρὰ Βουλγάρων ἀλλὰ καὶ παρὰ Ῥωμαίων ἐφιλεῖτο καὶ ἑτέρων ἐθνῶν.

26. Ἐπεὶ γοῦν, ὡς ὁ λόγος ἱστόρησεν, ὁ Ἄγγελος Ephraem. ed. B. v. 8107
Θεόδωρος λάφυρον ἐγεγόνει μετὰ καὶ λοιπῶν προσηκόντων 47 ed. B.
τῷ γένει καὶ ἐκκρίτων ἀνδρῶν τῷ Ἀσάν, ἐφρουρεῖτο μὲν παρ' αὐτοῦ, ἐφιλοφρονεῖτο δὲ τὰ πολλά. καὶ τοῦτο ἦν ἐπὶ πολύ· ἐπεὶ δὲ εἰς τὰ οἴκοι νεωτερισμοῖς χρᾶσθαι πεφώραται, ἐκτυφλοῖ αὐτὸν ὁ Ἀσάν. ὁ μὲν οὖν ἀδελφὸς αὐτοῦ Μανουὴλ ὁ Ἄγγελος, ὃς δεσποτικῷ ἀξιώματι παρὰ τοῦ ἀδελφοῦ τετίμητο, φυγῇ χρησάμενος, ἡνίκα τὸ Ῥωμαϊκὸν ἐτρέπετο στράτευμα, περὶ τὴν Θεσσαλονίκην ἀπήει καὶ δεσπό- 1230
της ὠνομάζετο, ταύτης τε κυριεύων καὶ τῶν περὶ αὐτήν, ἐρυθροῖς δὲ γράμμασι τὰς αὐτοῦ γραφὰς ἐπεκύρου. πρὸς ὃν καὶ ἀπέσκωψέ τις τῶν πρέσβεων παρὰ τοῦ βασιλέως Ἰωάννου ἀποσταλείς, ὡς εἰς σὲ καὶ μᾶλλον ἁρμόσει τὸ εἰς Χριστὸν

---

1 τὴν μεγάλην βλαχίαν U 2 Ἐλβάνου] ἀλβάνου GU 3 τὰς λείας] τὰς πόλεις G 4 κατ' αὐτὸν] κατ' αὐτῶν B καθ' αὐτὸν ab 9 τότε καὶ] τότε U 10 ἐχρῆτο] ἐχρᾶτο BFG || ἰδίοις A οἰκείοις O || οὐδὲ] οὐδ' Fab 11 ὡς οἱ πρὸ in ὡς ὁ πρὸ pr. m. mut. F 15 λοιπῶν] τῶν λοιπῶν F τὸν λοιπῶν U 16 τῷ — ἐκκρίτων om. U || καὶ om. ab || τοῦτο] τούτῳ U 18 οἴκοι] οἶκον F || χρᾶσθαι om. A 19 οὖν om. F 20 ὁ Ἄγγελος] ἄγγελος U 21 τετίμητο A ἐτετίμητο O 22 ἐτρέπετο] ἐπετρέπετο ab || περὶ] παρὰ F ἐπὶ b 23 τε om. U 24 δὲ om. F τε U || αὐτοῦ post γραφὰς pos. U || ἐπεκύρου] ἀπεκύρου F 26 καὶ μᾶλλον] μᾶλλον ab 26 ἁρμόσει] ἁρμόζει?

ψαλτῳδούμενον, σὲ τὸν βασιλέα καὶ δεσπότην. ἦν μὲν οὖν τὸ ἀπὸ ταῦδε ὁ Ἄγγελος Μανουὴλ τῶν ἐναπολειφθεισῶν πρὸς τὰ δυτικὰ μέρη χωρῶν τε καὶ πόλεων ἐγκρατής, μὴ παρὰ τῶν Βουλγάρων τὸ σύνολον ἐνοχλούμενος, ἐπεὶ τῇ ἐκ παλλακίδος τοῦ Ἀσὰν συνεκοιτάζετο θυγατρί.

Ephraem. 27. Ἀλλὰ περὶ τοὺς ἐν τῇ Κωνσταντίνου Λατίνους
ed. B. v. 8136 ἐλθέτω καὶ αὖθις ὁ τῆς ἱστορίας εἱρμός. οἱ ἐν τῇ Κωνσταντινουπόλει, ἐπειδή, ὡς προειρήκειμεν, ὁ Ῥομπέρτος, ὃν ὡς βασιλέα ὁ λόγος ἔχειν τούτους ἱστόρησε, τὴν Εὔριπον καταλαβὼν τετελεύτηκεν, ἐναπελείφθη δὲ ὁ ἀδελφὸς αὐτοῦ Βαλ-
48 ed. B. δουῖνος ἔτι ἀφῆλιξ ὤν, στέλλουσι πρεσβείαν πρὸς Ἰωάννην τὸν ὀνομαζόμενον Ἱεροσολύμων ῥῆγα, φήμην τε πολλὴν αὐχοῦντα περὶ τὰς στρατιωτικὰς μεθόδους βριαρόν τε χεῖρα καὶ τῷ μεγέθει τοὺς κατ' αὐτὸν ὑπερβάλλοντα, ὡς ἄν τε ἀφίκοιτο πρὸς αὐτοὺς καὶ βασιλεὺς Κωνσταντινουπόλεως φημισθείη καὶ ἄρξοι ὡς αὐτοκράτωρ τῶν εἰς αὐτήν, ἐπιγαμβρεύσοι δὲ ἑαυτῷ καὶ τὸν ὃν εἶχον εἰς τὴν κληρονομίαν, ὡς ᾤοντο, Βαλδουῖνον — ὑπῆρχε γὰρ τῷ ῥηγὶ καὶ θυγάτριον — μετὰ δὲ τὴν τοῦ ῥηγὸς ἀποβίωσιν βασιλεύσοι τούτων ὁ Βαλδουῖνος, αὔξην προσδεδεγμένος τῆς ἡλικίας, ἐπεὶ καὶ ὁ ῥὴξ ἔξωρος ἄγαν ἦν, περί που τὰ ὀγδοήκοντα ἔτη ἢ καὶ πλείω τούτων διαβιώσας· ὡς καὶ αὐτὸς τοῦτον εἶδον, καὶ ὑπερεξεπλάγην τὸ τοῦ ἀνδρὸς μῆκος ἐν πάσῃ διαπλάσει τοὺς ἄλλους πολὺ ὑπερβάλλον κατά τε μῆκος καὶ πλάτος. ξυνέθετο γοῦν ὁ ῥὴξ τῇ πρεσβείᾳ καὶ κατα-

---

1 ψαλτῳδούμενον] ψαλμῳδούμενον pr. m. μ ex τ corr. U ‖ ἦν] καὶ ἦν b ‖ οὖν om. BF **3** τε καὶ A καὶ O **6** περὶ] παρὰ F ἐπὶ b ‖ τῇ om. F ‖ Κωνσταντίνου] κωνσταντινουπόλει U **7** εἱρμός] λόγος τε καὶ εἱρμός U **8** προειρήκειμεν] προειρήκαμεν BU εἰρήκειμεν F **9** τὴν] τὸν ab **12** ὀνομαζόμενον] ἐπονομαζόμενον U ‖ ῥῆγα] τὸν ῥῆγα ante Ἱεροσολύμων pos. F **13** χεῖρα] τὴν χεῖρα U **14** τε] γε ab **16** ἄρξοι] ἄρξῃ F ἄρξειεν U ‖ ἐπιγαμβρεύσοι] ἐπιγαμβρεύσῃ F ἐπιγαμβρεύσει U **17** ἑαυτῷ] αὐτῷ U ‖ εἶχον] εἶχεν ab ‖ τὴν om. U **19** τὴν om. F ‖ βασιλεύσοι B βασιλεύσει O **20** αὔξην] αὔξιν U **22** τούτων] τοῦτον F **23** καὶ om. ab ‖ μῆκος] μέγεθος? **24** πολὺ ὑπερβάλλον] ὑπερβάλλοντος πολὺ BU ‖ τε] γε ab

λαμβάνει τὴν Κωνσταντίνου, τὴν πορείαν διὰ θαλάττης 1228 *πεποιηκώς· οὐδὲ γὰρ εἶχε λαὸν ἀξιόχρεων ὡς ἄν γε πεζοπορήσειεν. ἐπεὶ δὲ καταλάβοι τὴν Κωνσταντίνου, οὐκ εὐχερῶς εἶχεν ἐξιέναι τε καὶ μάχης κατάρξαι· καὶ γὰρ ἐπέγνω τὸν βασιλέα Ἰωάννην στρατηγικώτατόν τε ὄντα καὶ ταῖς κατ᾽ ἐχθρῶν μάχαις εὐμεθοδώτατον. ἐμέμφετο γοῦν ἑαυτὸν τῆς ἐγχειρήσεως καὶ ὅτι πρώτως τοῦ ἔργου ἐπελάβετο· καὶ* 49 ed. B. *κακῶς ἔφασκε νοεῖν τοὺς λέγοντας, εἴ γε καὶ οὕτως ὑπελάμβανον καὶ οὐκ ἠρέθιζον αὐτὸν διὰ τὸ σφίσι συμφέρον, ὡς καταλάβοι ἂν εἰς χώρους ὧν οὐκ ἐπίσταται ἄρχειν ὁ ἐπ᾽ αὐτοῖς βασιλεύων· καλῶς γὰρ ἐγνώκει καὶ ἔλεγεν, ὡς εἰ δέκα τοσοῦτοι χῶροι τῷ βασιλεῖ Ἰωάννῃ πρὸς δεσποτείαν ὑπῆρχον, καλῶς ἂν ἠπίστατο τούτων κατάρχειν καὶ βασιλεύειν καὶ διασώζειν ἐκ τῶν ἐχθρῶν. εἴτε γοῦν διὰ ταῦτα εἴτε καὶ τρυφῆσαι εἰς ἄκρον ἐν τοῖς τῆς Κωνσταντίνου βεβουλημένος καλοῖς, δύο ἐνιαυτοὺς ἐντὸς αὐτῆς διήνυσε. μόγις οὖν τριήρεις οἰκονομήσας καὶ στράτευμα συναθροίσας ὅσον εἶχε πρὸς δύναμιν, κατὰ τῆς ἕω ἐχώρησε, καὶ περὶ τὸ τῆς Λαμψάκου ἐλλιμενίζει νεώριον, προσεχῶς τῷ τότε τοῦ βασιλέως Ἰωάννου ἐκ τῆς κατὰ τοῦ καίσαρος Γαβαλᾶ μάχης ὑποστρέψαντος, ὃν διὰ νεωτερισμὸν ἐμαχέσατο.*

28. *Ὁ μὲν οὖν βασιλεύς, περὶ τὰ τῆς Σταδείας μέρη* Ephraem. *τὰς σκηνώσεις ποιούμενος, τῷ Παλαιολόγῳ Ἀνδρονίκῳ, ὃν* ed. B. v. 8144 *μέγαν δομέστικον εἶχε, περὶ οὗ καὶ μικρὸν πρόσθεν εἰρήκειν, τὰ στρατεύματα καὶ τοὺς στρατηγοὺς παραδοὺς καὶ περὶ*

---

2 *ὡς*] *οἷς* F ‖ *ἄν γε*] *ἄγαν* U **4** *εἶχεν*] *εἶξεν* B corr. ab ‖ *τε* om. ab **6** *ἑαυτὸν* Aab *ἑαυτῷ* O **7** *πρώτως*] *πρότερος* U ‖ *ἐπελάβετο*] *ἐπεβάλετο* B *ἐπεβάλλετο* FG **8** *ἔφασκε νοεῖν*] *ἔφασκεν* ab **9** *οὐκ* om. U **10** *ὧν*] *οὓς* U **12** *δεσποτείαν*] *δεσποτίαν* B corr. ab **13** *ἂν* om. BU **15** *τῆς* om. F **16** *βεβουλημένος*] *βεβουλημένοις* B corr. ab *βεβουλευμένος* F ‖ ⟨*ἄπρακτος*⟩ ante *ἐντὸς* suppl. ex s? ‖ *αὐτῆς*] *αὐτοῖς* F **17** *οὖν* A *γοῦν* O ‖ *στράτευμα* post *συναθροίσας* pos. U **21** *ὑποστρέψαντος—νεωτερισμὸν*] *ἐπιστρέψαντος, ᾧ διανεωτερισμὸν* U **22** *τὰ*] *τὰς* U ‖ *Σταδείας* A *σταδίας* O **23** *τῷ*] *τῷ δὲ* G **25** *περὶ*] *ἐπὶ* b ‖ *ἐστάλλη* ⟨*ἀνδρόνικ*⟩ος δο⟨μέστι⟩κος ⟨ὁ παλ⟩αιο⟨λόγο⟩ς παρὰ ⟨τοῦ β⟩ασιλέως ⟨*περὶ τὴν*⟩ *ῥόδον* in marg. U

τὴν νῆσον Ῥόδον τριήρεσιν ἱκαναῖς καὶ λοιπαῖς ἐξαποστείλας ναυσίν, εἴ πως βριαρώτερον ἐπιτεθείη τῷ ἀποστάτῃ καὶ καταβλάψειεν οἷς οἶδε λόγοις τῆς στρατηγίας — ἐπεὶ δὲ ταῦτα οὕτω συμβαίη καὶ κατὰ σκοπὸν Ἰωάννῃ τῷ βασιλεῖ τὰ περὶ τὸν καίσαρα γένοιτο, ἀκούσοι δὲ καὶ ὡς ὁ ῥὴξ ἐξήει τῆς
50 ed. B. *Κωνσταντίνου καὶ βουλὴν ἔχει προσοκεῖλαι τῇ Λαμψάκῳ κἀκεῖ ἐξελθεῖν καὶ Ῥωμαίοις πολεμῆσαι, μεθ' ὧν ἔτυχε διάγειν ὁ βασιλεὺς — ὀλίγοι δὲ ἦσαν οὗτοι, ἐπεὶ τὸ πολὺ τῆς στρατιᾶς τῇ μάχῃ καὶ τῇ ὥρᾳ τοῦ χειμῶνος τεταλαιπωρηκὸς περὶ τὰ οἴκοι ἐφέρετο — χωρεῖ πρὸς τὴν Λάμψακον καὶ τοῖς τῆς Σιγρηνῆς μέρεσι τὰς σκηνὰς πήγνυσι.*

1233 29. *Τότε καὶ αὐτὸς πρὸς τῶν γονέων ἐκ τῆς Κωνσταντίνου ἀπεστάλην τῷ βασιλεῖ, ἑκκαιδεκέτης ὢν καὶ νῦν τῆς ἐγκυκλίου ἀπηλλαγμένος παιδεύσεως, ἣν γραμματικὴν κατονομάζουσιν οἱ πολλοί. ἐβούλετο δέ μοι καὶ ὁ πατὴρ λάθρα τῆς τῶν Λατίνων ἀπολισθῆσαι χειρός· ἰσχυρῶς γὰρ παρ' αὐτῶν ἐκεκράτητο ταῖς τε τῶν ἀναλωμάτων δαψιλείαις καὶ ταῖς σφῶν δεξιώσεσι, καὶ τὸ πολλὴν ἔχειν περὶ αὐτὸν ὑπηρεσίαν τέκνα τε θεράποντάς τε καὶ θεραπαινίδας οὐκ ὀλίγον ἐποίει τούτῳ τὸ ἐμποδών. ἀλλ' ἦν αὐτῷ κατὰ νοῦν τῷ τότε, καθὼς ἂν ἄρα δυνάμεως σχοίη, εἰ δεήσει, παρακινδυνεῦσαι πρὸς τὴν ἐξέλευσιν καὶ ἀποπλῆσαι τὸ σπουδαζόμενον. διά τοι τοῦτο κἀμὲ πρὸς τὸν κρατοῦντα προπέπομφε. κεκώλυκε δὲ τοῦτον νόσος βαρεῖα· ἡμιθνὴς γὰρ σχεδὸν καὶ ἡμίξηρος*

---

2 *βριαρώτερον*] *βριανώτερον* B corr. ab 3 *ἐπεὶ δὲ*] *ἐπειδὴ* BU 5 *ἀκούσοι*] *ἀκούσειε* U *ἀκούσας* ab v. ind. gram. ‖ *ἐξήει*] *ἐξείη* F 6 *ἔχει*] *ἔχοι* B ‖ *προσοκεῖλαι*] *προσωκεῖλαι* AGU 7 *καὶ*] *τε* post *Ῥωμαίοις* pos. U ‖ *διάγειν* sec. m. *ει* in *ω* G 9 *τοῦ χειμῶνος* om. F 10 *περὶ*] *ἐπὶ* b ‖ *καὶ*] *κἀν*? 11 *Σιγρηνῆς*] *σιγρηνοῖς* GU *οι* in *η* B ‖ *πήγνυσι*] *ἐπήξατο*, in marg. ead. m. *ἢ πήγνυσι* A 13 *ἑκκαιδεκέτης* AB *ἑκκαιδεκάτης* FGUa *ἑκκαιδεκαέτης* b ‖ *νῦν*] *ἀρτίως* U 14 *κατονομάζουσιν*] *ὀνομάζουσιν* U 16 *τῶν* om. U ‖ *ἰσχυρῶς*] *ἰσχυρὸς* sec. m. *ὸ* in *ῶ* corr. G 17 *ἐκεκράτητο*] *ἐγκρατεῖτο* U ‖ *τε* om. BFU 19 *τέκνα τε*] *τέκνα* U 20 *ἐποίει*] *ἐπήει* FG ‖ *τὸ* om. U 21 *δεήσει*] *δεήσοι*? 22 *ἀποπλῆσαι*] *ἀποπλῆσαι* (*ρω* supra) sec. m. F 24 *ἡμιθνὴς*] *ἡμιθανὴς* U

γεγονώς, περὶ δύο που ἔτη τῇ κλίνῃ προσπεπατταλευμένος, ἀπέλιπε τὸ βιοῦν, αὐτὸς δὲ ἐναπελείφθην τοῖς ἀνακτόροις προμηθείας βασιλικῆς ἀξιούμενος.

30. *Ὡς γοῦν ἔφημεν, καταλαβὼν ὁ ῥὴξ Ἰωάννης, ὁ καὶ βασιλεὺς Κωνσταντινουπόλεως φημιζόμενος, τὴν Λάμψακον, περὶ τὸν οὕτω πως ὀνομαζόμενον τόπον Ὁλκὸν τὰς νῆας τούτου καθώρμισεν. ὁ δὲ βασιλεὺς Ἰωάννης ἐπεὶ μὴ* 51 ed. B. *εἶχε μεθ' ἑαυτοῦ στρατὸν ἀξιόμαχον κωλῦσαι τούτῳ τὴν ἔξοδον δι' ἃς εἰρήκειν αἰτίας, μεθόδοις στρατηγικαῖς μεθ' ὧν εἶχεν ὀλίγων τὰς τῶν πολεμίων κινήσεις ἐκώλυεν. ἐξῆλθον οὖν οἱ Λατῖνοι καὶ ὁ τούτων ῥὴξ Ἰωάννης καὶ ἐβάδισαν μὲν τόπους τινὰς παραιγιαλίους· οὐδὲ γὰρ ἠδύναντο μακρότερον τῶν νηῶν αὐτῶν ἀποστῆναι, ὁ γὰρ ἀντιστρατηγῶν αὐτοῖς βασιλεὺς ἐπηκολούθει καὶ ὑπῆρχε δεινὸς μετὰ μικρᾶς πάνυ δυνάμεως ἀναχαιτίσαι τοὺς ἐναντίους. ὁ μὲν οὖν βασιλεὺς περὶ τὰς τῶν βουνῶν ὑπωρείας ἐποιεῖτο τὰς πορείας, περὶ δὲ τὰς ἠϊόνας οἱ Ἰταλοί. ὀλίγον οὖν χρόνον διαβιβάσαντες ἐν τῇ τοῦ βασιλέως παραιγιαλίῳ χώρᾳ — οὔπω γὰρ παρέδραμον τέτταρες μῆνες — καὶ ὀλίγον τόπον πατήσαντες — ἀπὸ γὰρ τῆς Λαμψάκου μέχρι καὶ τῶν Κεχρεῶν ἀφίκοντο — μικρὸν ἢ μηδὲν λυμήναντες — προύφθασε γὰρ ὁ βασιλεὺς τὰ χρειώδη πάντα τοῖς ὑψηλοτέροις τόποις διασώσασθαι — περὶ τὸ τῶν Πηγῶν ἐχώρησαν ἄστυ, ἓν μόνον φρούριον χειρωσάμενοι, ὃ Κεραμιδᾶς ὀνομάζεται, περί που τοὺς βουνοὺς διακείμενον τῆς Κυζίκου. εἶχον δὲ τὰς ναῦς αὐτῶν ἑτοίμους εἰς τὴν Κωνσταντίνου παλινοστῆσαι, καὶ ᾤχοντο ἂν αἰσχύνης καὶ ζημίας πεπληρω-*

---

1 *προσπεπατταλευμένος*] *πεπατταλευμένος* U **2** *τὸ βιοῦν* mut. in *τοῦ βίου* B *τοῦ βίου* ab **3** *βασιλικῆς*] *βασιλικὴν* F **6** *περὶ*] *ἐπὶ* U **7** *καθώρμισεν*] *καθώρμησεν* B **8** *ἑαυτοῦ*] *ἑαυτὸν* U **9** *μεθόδοις*] *μεθοδείαις* U **11** *οὖν* A *γοῦν* O **12** *ἠδύναντο*] *ἠδύνατο* U **13** *αὐτῶν*] *αὐτοῦ* U **15** *ἀναχαιτίσαι*] *ἀναχαιτῆσαι* F **18** *παραιγιαλίῳ*] *παραιγιαλείῳ* A **21** *τῶν*] *τοῦ* U ‖ *Κεχρεῶν*] *Κεγχριῶν* ab *Κεγχρεῶν* s ‖ *ἢ*] *ἢ καὶ* U **23** *περὶ*] *ἐπὶ* b ‖ *ἐχώρησαν*] *ἀνεχώρησαν* F **24** *Κεραμιδᾶς*] *κεραμιδὰς* BF **26** δὲ] δὲ καὶ ab ‖ Κωνσταντίνου] *Κωνσταντινούπολιν* F **28** καὶ ζημίας om. U

μένοι, εἰ μὴ τοῦ τῶν Πηγῶν ἄστεος περιεγένοντο τῇ κλοπῇ. ἀνὴρ γάρ τις δεινὸς ἀναρριχᾶσθαι πρὸς ἀκρωνυχίας πετρῶν ὁδὸν ἐφεῦρε, δι' ἧς ὡπλισμένους Λατίνους εἰς τὴν ἀκρό- 52 ed. B. *πολιν νυκτὸς ἀνεβίβασεν· οἳ καὶ τοῖς φύλαξιν αἴφνης ἐπεισπεσόντες αὐτούς τε ἐφόνευσαν καὶ εἷλον τὸ ἄστυ. τοῦτο πρὸς βραχὺ μὲν Ῥωμαίους εἰς δειλίαν ἐνέβαλε· πλήρης γὰρ ἦν ἡ πόλις ἀνδρῶν καλῶν τε καὶ ἀγαθῶν κἀκ τῶν περιφανεστέρων ἐν στρατιώταις· ἀλλ' ἡ τοῦ βασιλέως περὶ τὰ τοιαῦτα οἰκονομία καὶ στρατηγικωτάτη δεινότης τὴν τῶν Ῥωμαίων δειλίαν τότε ἀπετινάξατο καὶ εἰς πτοίαν μᾶλλον τοὺς Λατίνους ἐνέβαλε καὶ τῆς τε φυσικῆς ῥοπῆς καὶ τῆς ἐκ τῆς ἁλώσεως τῶν κατασχεθέντων γεγενημένης σφίσιν ὁρμῆς ἀνέστειλε. καὶ ὑπέστρεψαν εἰς τὴν Κωνσταντίνου,* Ephraem. *μικρόν, ὡς ἔφημεν, ἢ οὐδὲν εἰργασμένοι.*

ed. B. v. 8160 31. *Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης, οἷα ἐκεῖνος δεινὸς* Nic. Greg. *ἐφευρεῖν μεθόδους ἐν περιστάσεσι σῶσαί τε τὸ οἰκεῖον,* ed. B. I 29 *ὑπὲρ οὗ καὶ πλείονος ἐδεῖτο λόγου, ἀναχαιτίσαι δὲ καὶ τὸ ὑπεναντίον, ὡς ἂν δι' ἀμφοῖν τὰ οἰκεῖα κρατύνοιτο, εὑρίσκει τρόπον ἀποπληρωτικὸν τοῖν δυοῖν. ἐγεννήθη γὰρ αὐτῷ υἱὸς ἐκ τῆς βασιλίδος Εἰρήνης, ᾧ καὶ κλῆσις τοῦ πάππου καὶ βασιλέως Θεοδώρου τοῦ Λασκάριος ἐπετέθειτο· ἐνδέκατον δέ οἱ ἔτος τότε ἠνύετο. καὶ ὁ Ἀσὰν δὲ θυγάτριον ἔσχεν — Ἑλένη αὐτῇ τοὔνομα — παρὰ τῆς ἐξ Οὔγγρων γαμηθείσης αὐτῷ· ἔννατον καὶ ταύτῃ ἔτος ἦν. πρεσβείαν γοῦν στέλλει ὁ βασιλεὺς πρὸς τὸν τῶν Βουλγάρων ἄρχοντα*

---

1 *ἄστεος*] *ἄστεως* ab **2** *δεινὸς*] *δυνατὸς* U **4** *ἐπεισπεσόντες*] *ἐπιπεσόντες* U **6** *Ῥωμαίους*] *ῥωμαίοις* U ‖ *Ῥωμαίους εἰς δειλίαν* A *εἰς δειλίαν ῥωμαίους* O ‖ *ἐνέβαλε*] *ἐνέβαλλε* B corr. ab *ἐνέλαβε* U **7** *καὶ ἀγαθῶν*] *κἀγαθῶν* Uab **11** *ἐνέβαλε*] *ἐνέβαλλε* G ‖ *τε* om. U ‖ *ῥοπῆς*] *ὁρμῆς* U **12** *ἐκ τῆς* om. B ‖ *σφίσιν ὁρμῆς*] *σφίσι ῥοπῆς* U **16** *μεθόδους*] *μέθοδον* F ‖ *τε* om. U **17** *οὗ* om. F ‖ *δὲ* A *τε* O ‖ sec. *καὶ* om. U **18** *τὰ οἰκεῖα*] *τὸ οἰκεῖον* U **19** *τρόπον ἀποπληρωτικὸν*] *τόπον εὐπορητικὸν* U ‖ *ἐγεννήθη*—**20** *υἱὸς*] *ἦν γὰρ παιδίον αὐτῷ* U **21** *Λασκάριος*] *λάσκαρι* U ‖ *ἐπετέθειτο*] *ἐπετίθετο* U **23** *ἔσχεν*] *εἶχεν* U ‖ *Οὔγγρων* Aab *οὔγκρων* O **24** *ἔννατον*] *ἔνατον* U **25** *τὸν τῶν*] *τὸν* BF *τῶν* G

τὸν Ἀσάν, καὶ μνηστείας τῶν παίδων μνημονεύει καὶ τῆς ἀμφοῖν ἀγχιστείας καὶ τοῦ δι' ἀλλήλων εἰς ἀλλήλους συνασπισμοῦ 53 ed. B. τε καὶ συγκροτήσεως. καὶ δέχεται ὁ Ἀσὰν τὴν πρεσβείαν, καὶ πληροῦνται καὶ συμφωνίαι, καὶ ἐπὶ τούτοις καὶ ὅρκοι προύβησαν.

32. Τότε γοῦν καὶ αὐτὸς ἔρωτι τῶν μαθημάτων ἁλοὺς 1233 καὶ τῆς ὑψηλοτέρας τῶν λόγων παιδεύσεως, τοῖς πᾶσι χαίρειν εἰπὼν θελήματι τοῦ κρατοῦντος μετὰ καὶ ἑτέρων μειράκων εἰς τὰς τῶν λογικῶν παιδευμάτων θύρας παρήγγειλα. παιδευτὴς δὲ ἦν ἡμῖν ὁ Ἑξαπτέρυγος Θεόδωρος. ἐπεὶ δὲ ἔμπροσθεν τοῦ βασιλέως συνήλθομεν, πρός με τείνας τὸν λόγον ὁ βασιλεὺς εἰρήκει, ὡς 'τούτους μὲν ἐκ Νικαίας λαβὼν τῷ διδασκαλείῳ παρέδωκα, σὲ δὲ τοῦ ἐμοῦ ἐκβαλὼν οἴκου τουτοισὶ συναφῆκα διδάσκεσθαι. δεῖξον οὖν, ὡς ἀληθῶς τῆς ἐμῆς οἰκίας ἐξήεις, καὶ οὑτωσὶ τῶν μαθημάτων ἀντιποιήθητι. στρατιώτης μὲν γὰρ τὸ ἐπιτήδευμα γεγονὼς ὁπόσα ἂν ἔσχες τὰ τοῦ σιτηρεσίου παρὰ τῆς βασιλείας μου, τοσαῦτα ἂν ἴσως ἢ καὶ ὀλίγον πλείω διά τοι τὸ τοῦ γένους περιφανές· ἔμπλεως δὲ φιλοσοφίας φανεὶς μεγάλων ἀξιωθήσῃ τῶν τιμῶν τε καὶ τῶν γερῶν· μόνοι γὰρ τῶν πάντων ἀνθρώπων ὀνομαστότατοι βασιλεὺς καὶ φιλόσοφος.' οὕτω μὲν τῶν ἀνακτόρων ὑποχωρήσας εἰς διδασκάλου φέρων ἐνέβαλον ἐμαυτόν, ἑπτακαιδέκατον ἔτος ἄγων. ἦν δὲ οὗτος, ὡς ἔφην, ὁ Ἑξαπτέρυγος, ἀνὴρ οὐ πάνυ μὲν ἐπιστήμων ἐν τοῖς μαθήμασιν, ἀγαθὸς δὲ φράζειν, οἷα ῥητορικοῖς λόγοις κατάκρως ἐνδιατρίψας καὶ τὸ ἐξαγγέλλειν εὐφυῶς

---

1 τὸν Ἀσάν] Ἀσάν ab 2 ἀλλήλων εἰς om. B 4 sec. καὶ A αἱ O 9 παρήγγειλα] παρήμειβα μ et β sec. m. in ras. F παρήγγισα ab 10 ἦν om. U ‖ Ἑξαπτέρυγος] ἐξαπτέρυγος BF corr. b 15 οἰκίας] οἰκείας F 17 ἔσχες] ἔσχε F ‖ βασιλείας μου A βασιλικῆς δεξιώσεως O 18 διά τοι F cf. διά τοι τοῦτο 60,19; σοι διὰ b διά σοι O 19 ἔσται post περιφανές add. ab ‖ ἔμπλεως] ἔμπλεος U 20 τῶν γερῶν] δωρεῶν (γε supra) pr. m. A ‖ μόνοι] μόνον U 21 τῶν πάντων A ἁπάντων O 22 μὲν] μὲν οὖν F ‖ εἰς A ὡς ab ἐς O ‖ διδασκάλου] διδασκαλεῖον F 23 ἐνέβαλον BU ἐνέβαλλον O ‖ ἐμαυτὸν A ἑαυτῷ U ἑαυτὸν O 25 ῥητορικοῖς AU ῥητορικῆς BFG 26 λόγοις κατ. ἐνδ. A κατ. ἐνδ. λόγοις O

54 ed. B. *μεμελετηκὼς καὶ πολλοῦ διὰ τοῦτο ἠξιωμένος ὀνόματος.
ἐκείνου δὲ τελευτήσαντος μετὰ τὴν εἰς ἡμᾶς τῶν ποιημάτων
σαφήνειαν καὶ τὴν τῆς τῶν λόγων τέχνης διδασκαλίαν, παρὰ
τὸν Βλεμμύδην Νικηφόρον, ὃν τότε πάντες οἴδαμεν τῶν
ἄλλων τελεώτερον ἐν ταῖς κατὰ φιλοσοφίαν ἐπιστήμαις, ἐφοί-
τησά τε αὐτὸς καὶ ὅσοι σὺν ἐμοὶ ἐτελοῦντο τὰ λογικά. καὶ
ὁ μὲν περὶ ἡμῶν λόγος μέχρι τοσούτου νυνί· ἐσαῦθις δὲ
ὅπῃ παρείκοι τῇ ἱστορίᾳ παρεμβληθήσεται.*

33. *Ἐπεὶ δέ, ὡς προειρήκειν, καὶ ἀμφοῖν τοῖν βασιλέοιν
αἱ σπονδαὶ τῆς συμβιβάσεως γένοιντο, τῷ τε βασιλεῖ φημι
Ἰωάννῃ τῷ Δούκᾳ καὶ τῷ κρατοῦντι τῶν Βουλγάρων Ἀσὰν
Ἰωάννῃ, προκατέλαβε μὲν ὁ βασιλεὺς τὴν Λάμψακον καὶ
διαπεραιοῦται μετὰ τῶν οἰκείων δυνάμεων εἰς Καλλιούπολιν,
καὶ πολεμεῖ τὸ ἄστυ ἑλεπόλεις στήσας, καὶ ἐν οὐ πολλῷ τῷ*
1235 *χρόνῳ χειροῦται τοῦτο, τῆς τῶν Βενετικῶν ἀνασώσας τοῦτο*
Ephraem. *χειρός. μετὰ τοῦτο καταλαμβάνει τὴν Καλλιούπολιν καὶ ὁ*
ed. B. v. 8172 *Ἀσὰν σὺν τῇ οἰκείᾳ γαμετῇ τῇ ἐξ Οὔγγρων Μαρίᾳ καὶ τῇ*
Nic. Greg. *θυγατρὶ Ἑλένῃ, καὶ συνέρχεται εἰς Καλλιούπολιν τῷ βασι-*
ed. B. I 29 *λεῖ, καὶ τὰ εἰς φιλίαν ἀμφότεροι διαπράττονται. οὗτος μὲν
οὖν οὐ διεπέρασε τὸν Ἑλλήσποντον, ἀλλ' ἔμεινεν ἐν τοῖς
τῆς Καλλιουπόλεως μέρεσιν· ὁ δὲ βασιλεὺς Ἰωάννης τὴν
αὐτοῦ σύζυγον σὺν τῇ θυγατρὶ Ἑλένῃ λαβὼν διαπεραιοῦται
εἰς Λάμψακον, ἔνθα ἦν ἡ βασιλὶς Εἰρήνη, καὶ πληροῦσι
τὴν τῶν παίδων συνάφειαν, τοῦ πατριάρχου Γερμανοῦ τὰ*
55 ed. B. *τῆς ἱερολογίας τελέσαντος. τότε καὶ ὁ Τρινόβου ἀρχιερεύς,
ὑπὸ τὸν Κωνσταντινουπόλεως τελῶν, αὐτονομίᾳ τετίμηται
καὶ πατριάρχης ἀναγορεύεσθαι κέκριται βασιλικῷ καὶ συνο-*

---

1 *τοῦτο*] *τούτου* A **3** *τῆς*] *τοῦ* F **4** *Βλεμμύδην* A *ι* in *υ* corr. sec. m. G *βλεμμίδην* O ‖ *τῶν ἄλλων τελεώτερον* A *τελεώτερον τῶν ἄλλων* O **7** *μὲν* om. B **8** *παρείκοι* b *παρήκοι* O **9** *τοῖν*] *τοῖς* B corr. ab **11** *Ἀσὰν* om. U **14** *τὸ ἄστυ*] *τῷ ἄστει* U post *ἄστυ* add. *μαδύτων* F ‖ *τῷ* A om. O **15** *τοῦτο*] *τούτῳ* F ‖ *Βενετικῶν*] *βενετίκων* FGU ‖ *ἀνασώσας*] *διασώσας* BU **16** *ὁ* om. U **17** *Οὔγγρων* Aab *οὔγκρων* O ‖ *τῇ θυγατρὶ*] *θυγατρὶ* G **19** *ἀμφότεροι*] *ἀμφότερα* F **20** *ἔμεινεν*] *ἔμενεν* FG **21** *τῆς* om. A **24** *τὰ*] *τὰς* A **25** *Τρινόβου*] *τρινάβου* B corr. ab *στρινάβου* U **26** *τὸν*] *τῶν* U *τὸν τῆς* b

δικῷ τῷ θεσπίσματι, χάριτας τῶν προυχόντων ἀποτιννύντων τῷ Βουλγάρων ἄρχοντι Ἀσὰν τοῦ κήδους ἕνεκα καὶ τῆς φιλίας.

Ἐπεὶ γοῦν ὅσα εἰς τὰ τοιαῦτα φέρει πεπλήρωται, ἡ μὲν βασιλὶς Εἰρήνη τὸν υἱὸν μετὰ τῆς νύμφης λαβοῦσα τοῖς ἑῴοις συνδιῃτᾶτο χώροις, ὡσαύτως δὲ καὶ ἡ τοῦ Ἀσὰν σύζυγος ἐν τοῖς οἰκείοις τόποις ὑπέστρεψεν, ὁ δὲ βασιλεὺς Ἰωάννης καὶ ὁ Ἀσὰν τὰς οἰκείας δυνάμεις προσειληφότες καὶ ἄμφω τὴν δυτικὴν κατέδραμον χώραν, ὁπόση ἦν τοῖς Λατίνοις δουλεύουσα. καὶ λείαν μὲν πολλὴν ἐποιήσαντο καὶ Σκυθῶν ἐρημίαν — τὸ τῆς παροιμίας εἰπεῖν — τὴν ἅπασαν ἀπειργάσαντο, σφίσι δὲ αὐτοῖς κατὰ τοὺς ὅρκους τὰ ἄστη καὶ τὴν χώραν διεμερίσαντο. καὶ Καλλιούπολις μέν, ἐπεὶ καὶ πρὸ τῆς συνελεύσεως τοῦ Ἀσὰν παρὰ τοῦ βασιλέως ἑάλω, ὑπὸ τὸν βασιλέα ἐγένετο, ὁμοίως καὶ Μάδυτα καὶ πᾶσα ἡ ὀνομαζομένη Χερρόνησος. εἷλε δὲ ὁ βασιλεὺς καὶ τὸ τοῦ Κισσοῦ φρούριον, καὶ μέχρι ποταμοῦ, ὃν Μαρίτζαν ὁ πολὺς κατονομάζει λαός, τὰ σύνορα ἔθετο. ἐκράτησε δὲ καὶ τοῦ ὄρους τοῦ Γάνου καὶ ἐν αὐτῷ ἐδείματο καὶ πολίχνιον, ἔνθα καὶ τὸν Κοτέρτζην Νικόλαον φυλάττειν ἐξέπεμψε καὶ πράγματα παρέχειν Λατίνοις τοῖς 56 ed. B
ἐν τῇ Τζουρουλῷ, ἄνδρα πολλοῖς κατεξητασμένον πολέμοις καὶ ἐς τοσοῦτον εὐδοκιμήσαντα, ὡς πάντας τοιαύτην δόξαν περὶ τούτου σχεῖν, μήτε πρὸ αὐτοῦ μήτε μὴν μετ' αὐτὸν ἄλλον φανῆναι τοιούτοις ἔργοις ἐγκεχειρηκότα ἢ τοσαῦτα κατωρθωκότα. ὁ δὲ Ἀσὰν τὰ ὑπεράνω τῶν εἰρημένων χώ-

---

1 ἀποτιννύντων] ἀποτινύντων B ἀποτινόντων U 2 Βουλγάρων] τῶν βουλγάρων FU 4 εἰς A ἐς O 6 συνδιῃτᾶτο] συνδιετᾶτο U ἐνδιῃτᾶτο s ni fall. recte 9 κατέδραμον] κατέλαβον U 10 ἦν post δουλεύουσα pos. U ‖ τοῖς om. U 13 Καλλιούπολις] καλλιούπολιν G 14 ἐπεὶ καὶ] ἐπεὶ U 16 εἷλε] εἶχε ab 17 τοῦ om. U 18 κατονομάζει] μετονομάζει ab 19 τοῦ ὄρους] τὰ ὄρη F 20 Κοτέρτζην] κοτζέρτην A κοτέρτζην s 22 Τζουρουλῷ] cf. 26 ‖ κατεξητασμένον] ἐξητασμένον U 26 post κατωρθωκότα add. τοῦτο γοῦν τὸ τῆς τζουρουλοῦ (τζουρολοῦ F) οὐ (om. F) μετὰ πολὺν χρόνον ὑπὸ τῶν ῥωμαϊκῶν ἑάλω δυνάμεων G; eadem post 22 Τζουρουλῷ add. F ‖ χώρων] χώραν a

ρων καὶ πρὸς Βορρᾶν νεύοντα ὑφ' ἑαυτὸν ἔσχε. μέχρι μὲν οὖν καὶ αὐτῶν τῶν τειχῶν τῆς Κωνσταντίνου καὶ ἀμφότεροι κατηντήκεσαν, τοῦ ῥηγὸς Ἰωάννου ἐπ' αὐτῶν καθεζομένου καὶ καθορῶντος, καὶ πτοίαν πολλὴν τοῖς Λατίνοις ἐνέβαλον καὶ ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτοὺς ἔθεντο. ἐπεὶ δὲ ὁ τοῦ μετοπώρου παρερρύη καιρὸς καὶ ὁ χειμὼν ἤγγιζεν, ἀλλήλοις συνταξάμενοι ὅ τε βασιλεὺς Ἰωάννης καὶ ὁ Ἀσὰν ὁ μὲν εἰς τὴν οἰκείαν χώραν τῶν Βουλγάρων χωρεῖ, ὁ δὲ βασιλεὺς εἰς τὴν ἔσω διαπερᾷ.

Ephraem. ed.B.v.8207 34. Ἐπεὶ δὲ ὁ υἱὸς αὐτοῦ Θεόδωρος ἀφῆλιξ ἐτύγχανεν ὤν, — ἑνδέκατον γὰρ διήνυεν ἔτος, ὥσπερ ἔφημεν, ἡνίκα τῇ βασιλίδι Ἑλένῃ πρὸς γάμου κοινωνίαν ἐξεύγνυτο — τὰ μὲν ἐς συνουσίαν ἔμενον ἀτελῆ. ἀνήγοντο δὲ παρὰ τῆς βασιλίδος Εἰρήνης καὶ ἐπαιδεύοντο, οἷα ἐκείνη φύσεως ἀγαθῆς τυχοῦσα καὶ πρὸς ἅπαν καλὸν ἐπινεύουσα. τὰ μὲν οὖν τῶν Λατίνων πράγματα συνεστάλη τε τότε πολύ, καὶ τῷ κήδει τῶν δύο αὐτοκρατόρων εἰς ταπεινὸν ἄγαν καταπεπτώκει τούτων τὸ φρόνημα. ὁ δὲ ῥὴξ Ἰωάννης μικρὸν ἐπιβιώσας 57 ed.B. ἐξ ἀνθρώπων ἐγένετο, τὴν τῆς Κωνσταντινουπόλεως ἐξουσίαν 1237 τῷ αὐτοῦ γαμβρῷ τῷ Βαλδουίνῳ ὡς κλῆρον καταλιπών. ὁ δέ γε Ἀσὰν μετάμελος ἐπὶ ταῖς μετὰ τοῦ βασιλέως Ἰωάννου συνθήκαις, ὡς ἐφάνη, γενόμενος τρόπον ἐζήτει, ὅπως ἂν τὴν θυγατέρα ἀποσπάσῃ τοῦ συζύγου βασιλέως τοῦ Θεοδώρου καὶ ἑτέρῳ ταύτην κηδεύσῃ· τῶν γὰρ Ῥωμαίων ἐδεδίει πάνυ τὴν εἰς τὰ βελτίω προκοπήν, ἔθνους ἄρχων ὑποτεταγμένου πάλαι Ῥωμαίοις. σκέπτεται γοῦν αἰτίαν ὡς ἐδόκει μὲν εὔλογον, κἂν οὐκ ἐλάνθανε τοὺς ἐπισταμένους τὰ πράγ-

1 ἔσχε] ἔσχεν b 4 ἐνέβαλον] ἐνέβαλλον AF 9 εἰς] ἐς Fab ‖ διαπερᾷ] διαπερᾶν B corr. ab διαπεράσας U 11 διήνυεν] ἤδη ἤνυεν F 12 πρὸς—13 μὲν om. ab 13 ἐς] εἰς U 14 βασιλίδος] βασιλίσσης U 16 τότε om. U ‖ τῷ κήδει] τῶν ἤδει G 17 καταπεπτώκει] κατεπεπτώκει U 18 τούτων A om. O ‖ ἐπιβιώσας] ἀποβιώσας U 20 Βαλδουίνῳ] βαλδουίνου U 21 μετὰ om. BU ‖ Ἰωάννου om. F 22 ἐζήτει] ἐπεζήτει U 23 βασιλέως] καὶ βασιλέως U ‖ sec. τοῦ om. F 24 ταύτην] ταύτῃ U ‖ κηδεύσῃ] κηδεύσει A 25 εἰς] ἐς ab ‖ ἔθνους] ἔθνη F 26 σκέπτεται] σκήπτεται b nescio an recte ‖ γοῦν] οὖν U

ματα, καὶ ἀποστέλλει πρέσβεις πρὸς τὸν βασιλέα καὶ τὴν βασιλίδα, ὡς ἐπεὶ πλησιάσειε τῇ Ἀδριανοῦ βούλεται καὶ αὐτὸς καὶ ἡ σύζυγος αὐτοῦ τὸ θυγάτριον ἰδεῖν καὶ πατρικῶς περιπτύξασθαι καὶ τὰ εἰκότα πληρῶσαι καὶ αὖθις ἀποπέμψαι πρὸς τὸν πενθερὸν καὶ τὸν σύζυγον. ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης καὶ ἡ βασιλὶς Εἰρήνη, καίτοι γε ἀκριβῶς εἰδότες τὸ δρᾶμα καὶ καθαρῶς ἐπιγνόντες τὴν σκευωρίαν, ὅμως πέμπουσι πρὸς τὸν Ἀσὰν τὴν θυγατέρα, τοῦτ' εἰρηκότες ὡς, εἰ τὴν θυγατέρα κατάσχοι καὶ τοῦ νομίμως συζευχθέντος ἀποστερήσειεν, ἔστι θεὸς ὁ τὰ πάντα ἐφορῶν καὶ τιμωρίαν ἐπάγων τοῖς τοὺς ὅρκους παραβαίνουσι καὶ τὰς συνθήκας, ἃς ἐπὶ θεῷ μάρτυρι συνεστήσαντο, διάλυουσιν. ὁ μὲν οὖν Βούλγαρος τὴν θυγατέρα λαβὼν ᾤχετο, τοὺς ἑπομένους αὐτῇ πάντας ὀπισθορμήτους ποιήσας, καὶ τὸν Αἷμον διαβὰς 58 ed. B
ἐχώρει περὶ τὸν Τρίνοβον, κλαιούσης μὲν τῆς αὐτοῦ θυγατρὸς καὶ ὀλοφυρομένης καὶ τῆς πενθερᾶς καὶ βασιλίδος Εἰρήνης καὶ τοῦ συζύγου λίαν ἐποδυρομένης τὸν χωρισμόν. ὅτε φασὶ τὸν Ἀσὰν προσλαβόμενον αὐτὴν τῆς αὐτοῦ ἐφεστρίδος ἔμπροσθεν ἐπικαθίσαι καὶ τύψαι κατὰ κόρρης τοῖς δακτύλοις καὶ ἐπαπειλῆσαι δεινῶς, εἰ μὴ σιγῇ φέροι, ὅσα οἱ διὰ βουλῆς ἐστιν ἐπ' αὐτῇ διαπράξασθαι.

35. Κατ' ἐκεῖνο καιροῦ καὶ τὸ τῶν Σκυθῶν γένος, Ephraem.
τῶν Ταταρων καταδραμόντων αὐτῶν, ὁπόσοι τὸ ξίφος ed. B. v. 822
ἐκείνων ἐξέφυγον, ἀσκοῖς τὸν Ἴστρον διαπεράσαντες καὶ τὸν Αἷμον ὑπερπηδήσαντες τέκνοις ἅμα καὶ γυναιξί, καὶ ἀκόντων Βουλγάρων — πολλαὶ γὰρ ὑπῆρχον χιλιοστύες — τοὺς

---

2 καὶ αὐτὸς A αὐτός τε O 3 αὐτοῦ A om. O ‖ καὶ πατρικῶς] πατρικῶς τε U 5 sec. τὸν om. B 6 τὸ δρᾶμα om. U 8 τοῦτ'] ταῦτ' ab 9 ἀποστερήσειεν] ἀποστερήσαιεν A 13 Βούλγαρος] βούλγαρις U ‖ τὴν θυγατέρα post λαβὼν pos. F 15 περὶ] ἐπὶ b ‖ Τρίνοβον] στριναβὸν U 16 τῆς πενθερᾶς] πενθερᾶς ab 18 post φασὶ sec. m. add. καὶ A 19 κόρρης] κόρης U 20 ἐπαπειλῆσαι] ἀπειλῆσαι U ‖ φέροι AG φέρει BFU 21 διὰ βουλῆς] διαβολῆς a ‖ ἐστιν AU ἔστιν BFG ἐστὶν b 22 ἐκεῖνο καιροῦ] ἐκεῖνον τὸν καιρὸν U 23 Ταταρων] Ταρτάρων b 24 ἐκείνων om. U ‖ καὶ τὸν—25 ὑπερπηδήσαντες om. ab 26 Βουλγάρων] τῶν βουλγάρων U ‖ ὑπῆρχον om. F

τῆς Μακεδονίας χώρους κατέλαβον, οἱ μὲν περὶ τὸν Ἕβρον καὶ τὰ ἐκεῖσε πεδία τὰς νομὰς ποιούμενοι, οἱ δὲ περὶ τὰ κατωτέρω μέρη καὶ τὸν ποταμόν, ὃν ἡ χύδην ῥέουσα γλῶττα καθώσπερ ἔφημεν Μαρίτζαν κατονομάζει. καὶ γάρ ἐστιν ὡς ἀληθῶς Ἕβρος μέχρι καὶ τῆς Αἴνου τὰς ἐκδρομὰς ποιούμενος κἀκεῖθεν περὶ τὸ Αἰγαῖον ἐκρέων πέλαγος· ὅτι δὲ συμβάλλουσι τούτῳ καὶ ἕτεροι ποταμοὶ καὶ μείζω ποιοῦσιν, ἐναλλάττει τοῖς παροικοῦσι καὶ τοὔνομα. ἐλήιζον γοῦν τὰ ἐν Μακεδονίᾳ πάντα καὶ ὡς ἐν ὀλίγῳ ἔρημα τὰ πάντα τῶν οἰκητόρων ἐποίησαν, καὶ Σκυθῶν ἐρημίαν — τὸ τῆς παροιμίας εἰπεῖν — ἀπειργάσαντο, καὶ πολιχνίων δὲ ὁπόσα
59 ed. B. *ὑπῆρχον εὐχείρωτα πολέμῳ περιεγένοντο. καὶ ἐφονεύοντο μὲν πολλοί, ἐσκυλεύοντο δὲ πάντες καὶ ᾐχμαλωτίζοντο καὶ ἀπεμπολοῦντο ἐν τοῖς μείζοσιν ἄστεσιν, οἷον τῇ Ἀδριανουπόλει, τῷ Διδυμοτείχῳ, τῇ Βιζύῃ, τῇ Καλλιουπόλει, καὶ εἴ τι ἄλλο ἦν τείχεσιν ἐρυμνοτέροις ὠχυρωμένον καὶ τῷ πλήθει τῶν οἰκούντων ἠσφαλισμένον.*

Ephraem. ed. B. v. 8242 36. *Ἐπεὶ οὖν οὕτω ταῦτα συνέβη, καὶ τὸ τῶν Λατίνων γένος, καθ' ἡμῶν ἀεὶ μανίαν τρέφοντες, καὶ χεῖρον δὲ διατεθέντες διὰ τὴν πρὸ μικροῦ γενομένην σφίσι παρά τε τοῦ βασιλέως Ἰωάννου καὶ τοῦ Ἀσὰν ἔφοδον καὶ τῶν χωρῶν καὶ τῶν πολιχνίων αὐτῶν στέρησιν, καιρὸν ἐζήτουν*

---

3 *κατωτέρω*] *κατώτερα* U 4 *καθώσπερ*] *καθάπερ* ab 5 *Αἴνου*] *Αἴμου* a *Αἶμον* b 6 *περὶ*] *ἐπὶ* b ‖ *τὸ*] *τὸν* U ‖ *ἐκρέων* post *πέλαγος* pos. U 7 *τοῖς*] *καὶ τοῖς* FU 8 *καὶ τοὔνομα*] *τὸ ὄνομα* F *τοὔνομα* U ‖ *γοῦν*] *οὖν* B 9 *τὰ πάντα*] *πάντα* BU 11 *εἰπεῖν* A *ἐρεῖν* O ‖ *ἀπειργάσαντο*] *ἀπειργάσατο* U ‖ *ὁπόσα*] *ὅσα* U 12 *εὐχείρωτα*] *εὐχύρωτα* BG 13 *ἐσκυλεύοντο*] *σκωλεύοντο* F ‖ *ᾐχμαλωτίζοντο*] *αἰχμαλωτίζοντο* U 14 *ἀπεμπολοῦντο*] *ἀπεμπωλοῦντο* Ua *ἀπημπολοῦντο* b ‖ *μείζοσιν*] *μείζοσι* FG 15 *Διδυμοτείχῳ* AU *διδυμοτοίχῳ* FG *διδυμο*^{τχ} B ‖ *εἴ τι* post *ἄλλο* pos. U 17 *ἠσφαλισμένον*] *ἀσφαλισμένον* F 18 *οὖν* A *γοῦν* O ‖ *οὕτω* om. U ‖ *καὶ* om. b 19 *γένος*] *ἔθνος* in *γένος* corr. incert. qua m. A ‖ *ἀεὶ* post *ἡμῶν* pos. A, ante *καθ'* O ‖ *χεῖρον*] *χείρω* U 20 *διατεθέντες*] *διατεθέντος* U ‖ *γενομένην*] *γινομένην* AFG

ἐπιχειρήσασθαι καθ' ἡμῶν, εὑρόντες τῷ τότε δυνάμενον, ὡς ᾤοντο, τὴν ἧτταν τούτοις ἀνακαλέσασθαι. καὶ πρῶτα μὲν τὸν Ἀσὰν ὑποποιοῦνται καὶ τούτῳ τὰ πρὸς εἰρήνην σπένδονται, ἔπειτα δὲ σὺν αὐτῷ καὶ τοὺς Σκύθας, βαρβάρους ἄνδρας, ἀλήτας τε καὶ ἐπήλυδας, μικροῖς τισι τοῖς χαρίσμασι, μακροτέραις δέ γε ταῖς ὑποσχέσεσιν εἰς ἑαυτοὺς ἕλκουσι καὶ συμπράκτορας τῶν ἔργων ποιοῦσι. καὶ δὴ συμμαχίαν τοσαύτην ἔκ τε Σκυθῶν καὶ Βουλγάρων συνηθροικότες οἱ Ἰταλοὶ ὁμόσε κατὰ τοῦ βασιλέως Ἰωάννου χωροῦσιν. ἐπεὶ δὲ σφίσιν ἐκ τοῦ σχεδὸν τὸ τῆς Τζουρουλοῦ ἄστυ ἐτύγχανε, κατ' ἐκείνου τὴν μάχην ἱστῶσι, παρόντος αὐτοπροσώπως καὶ τοῦ Ἀσὰν μετὰ τοσούτων χιλιοστύων τῶν Σκυθικῶν καὶ τῶν Βουλγαρικῶν στρατευμάτων καὶ τῶν Ἰταλικῶν μηχανημάτων. ἦν δὲ τῆς Τζουρουλοῦ τὴν φρουρὰν παρὰ 60 ed. B.
τοῦ βασιλέως Ἰωάννου προσδεδεγμένος ὁ Ταρχανειώτης Νικηφόρος, ὃς ἐπὶ τῆς τραπέζης τοῦ βασιλέως ὑπῆρχε τότε, μέγας δὲ δομέστικος τετίμηται ὕστερον· γαμβρὸς δὲ ἦν τοῦ μεγάλου δομεστίκου τοῦ Παλαιολόγου ἐπὶ τῇ πρώτῃ αὐτοῦ θυγατρὶ Μαρίᾳ. ἦν δὲ ὁ Ταρχανειώτης καὶ στρατιώτης καλὸς καὶ ἀγαθὸς στρατηγὸς καὶ πολλῆς ἐπαπολαύων τῆς παρὰ θεοῦ ἀντιλήψεως, καθὼς καὶ μέχρι τέλους ἐπέγνωσται· μάλιστα καὶ γὰρ ἐδόκει τοῖς πολλοῖς εὐτυχίᾳ κατορθούμενος τὰ πολλὰ ἢ εὐανδρίᾳ καὶ στρατηγίᾳ τῶν ἐναντίων περιγενόμενος. ἐπεὶ δὲ τῷ ἄστει παρεκαθίσαντο, — μηχανήματα μὲν καὶ ἑλεπόλεις τοῖς Ἰταλοῖς ἐγεγόνεισαν πολλαί τε καὶ ἰσχυραί, ὡς μὴ μόνον τηλικοῦδε ἄστεος περιγενέσθαι ἰσχύουσαι ἀλλὰ καὶ ὑψηλοτέρων τειχῶν καὶ εὐμεγεθεστέρων πόλεων, — τότε τὸ γενναῖον φρόνημα καὶ τὴν στρατηγικὴν

---

1 τῷ] τὸ U 6 γε om. U ‖ ἕλκουσι] ἐφέλκουσι U 10 Τζουρουλοῦ] τζουρολοῦ F 12 Σκυθικῶν] σκυθῶν U 13 Ἰταλικῶν] ἰταλῶν F 14 τῆς] ὁ τῆς U ‖ Τζουρουλοῦ] τζουρολοῦ F ‖ φρουρὰν] ἐφορίαν U 16 ὑπῆρχε] ὑπάρχων U 17 δὲ om. U 18 post δομεστίκου ex s ⟨Ἀνδρονίκου⟩ suppl.? ‖ ἐπὶ] ἐν F 19 καὶ στρατιώτης om. F 21 θεοῦ] τοῦ θεοῦ U ‖ καθὼς καὶ] καθὼς F ‖ ἐπέγνωσται μάλιστα· καὶ BU 25 μὲν om. BU τε ab 26 ἄστεος] ἄστεως ab 27 εὐμεγεθεστέρων] εὐμεγέθων A 28 τὸ] δὲ U ‖ τὴν om. U

μεθοδείαν μετὰ τῶν σὺν αὐτῷ ὁ ἐπὶ τῆς τραπέζης λαμπρῶς ἐνεδείξατο· ἦν δὲ τὸ ὅλον τῆς τοῦ θεοῦ ἀντιλήψεως. ἀντεμηχανᾶτο γὰρ ἔνδον ὁ Ταρχανειώτης τοῖς ἔξωθεν μηχανήμασι, καὶ τῇ τοσαύτῃ πληθύϊ τῆς στρατιᾶς ἀντεπεξῆγε τὸ ἀνδρικὸν ἐν πολλοστοῖς ἄγαν τοῖς στρατιώταις. ἐν ἀμηχανίᾳ δὲ ἦν ὁ βασιλεὺς Ἰωάννης, οὐ τοσοῦτον τῶν ἐν τῷ ἄστει ὑπεραγωνιῶν, ἀλλ' εἰδώς, οἷα ἐχέφρων καὶ συνετὸς τὰ πο- 61 ed. B. *λέμια, ὡς εἰ τὸ ἄστυ παρὰ τῶν ἐναντίων ἁλῴη, φροῦδα πάντα τὰ ἐν τῇ δύσει τούτῳ τυγχάνοντα γένοιντο. τέως οὖν ἠγάπα μᾶλλον ἐν τούτῳ ἐπτοῆσθαι τοὺς πολεμίους καὶ τὸ πολὺ τῆς ῥύμης σφίσιν ἐναποκόπτεσθαι· ἔμελε γὰρ αὐτῷ μᾶλλον τὰ ἐν τῇ ἕω, ὧν ἐλευθέρων ὑπαρχόντων τῆς μάχης πλεῖον αὐτῷ τὸ τῆς εὐφροσύνης ὑπῆν.*

Πολιορκουμένου γοῦν τοῦ ἄστεος Τζουρουλοῦ αἴφνης ἐπῄει μήνυμα τῷ Ἀσάν, ὡς ἡ σύζυγος αὐτοῦ ἡ ἐξ Οὔγγρων ἐξ ἀνθρώπων ἐγένετο· τετελεύτηκε δὲ κατὰ ταὐτὸ καὶ παιδίον αὐτοῦ καὶ ὁ Τρινόβου ἐπίσκοπος. θεομηνίαν γοῦν ἡγησάμενος ταῦτα πυρὶ ἀφανίζει τὰς ἑλεπόλεις, καὶ ὡς εἶχε δρόμου περὶ τὸν Τρίνοβον ἵκετο. μόνοι γοῦν ἀπολελειμμένοι οἱ Ἰταλοί, ἐπεὶ μὴ ἀποχρώντως εἶχον εἰς τὴν τοῦ ἄστεος πολιόρκησιν, κἀκεῖνοι τὴν κατ' αὐτῶν μάχην καταλελοιπότες ἐς τὴν Κωνσταντίνου ᾤχοντο. ἠλευθέρωτο γοῦν τὸ ἄστυ τῆς τῶν ἐναντίων πολιορκίας, καὶ συνηλευθέρωτο καὶ ὁ ἐπὶ τῆς τραπέζης Ταρχανειώτης, νικηφόρος ἐν τούτοις κατὰ τὴν κλῆσιν ἀνα-

---

1 *μεθοδείαν*] *μεθοδίαν* AB corr. b **2** *ἐνεδείξατο*] *ἀνεδείξατο* F *ἐπεδείξατο* U **3** *μηχανήμασι*] *μηχανήμασιν* b
7 *οἷα*] *οἷ* A **8** *τὸ ἄστυ*] *τῷ ἄστει* U ‖ ⟨*τοῦτο*⟩ *τὸ ἄστυ* suppl. ex s? **9** *τὰ* om. B **11** *ῥύμης*] *ῥύ* B corr. ab ‖ *ἔμελε*] *ἔμελλε* AFU **14** *γοῦν*] *γὰρ* U ‖ *ἄστεος*] *ἄστεως* ab ‖ *Τζουρουλοῦ*] *τζουρολοῦ* F *τζουροσλοῦ* B corr. ab **15** *ἡ ἐξ Οὔγγρων* om. A *Οὔγγρων* ab *οὔγκρων* BFU *οὔγγρων* sec. *γ* prim. m. in ras. G **16** *κατὰ ταὐτὸ*] *κατ' αὐτὸ* FU **17** *Τρινόβου*] *στρινάβου* U **18** *περὶ*] *ἐπὶ* b **19** *Τρίνοβον*] *στρίναβον* U ‖ *ἀπολελειμμένοι*] *ἀπολελειμένοι* BU corr. ab **20** *ἀποχρώντως*] *ἀποχρῶντος* AFU ‖ *ἄστεος*] *ἄστεως* ab, post *πολιόρκησιν* pos. U **21** *καταλελοιπότες*] *ἐλελοιπότες* B *ἐλλελειπότες* U *λελοιπότες* ab ‖ *ἐς*] *εἰς* U ‖ *Κωνσταντίνου*] *κωνσταντινούπολιν* F **23** *συνηλευθέρωτο*] *συνελευθέρωτο* G **24** *ἐν*] *ὁ ἐν* F ‖ *ἀναφανείς*] *φανείς* U

φανείς. ὁ μὲν οὖν Ἀσάν, ἐπειδὴ τούτῳ τὰ προρρηθέντα ξυμβέβηκε λυπηρά, εὐσεβῶς καὶ μάλα οἰηθείς, ὡς διὰ τὰς παραβασίας τῶν ὅρκων, ὧν μετὰ τοῦ βασιλέως Ἰωάννου ξυνέθετο, καὶ τὸ ἀποσπάσαι τὴν θυγατέρα τοῦ συζύγου Θεοδώρου ταυτὶ γένοιτο, μετάμελος ἐπὶ τούτοις γενόμενος πρέσβεις ἐξαπεστάλκει πρὸς τὸν βασιλέα, ἑαυτόν τε ἐξουθενῶν τῆς κακίστης πράξεως καὶ τὰς συνθήκας ἀνακαλούμενος [62 ed. B] καὶ συγγνώμην τῶν πεπραγμένων αἰτούμενος. ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης καὶ ἡ βασιλὶς Εἰρήνη, οἷα ἐκεῖνοι πρὸς τὰ εὐσεβέστερα καὶ θειότερα ἀπονεύοντες, δέχονταί τε τὴν πρεσβείαν, καὶ οὐδ' εἰς μακροὺς ἐλθόντες λόγους τούς τε ὅρκους καὶ αὖθις πεδοῦσι καὶ τὴν νύμφην Ἑλένην ἀνακαλοῦνται. ἀποστέλλεται γοῦν αὕτη πρός τε τὸν πενθερὸν καὶ τὸν σύζυγον, καὶ εἰρήνη πάλιν μέσον Ῥωμαίων τε καὶ Βουλγάρων.

37. Ὁ μὲν οὖν τῆς ἱστορίας δρόμος ἐφ' ἑτέραν τρέπεται [Ephraem. ed. B. v. 829] τὴν ὁδὸν καὶ τὰ περὶ τῶν ἐν τῇ Κωνσταντίνου διασαφήσει· πολυσχιδῶς γὰρ τότε τῶν πραγμάτων κεκινημένων διὰ τὸ πολυαρχίαν ἐν πᾶσι γενέσθαι, ποικίλως δεῖ καὶ τὰ τοῦ λόγου συστρέφεσθαι. ὁ μὲν οὖν Βαλδουῖνος, ὃν ὁ λόγος βασιλεῦσαι τῆς Κωνσταντίνου προείρηκεν, ἀπειρηκὼς ἐν ταῖς πρὸς Ῥωμαίους μάχαις, μᾶλλον δὲ τῇ πρὸς τὸν βασιλέα Ἰωάννην ἐναντιότητι — ἐς μικρὸν γὰρ τὰ ἐκείνου παρὰ τούτου συνέσταλται — πρὸς τὸν τῶν Φράγγων ἀποδεδημήκει ῥῆγα, προσῳκειωμένον τούτῳ καθ' αἷμα, οὐ μὴν ἀλλὰ καὶ ὡς ξυμφυλέτην ἄγαν τε Ῥωμαίοις ἐχθρὸν καὶ βοηθεῖν διὰ ταῦτα ἕτοιμον, καὶ συμμαχίαν ζητεῖ ἀξιόλογον,

---

2 μάλα] μᾶλλα U 3 παραβασίας] παραβάσας F παραβάσεις U ‖ τοῦ om. F 4 συζύγου] ζύγου B corr. ab 5 γένοιτο] γένοιντο B 6 τε om. GU 8 συγγνώμην] συγγόμην U 9 οἷα] οἷοι coni. b 11 οὐδ'] οὐδὲ ab 12 πεδοῦσι] ἐμπεδοῦσι U 17 τῶν ἐν τῇ BG τὴν ἐν τῇ A τὴν FU ‖ Κωνσταντίνου] κωνσταντινούπολιν F 18 πολυσχιδῶς] πολυσχεδῶς F 19 ἐν om. U 22 Ῥωμαίους] ῥωμαίων U 23 Ἰωάννην om. U 24 τῶν om. F ‖ Φράγγων] Φράγκων b 25 προσῳκειωμένον] προσωκειωσάμενος F 26 Ῥωμαίοις] ῥωμαίων U ‖ ἐχθρὸν om. U 27 βοηθεῖν] βοηθεῖν μὲν οὖν U

καὶ ἐπιτυγχάνει τοῦ σκοποῦ. καὶ ἐν οὐ πολλῷ χρόνῳ ἑξήκοντα χιλιάδες συνηθροίσθησαν Φράγγων, ἵν' ὅπως κατὰ Ῥωμαίων χωρήσωσιν. ἐπεὶ δὲ οὐκ ἦν αὐτοῖς εὔδρομος διὰ
63 ed. B. νηῶν ἡ ὁδός, τῆς ἀναγωγῆς προσαπαιτούσης πλείω ἢ κατὰ δύναμιν τὸν μισθόν, διὰ τῆς χέρσου τὴν πορείαν ποιοῦνται. καὶ δὴ τὰς ἄνω παραμείψαντες Γαλλίας καὶ διελθόντες τὴν Ἰταλίαν διὰ τῶν ὑπωρειῶν τῶν Ἄλπεων εἰς τὸ Ὀστρίκιον ἀφίκοντο, καὶ τὴν Οὐγγρίαν παραγγείλαντες διαπερῶσι τὸν Ἴστρον καὶ τῇ Βουλγάρων προσέσχον, πᾶσι μὲν ὡς φίλοις καὶ συγγενέσι καθ' ὁδὸν χρώμενοι· καὶ διὰ σφᾶς μὲν αὐτούς, οὐχ ἧττον δὲ καὶ διὰ τὴν πρὸς ἡμᾶς ἔχθραν ἐφιλοφρονοῦντο παρὰ τῶν κατὰ τόπους κρατούντων τὰ μάλιστα. οἱ μὲν οὖν Βούλγαροι τὰς μετὰ Ῥωμαίων σπονδὰς παρεωρακότες ἄδειαν τοῖς Φράγγοις δεδώκασι διὰ τῶν ὁρῶν αὐτῶν διελθεῖν, τῷ δοκεῖν ὑπ' αὐτῶν βιασθέντες
1241 τὴν ἐκβολήν. τὸ μὲν οὖν ἄστυ τῆς Τζουρουλοῦ καὶ αὖθις ἑάλω, ἐκστρατευσάντων κατ' αὐτῶν τῶν Λατίνων καὶ συμμαχούντων τούτοις καὶ τῶν Σκυθῶν. εἰς φυλακὴν δὲ ἦν τούτου ὁ Πετραλίφας Ἰωάννης, ὃς μέγας χαρτουλάριος πρὸς τοῦ βασιλέως Ἰωάννου τετίμητο, ἀνὴρ γενναῖος τὴν χεῖρα καὶ πολεμικοῖς πράγμασι κατεξητασμένος παιδόθεν. τὸ δὲ τῆς Λατινικῆς δυνάμεως περιὸν καὶ τὸ ἀπειροπληθὲς τῶν Σκυθῶν καὶ τὸ τῶν ἑλεπόλεων συχνόν τε καὶ καρτερὸν παραδοῦναι τοῦτον τὸ ἄστυ τοῖς Ἰταλοῖς πεποιήκεσαν. φασὶ δέ τινες καὶ προδοσίαν μελετῆσαί τινας κρύφα, κἀντεῦθεν πτοηθῆναι τὸ ἀπρόοπτον τῆς ἁλώσεως. οἱ μὲν οὖν Λατῖ-

---

2 Φράγγων] Φράγκων b ‖ ἵν' om. U 3 χωρήσωσιν] χωρήσουσιν U ‖ δὲ] δ' U 7 Ἄλπεων] ἄλπεων B corr. ab 8 Ὀστρίκιον] ὀστρίβιον U ‖ τὴν] πρὸς τὴν U ‖ Οὐγγρίαν AFGab οὐγκρίαν BU ‖ παραγγείλαντες] παραμείψαντες pr. m. μ et ψ in ras. F 9 τῇ] τῇ τῶν U ‖ πᾶσι μὲν] οἱ πᾶσιν U 13 μετὰ] μετὰ τῶν U 14 Φράγγοις] Φράγκοις b 15 ὁρῶν] ὁρῶν a ὅρων b 16 Τζουρουλοῦ] Τζουρολοῦ F 17 αὐτῶν] αὐτοῦ U 19 τούτου] τότε ab ‖ Πετραλίφας] πετραλοίφας F πετραλείφης U ‖ πρὸς] παρὰ FU 20 τοῦ βασιλέως Ἰωάννου] τὸν βασιλέα Ἰωάννην ab ‖ Ἰωάννου om. U ‖ τετίμητο] τετίμηται U 22 τὸ om. a 23 καρτερὸν] καρτερικὸν F καρτερῶν U 25 τινας post κρύφα pos. F 26 πτοηθῆναι] αὐτὸν πτοηθῆναι U

νοι τὴν Τζουρουλὸν ἐχειρώσαντο, καὶ τοὺς ἐν ταύτῃ Ῥωμαίους συνάμα τῷ Πετραλίφᾳ δεσμώτας ἤγαγον εἰς τὴν 64 ed. B *Κωνσταντίνου, καὶ πρὸς τοὺς οἰκείους αὐτοὺς ἀπημπόλησαν.*

Τοῦ δὲ ἄστεος τῆς Τζουρουλοῦ πολιορκουμένου παρὰ τῶν Ἰταλῶν, ὁ βασιλεὺς Ἰωάννης τριήρεις ἱκανὰς συσκευασάμενος καὶ στράτευμα οὐκ ὀλίγον μεθ' ἑαυτοῦ προσλαβὼν κατὰ τῶν Ἰταλῶν ἐπεχείρει. ἀπὸ μὲν οὖν τῆς Νικομηδείας ἀπάρας καὶ παραμείψας τὸν Χάρακα ἐπόρθησε τὴν Δακίβυζαν πρὸ καιροῦ καὶ κατέσχε ταύτην, προσέτι δὲ καὶ τὸ τοῦ Νικητιάτου φρούριον, καὶ ὑφ' ἑαυτὸν καὶ τοῦτο πεποίηκεν. ἐδυστύχησε δὲ τῷ τότε ἐν ταῖς τριήρεσιν, ἀπειροπολέμων 1241 *ὄντων τῶν ἐν αὐταῖς μαχομένων καὶ τοῦ Ἰοφρὲ τοῦ Ἀρμενίου, εἰς τάξιν ἡγεμόνος ἐν τούτοις τυγχάνοντος καὶ ὀκνηρότερον τελοῦντος περὶ τὰ μάχιμα. προϋπῆρχε δὲ τὴν τῶν τριήρεων στρατηγίαν ὁ Κοντοφρὲ Μανουὴλ περιεζωσμένος, ἀνὴρ γενναῖος τὴν χεῖρα καὶ Ἄρην πνέων κατά τε θάλατταν καὶ ξηράν. ἀλλὰ πρό τινων ἡμερῶν θρασυτέρας τὰς διαλέξεις περὶ τοῦ ναυτικοῦ πρὸς τὸν βασιλέα ποιησάμενος — εἰρήκει καὶ γὰρ ὡς οὐκ ἂν ἀντωπήσαιεν ταῖς Ἰταλικαῖς τριήρεσιν αἱ ἡμέτεραι, κἂν πολλαπλασιάζοιντο πρὸς αὐτάς, ἀκριβῶς τὰ περὶ ἀμφοῖν ἐπιστάμενος — παρεστάλη τῆς ἡγεμονίας, καὶ ὁ Ἰοφρὲ αὐτὴν διεδέξατο, καὶ ἡττήθη ἧτταν σφόδρα δεινήν. τριάκοντα γὰρ ἐξάρχων τριήρεων ὑπὸ τρισ-*

---

1 *Τζουρουλὸν*] *τζουρουλοῦν* U 2 *Πετραλίφᾳ*] *πετραλοίφᾳ* F *πετραλείφῃ* U ‖ *δεσμώτας*] *δεσμότας* U 3 *Κωνσταντίνου*] *κωνσταντινούπολιν* F ‖ *αὐτοὺς* om. U ‖ *ἀπημπόλησαν*] *ἀπεμπώλησαν* U 4 *ἄστεος*] *ἄστεως* ab ‖ *τῆς Τζουρουλοῦ*] *τοῦ τζουρολοῦ* F ‖ *παρὰ τῶν* A *παρ'* O 5 *ὁ*] *ὁ δὲ* U 7 *ἐπεχείρει*] *ἐπεχώρει* pr. m. *ω* in *ει* corr. A ‖ *οὖν* om. BU ‖ *Νικομηδείας* ABU *νικομήδους* FG 8 *Χάρακα*] *χάρακα* ab ‖ *τὴν*] *δὲ τὴν* U ‖ *Δακίβυζαν*] *δακίβιζαν* A *δακίβυζον* G 9 *δὲ*] *γὰρ* U 12 *αὐταῖς*] *αὐτοῖς* BFG corr. ab ‖ *Ἰοφρὲ*] *ἰσφρὲ* BU 13 *ὀκνηρότερον* AU *ὀκνηροτέρου* O 19 *ἀντωπήσαιεν*] *ἀντωπήσεν* B *ἀντωπήσειαν* ab pro *ἀντωπήσαιεν* sec. m. scr. *ἀντωβλέψηεν* F 20 *ἡμέτεραι*] *ἡμέραι* B corr. ab ‖ *πολλαπλασιάζοιντο*] *πολλὰ πλησιάζοιντο* A *πολλὰ πλησιάζωσι* U ‖ *αὐτάς*] *αὐτούς* ab 21 *ἀμφοῖν*] *ἀμφοῖν αὐτῶν* U 22 *καὶ ὁ*] *ὁ* F *καὶ* ab ‖ *Ἰοφρὲ*] *ἰσφρὲ* BU *ἰοφρὲ δὲ* F 23 *σφόδρα— ἐξάρχων* marg. praeciso des. U

καίδεκα ἐκνενίκηται, καὶ τοσαύτας ἀπώλεσεν ὁπόσαι ἦσαν τῶν ἐναντίων· ἑκάστη γὰρ τούτων μίαν ἐκέρδησε λάφυρον 65 ed.B. αὐτοῖς ἀνδράσι καὶ ὅπλοις. καὶ ταῦτα μὲν ἔσχεν οὕτως. ὁ δὲ βασιλεὺς Ἰωάννης καὶ αὖθις μετὰ τοῦ βασιλέως Ἀσὰν εἰρήνην εἶχε, καὶ τῇ συγγενείᾳ καὶ ἄμφω συνεδέδεντο, οὐκ ἀκριβῶς μὲν τοῦ Ἀσὰν τὰς ἐνόρκους συμφωνίας φυλάττοντος· ἔστι γὰρ ὅτε διὰ κέρδος μικρὸν παρεσπόνδει. τέως οὖν ἐν τῷ φανερῷ καὶ πλατυκῶς ἔστεργε τὴν ἀγάπην καὶ τὰ τῶν φίλων ἐποίει.

Ephraem. ed.B.v.8327 38. Ὁ μὲν οὖν Ἀσὰν Ἰωάννης τῆς συζύγου στερηθείς, ἣν ἐξ Οὐγγρίας εἶναι ὁ λόγος φθάσας ἱστόρησεν, ἠγάγετο εἰς γυναῖκα τὴν θυγατέρα τοῦ Ἀγγέλου Θεοδώρου τὴν Εἰρήνην, καλὴν τὸ εἶδος καὶ εὐμεγέθη, μηδὲ τὸ τοῦ αὐταδέλφου τοῦ πατρὸς αὐτῆς κῆδος ὑπιδών, ὅτιπερ τῇ ἐκ παλλακίδος αὐτοῦ θυγατρὶ συνηυνάζετο. ἦσαν δὲ τῷ Ἀγγέλῳ Θεοδώρῳ παῖδες ἄρρενες δύο, Ἰωάννης καὶ Δημήτριος, καὶ θήλειαι δύο, ἡ Ἄννα καὶ ἡ ῥηθεῖσα Εἰρήνη, μεθ' ἧς ὁ Ἀσὰν παῖδας γεγέννηκε τρεῖς, τὸν Μιχαήλ, τὴν Θεοδώραν καὶ τὴν Μαρίαν. ἀπελύθη γοῦν τῶν δεσμῶν διά τοι τοῦτο καὶ ὁ Ἄγγελος Θεόδωρος, καὶ συναινέσει τοῦ γαμβροῦ αὐτοῦ τοῦ Ἀσὰν ἐγκρατὴς γενέσθαι τῆς Θεσσαλονίκης καὶ πάσης ἧς πρότερον ἦρχε χώρας ἠθέλησε. καὶ δή τινας ὀλίγους παρὰ τοῦ Ἀσὰν προσλαβόμενος, ἐπεὶ φανερῶς κινῆσαι κατὰ τοῦ Μανουὴλ τοῦ ἀδελφοῦ αὐτοῦ οὐκ ἠδύνατο, κρύφα μηχανᾶται τὴν εἰς Θεσσαλονίκην εἴσοδον, εὐτελῆ τινα ἀμφιασάμενος ῥάκια καὶ τὴν εἴσοδον ὑποκλέψας τῆς πόλεως. ἐπεὶ δὲ εἰσῄει καί τισιν ἐπεγνώσθη τοῖς οἷς ἐβούλετο, οὓς

---

3 *ἔσχεν*] *ἔσχον* U **4** *Ἰωάννης* om. A **5** *συνεδέδεντο*] *συνδέδεντο* B corr. ab *συνδέδενται* U **6** *φυλάττοντος*] *φυλάσσοντος* F **7** *κέρδος* post *μικρὸν* pos. b **8** *οὖν*] *δ'* U om. B **11** *Οὐγγρίας* O a b *οὐγκρίας* B U ‖ *ἱστόρησεν*] *ἐδήλωσε* U **12** *τοῦ Ἀγγέλου* post *Θεοδώρου* pos. F **14** *ὅτιπερ*] *ὅτι* U **17** pr. *ἡ* om. U **20** *καὶ ὁ*] *ὁ* B U ‖ *αὐτοῦ*—**21** *Θεσσαλονίκης* marg. praec. des. U **22** *ἦρχε*] *εἶχε* U **23** *κινῆσαι*] *κινῆσαι μάχην* b **24** *αὐτοῦ* om. U ‖ *τοῦ Μανουὴλ* A *τοῦ* om. et *Μανουὴλ* post *αὐτοῦ* pos. O **25** *τὴν εἰς*] *εἰς τὴν* in ras. F *τὴν ἐς* G ‖ *ἀμφιασάμενος*] *ἀμφασάμενος* U **27** *ἐπεγνώσθη*] *ὑπεγνώσθη* U

ὅτε εὐτύχει ἐφίλει τε καὶ εὐηργέτει, μεθ' ὧν καὶ τεθάρρηκε 66 ed. B. τὴν κατὰ τοῦ ἀδελφοῦ σκῆψιν, οὐ πολλοῦ δεηθεὶς τοῦ χρόνου ἐγκρατής τε αὖθις τῆς Θεσσαλονίκης ἐγένετο καὶ τῶν πέριξ πόλεων καὶ χωρῶν. βασιλεὺς δὲ ὀνομάζεσθαι 1232 οὐκ ἠθέλησε διὰ τὸ τῶν ὀφθαλμῶν πάθος, τὸν δὲ υἱὸν αὐτοῦ Ἰωάννην βασιλέα ὠνόμασε καὶ ἐρυθροῖς πεδίλοις τοὺς πόδας ἐκείνου ὑπέδησε καὶ τοιούτοις γράμμασιν ὑπογράφειν διώρισεν, αὐτόν τε διέπειν τὰ κοινὰ καὶ διεξάγειν τὰ τοῦ υἱοῦ. τὸν δ' ἀδελφὸν Μανουὴλ τῆς ἀρχῆς ἐκβαλὼν καὶ ἐμβαλὼν ἔν τινι τριήρει περὶ τὴν Ἀττάλου ἐξώρισε, τὴν δὲ σύζυγον αὐτοῦ πρὸς τὸν πατέρα Ἀσὰν ἐξέπεμψεν. ὁ δ' Ἀσὰν τὸν πενθερὸν μᾶλλον ἐφίλει Θεόδωρον ἢ τὸν γαμβρὸν αὐτοῦ Μανουήλ· ὑπερηγάπα γὰρ τὴν σύζυγον Εἰρήνην οὐχ ἧττον ἢ Ἀντώνιος τὴν Κλεοπάτραν.

Ὁ μὲν οὖν Μανουὴλ τῇ Ἀττάλου προσοκείλας παρὰ προσδοκίαν τοὺς ἐξ Ἄγαρ εὗρε φιλανθρωπίᾳ μᾶλλον πρὸς αὐτὸν χρησαμένους· ἐπεὶ γὰρ εἰρήκει πρὸς τὸν βασιλέα Ἰωάννην τυγχάνειν αὐτοῦ τὴν ὁρμήν, παρεχώρησάν τε τούτῳ τὴν δίοδον καὶ *** ἐφοδιασάμενοι προσηκόντως. ἐκεῖθεν οὖν πρὸς τὸν βασιλέα ἀφίκετο οὗτος, καὶ ὁ βασιλεὺς ἀσμένως τε τοῦτον ἐδέξατο καὶ ὡς προσῳκειωμένον τῷ γένει καὶ ὡς πάλαι δεσπότην ὠνομασμένον· δοὺς δὲ αὐτῷ χρῆμα καὶ τριήρεις ἓξ περὶ Μεγάλην Βλαχίαν ἀφῆκεν, ὅρκους παρ' αὐτοῦ λαβὼν φρικώδεις, οἷος ἐκεῖνος συνέσεως καὶ ἀγχινοίας πλήρης ὤν. καταλαβὼν οὖν τὸν τῆς Δημητριάδος χῶρον ὁ Μανουὴλ

---

1 εὐτύχει] ηὐτύχει F ‖ ἐφίλει τε] ἐφίλειστε b ‖ εὐηργέτει] εὐεργέτει U 2 σκῆψιν] αὐτοῦ σκέψιν U ‖ sec. τοῦ om. U 6 καὶ ἐρυθροῖς—7 ὑπέδησε om. U 10 ἐμβαλὼν post τριήρει pos. U ‖ ἐξώρισε] ἐξώρισεν ab 11 πατέρα] πατέρα αὐτῆς U ‖ δ'] δὲ ab 12 τὸν πενθερὸν] τὴν πενθερὰν F ‖ Θεόδωρον] θεοδώραν F 13 γὰρ] δὲ U 14 Ἀντώνιος Gab ἀντωνῖνος O recte? ‖ Κλεοπάτραν sec. m. ν add. G

15 προσοκείλας] προσωκείλας FGU 17 εἰρήκει] εἰρήκειν FG 18 τε om U ‖ τούτῳ] τούτον a ‖ δίοδον] ἔφοδον U ‖ καὶ A om. O post καὶ lac. ind. an παρεχωρήσαντο pro παρεχώρησάν τε scrib.? 20 τε om. U 21 προσῳκειωμένον] προσῳκειωμένῳ U 22 χρῆμα] χρήματα U 23 περὶ] παρὰ U ἐπὶ b 25 χῶρον] χώρων F

67 ed. B. κἀκεῖθεν τοῖς μὲν τῶν οἰκείων γραφαῖς παρασημήνας τὴν αὐτοῦ ἔφοδον, τοὺς δὲ ὑποθέλξας ταῖς ὑποσχέσεσιν, οὐ διὰ πολλῶν συνηθροίκει τῶν ἡμερῶν περὶ αὐτὸν στράτευμα, ἦρξέ τε Φαρσάλων καὶ Λαρίσσης καὶ Πλαταμῶνος καὶ τῶν περὶ αὐτά. εἶτα δὴ σπονδὰς ποιησάμενος συνῆλθε τούτου τοῖν ἀδελφοῖν τῷ τε Κωνσταντίνῳ καὶ τῷ Θεοδώρῳ· ὁ μὲν γὰρ Κωνσταντῖνος δεσπότης, ὡς ἔφημεν, ὧν ἦρχεν ὧν εἰρήκειμεν ἄρχειν, ὁ δὲ Θεόδωρος ἦν ὁ τοῦ φημιζομένου ἐν Θεσσαλονίκῃ Ἰωάννου πατήρ. ἐπεὶ δὲ συνήεσαν, πείθουσι καὶ ἄμφω τὼ ἀδελφὼ τὸν Μανουὴλ τῶν σπονδῶν ἐκστῆναι τῶν πρὸς τὸν βασιλέα Ἰωάννην. ὁ δὲ ἑκὼν ἀέκων, ὡς ἔφασκον οἱ παρατυχόντες καὶ περὶ τῶν τοιούτων εἰδότες, συνήνεσεν αὐτῶν τοῖς βουλεύμασι· καὶ τὸ ἀπὸ τοῦδε ὑπῆρχον συνδεδεμένοι, ταῖς σφετέραις χώραις ταῖς μεμερισμέναις αὐτοῖς ἀρκούμενοι, καὶ μετὰ τῶν ἐν Πελοποννήσῳ καὶ Εὐρίπῳ Λατίνων συμβιβάσεις ἔχοντες εἰρηνικάς.

Ephraem. 39. Οὐ πολὺς παρερρύη χρόνος, καὶ ὁ Μανουὴλ ἐξ
ed. B. v. 8378 ἀνθρώπων ἐγένετο, μετάμελος, ὡς ἔλεγον, τῶν παραβασιῶν τῶν πρὸς τὸν βασιλέα γενόμενος. θνήσκει δὲ καὶ ἡ βασιλὶς
1241 Εἰρήνη, γυνὴ σωφρονική τε καὶ ἀρχικὴ καὶ πολὺ τὸ μεγα-
Nic. Greg. λεῖον ἐπιδεικνυμένη τὸ βασίλειον. ἔχαιρε δὲ καὶ λόγοις
ed. B. I 44 καὶ σοφῶν ἠκροᾶτο μετὰ ἡδονῆς· ἐτίμα δὲ τούτους ὑπερβαλλόντως, ὡς ἔστιν ἐκ τούτου γνῶναι. καὶ γὰρ ἐκλείψεως γινομένης, ἡλίου τὸν καρκίνον διοδεύοντος περὶ μεσημβρίαν,

---

1 τοῖς] τοὺς A ‖ παρασημήνας AGU παρασημάνας BF post αὐτοῦ pos. BFGU **3** τῶν ἡμερῶν A om. O ‖ αὐτὸν] αὐτῶν pr.? man. o ex ω B **4** Φαρσάλων Aab φαλσάλων BFGU ‖ καὶ τῶν — **5** ποιησάμενος om. BU corr. b **5** αὐτὰ A ταῦτα O ‖ δὴ] δὲ BGU ‖ τούτου] τε αὐτοῦ U **6** τοῖν ἀδελφοῖν] τοῖς ἀδελφοῖς B ‖ sec. τῷ om. B **7** ὧν ante ὡς pos. U **8** ἐν Θεσσαλονίκῃ om. U **10** τὼ ἀδελφὼ τὸν] τὸν ἀδελφὸν U **11** Ἰωάννην] ἰωάννη U **12** καὶ περὶ — εἰδότες om. U **13** συνήνεσεν] συνήνεσαν FG ‖ αὐτῶν] αὐτὸν F **14** χώραις] δυνάμεσι καὶ χώραις F ‖ χώραις — **15** αὐτοῖς] χώραις αὐτῶν U **16** Εὐρίπῳ] εὐρίπων U ‖ συμβιβάσεις A συμβάσεις O **18** παραβασιῶν] παραβάσεων ab **19** τὸν om. F ‖ γενόμενος] γινόμενος U **22** μετὰ A μεθ' O ‖ δὲ] τε U ‖ ὑπερβαλλόντως] ὑπερβαλόντως FU **23** τούτου] τούτων G **24** γινομένης] γενομένης BFU

ἐπείπερ αὐτὸς οὕτω συμβὰν ἐν τοῖς βασιλείοις ἀπῆλθον — 68 ed. B. ἐσκηνοῦτο δὲ περὶ τοὺς τόπους οὓς ὀνομάζουσι Περίκλυστρα σὺν τῇ βασιλίδι ὁ βασιλεύς — ἠρώτηκέ με τὴν τῆς ἐκλείψεως αἰτίαν. καὶ αὐτὸς μὲν ἀκριβῶς οὐκ εἶχον ἐρεῖν — ἄρτι καὶ γὰρ τῶν τῆς φιλοσοφίας ἡψάμην ὀργίων παρὰ τοῦ σοφοῦ Βλεμμύδου διδασκόμενος — ὅμως μέντοι παρ' αὐτοῦ τῷ τότε ὅσον ἦν εἰκὸς ἐπιγνοὺς τήν τε τῆς σελήνης ἐπιπρόσθησιν αἰτίαν τῆς ἐπισκιάσεως ἔλεγον εἶναι, καὶ δοκεῖν μὲν ἐκλείπειν τὸν ἥλιον, οὐκ ἀληθῆ δὲ εἶναι τὴν τῆς φαύσεως στέρησιν, μᾶλλον μέντοι τοῦτο τὴν σελήνην πάσχειν, ἐπὰν τῷ σκιάσματι ἐμπέσῃ τῆς γῆς, διὰ τὸ ἐξ ἡλίου τὸ φέγγος αὐχεῖν. ἐπεὶ δὲ ὁ λόγος ἐπὶ μήκιστον παρετείνετο, ἀντέλεγε δὲ τοῖς λεγομένοις ὁ ἰατρὸς Νικόλαος, ἀνὴρ ἥκιστα μὲν φιλοσοφίας μετασχών, ἄκρος δὲ τὴν οἰκείαν τέχνην καὶ μάλιστα τὴν διὰ πείρας γινωσκομένην· πάνυ δὲ οὗτος ἠγαπᾶτο τῇ βασιλίδι, ἀκτουαρίου δὲ εἶχε τιμήν. ἐπεὶ γοῦν ἀντέλεγεν οὗτος, αὐτὸς δὲ πλέον ἐστωμυλλόμην, ἐν τῷ μεταξὺ τῶν λεγομένων ἀπεκάλεσέ με ἡ βασιλὶς μωρόν· εἶτα δὴ ὥσπερ τι οὐ προσῆκον ἐργασαμένη, πρὸς τὸν βασιλέα στραφεῖσα 'ἀπρεπῶς ἄρα εἰρήκειν' ἔφη 'καλέσασα τοῦτον μωρόν'. καὶ ὁ βασιλεὺς 'οὐ καινόν· μειράκιον γάρ ἐστιν'. εἴκοσι γὰρ σὺν ἑνὶ τότε ὑπῆρχον ἐτῶν, καὶ οὐ πάμπαν ἀπᾴδει τούτου τὸ πρόσρημα. ἀλλ' ἡ βασιλὶς 'οὐ χρεὼν' φησι 'τὸν φιλοσόφους λόγους προφέροντα οὑτωσί γε προσαγορευθῆναι παρ' ἡμῶν'. ταῦτ' εἶπον, ὡς ἂν παραστήσαιμι ὅπως τε αὕτη ἐφίλει τοὺς λόγους καὶ τοὺς εἰδότας τούτους

---

1 ἀπῆλθον O ἐπῆλθον? 2 ἐσκηνοῦτο — οὓς] τόπους δὲ οὓς ἐσκηνοῦτο A 6 Βλεμμύδου scripsi βλεμμίδου O 10 φαύσεως] φάσεως ab ‖ μέντοι τοῦτο] μὲντοἱούτω U 11 τῆς] τῷ τῆς BU 14 ἄκρος] ἄκρως A ἄκρος (ω superscr.) ead. m. G 17 ἐπεὶ γοῦν] ἐπειδὴ U ‖ ἐστωμυλλόμην] ἐστομυλόμην F ἐστωμυλόμην U ‖ 18 ἀπεκάλεσε] ἐπεκάλεσε ab 19 ἐργασαμένη] εἰργασαμένη U ‖ 20 ἄρα] ἆρα F ‖ ἔφη ante εἰρήκει pos. U 21 καινόν] κενόν U ‖ ἐστιν] ἐστι F 23 ἀπᾴδει] ἀπᾴδον U ‖ τούτου] τούτῳ F 24 φησι om. U ‖ προφέροντα ABG προσφέροντα FU 26 αὕτη] αὐτὴ BU ‖ τοὺς εἰδότας] τοὺς λόγους εἰδότας B

ἐτίμα. θνήσκει μέν, ὡς ἔφην, ἡ βασιλὶς αὕτη, οἶμαι δὲ
69 ed. B. *καὶ τὴν τοῦ ἡλίου ἔκλειψιν τὸν αὐτῆς προσημᾶναι θάνατον. καὶ κομήτης δὲ πρὸ μηνῶν ἓξ περὶ τὸ μέρος ἀνεφάνη τοῦ βορρᾶ· ἣν δὲ πωγωνίας καὶ διήρκεσε μῆνας τρεῖς, οὐκ ἐν ἑνὶ τόπῳ ἀλλ' ἐν διαφόροις φαινόμενος.*

1241 *Μετὰ βραχὺ δὲ καὶ ὁ Βουλγάρων ἄρχων Ἀσὰν ἐξ ἀνθρώπων ἐγένετο, ἀνὴρ ἐν βαρβάροις ἄριστος ἀναφανείς, οὐκ ἐν τοῖς οἰκείοις γὰρ μόνον ἀλλά γε δὴ καὶ τοῖς ἀλλοτρίοις. ἐχρήσατο καὶ γὰρ φιλανθρωπότερον τοῖς προσερχομένοις αὐτῷ ἐπήλυσι καὶ μάλιστα τοῖς Ῥωμαίοις, καὶ φιλοτίμως αὐτοῖς παρεῖχε τὰ σιτηρέσια. ἐπεὶ οὖν αὐτὸς ἐτεθνήκει, ὁ υἱὸς αὐτοῦ, ὃν Καλιμᾶνον ὠνόμαζον, ἐκ τῆς ἐξ Οὔγγρων τούτῳ γεγεννημένος, τὴν ἀρχὴν ἀνεδέξατο. ἦν δὲ τῷ τοιούτῳ Καλιμάνῳ καὶ αὐτοκασιγνήτη, ἧς τοὔνομα Θάμαρ. ἐκ δὲ τῆς τοῦ Ἀγγέλου θυγατρὸς τῷ Ἀσὰν τρεῖς παῖδες γεγέννηνται, ἄρρην ὁ Μιχαὴλ καὶ θήλειαι, ὡς εἰρήκαμεν, ἡ Μαρία καὶ ἡ Ἄννα. ὁ μὲν οὖν Καλιμᾶνος τὴν πατρικὴν ἀρχὴν ἀναζωσάμενος καὶ τὰς μετὰ τοῦ βασιλέως Ἰωάννου σπονδὰς ἀνενεώσατο, καὶ εἶχον εἰρήνην ἐν τοῖς τοιούτοις τὰ πράγματα. τοῦ δὲ Μανουὴλ τοῦ ἀδελφοῦ Θεοδώρου τετελευτηκότος, τὴν κρατουμένην παρ' αὐτοῦ χώραν ὁ ἀνεψιὸς αὐτοῦ Μιχαὴλ κατέσχε καὶ τῇ αὐτοῦ προσήρμοσε χώρᾳ· καὶ ἦσαν αὖθις εἰρηνεύοντες ὅ τε Θεόδωρος ὁ Ἄγγελος, τὸν υἱὸν αὐτοῦ Ἰωάννην ἔχων ἐν Θεσσαλονίκῃ καὶ τοῖς*

---

1 *μέν*] *μὲν οὖν* U ‖ *ὡς ἔφην* post *αὕτη* pos. U **2** *αὐτῆς* A *ταύτης* O **3** *ἀνεφάνη*] *ἐφάνη* U **4** *οὐκ ἐν*] *οὐχ* ab
7 *οὐκ ἐν*] *οὐ* U **8** *γὰρ* om. B ‖ post *μόνον* add. *καλῶς* U *καλῶς ⟨διέκειτο⟩* scrib.? ‖ *ἀλλοτρίοις· ἐχρήσατο καί*] *ἀλλοτρίοις ἐχρήσατο. καὶ* AU **9** *αὐτῷ*] *ἐν τοῖς* A ‖ *ἐπήλυσι*] *ἐπήλυσιν* F **10** *αὐτοῖς* ante *φιλοτίμως* pos. et sec. *καὶ* om. U
12 *Καλιμᾶνον* A *καλλιμᾶνον* U *καλλιμάνον* O ‖ *ὠνόμαζον*] *ὀνομάζουσιν, ὁ* U ‖ *Οὔγγρων* AGab *οὔγκρων* O ‖ *τούτῳ*] *τούτου* F
13 *ἀνεδέξατο*] *ἐδέξατο* U ‖ *τοιούτῳ* om. U ‖ *Καλιμάνῳ* A *καλλιμάνῳ* O; in marg. prim. m. *βασιλεία καλιμάνου ἐν βουλγάροις* A **15** *ἄρρην*] *ἄρρεν* U **16** *καὶ*] *αἱ* BU ‖ *εἰρήκαμεν* A *εἰρήκειμεν* O **17** *Καλιμᾶνος* A *καλλιμᾶνος* U *καλλιμάνος* O
21 *παρ' αὐτοῦ* ante *κρατουμένην* pos. U **23** *ὁ Ἄγγελος* AU *ἄγγελος* O **24** *Ἰωάννην* post *Θεσσαλονίκῃ* pos. A

περὶ αὐτὴν βασιλικῶς φημιζόμενον, καὶ ὁ θεῖος αὐτοῦ Κωνσταντῖνος δεσπότης καὶ οὗτος καλούμενος, καὶ ὁ ἀνεψιὸς αὐτοῦ Μιχαήλ.

40. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης, ἐπειδὴ ὁ Βούλγαρος Ephraem.
Ἀσὰν ἐκποδὼν ἐγένετο καὶ μειράκιον ἦρχε τῆς τῶν Βουλ- ed.B.v.8399
γάρων, ἀδείας δραξάμενος ἐπεχείρησε τὴν βασιλικὴν κατα- 70 ed.B.
λῦσαι κλῆσιν τὴν ἐπιφημιζομένην τῷ Ἰωάννῃ τῷ υἱῷ τοῦ Ἀγγέλου. καὶ πρῶτον μηνύμασιν ὑποποιεῖται τὸν αὐτοῦ πατέρα Θεόδωρον. καὶ δῆτα οἷος ἐκεῖνος ἀπροόπτως ἐπιχειρῶν ἐν τοῖς πράγμασι, μηδέν τι τῶν συμβησομένων ὑπιδὼν πρόσέρχεται τῷ βασιλεῖ Ἰωάννῃ. καὶ ὑποδέχεται αὐτὸν οὗτος ἀσμένως καὶ τετίμηκε, θεῖόν τε τοῦτον ἀποκαλῶν κἀν τῇ αὐτοῦ συγκαθίζων τραπέζῃ καὶ τῶν λοιπῶν φιλοφρονημάτων μεταδιδούς. ἐπεὶ δὲ τοῦτον ἐν χεροῖν ἔσχεν ὁ βασιλεύς, ἔτυχε δὲ καὶ ταῖς αὐτοῦ δυνάμεσι ταῖς Ῥωμαϊκαῖς στράτευμα ἀξιόμαχον προστεθὲν ἐκ Σκυθῶν — τούτους γὰρ πρὸ βραχέος δώροις τε καὶ δεξιώσεσι ποικίλαις ὁ βασιλεὺς Ἰωάννης χειροήθεις τε πεποίηκεν ἐξ ἀγριωτέρου τοῦ ἤθους καὶ τῆς Μακεδόνων ἀπέσπασε καὶ πρὸς τὰ τῆς ἕω διεπέρασε μέρη — τούτοις μᾶλλον θαρρήσας καὶ μηδέν τι δεινὸν ἐκ Βουλγάρων προσδοκῶν, τὸ μὲν διὰ τὰς γεγενημένας σπονδάς, τὸ δὲ καὶ διὰ τὸ ὑπὸ μειρακίου τὰ τῶν Βουλγάρων διεξάγεσθαι, ἀπάρας τῆς ἕω ὁ βασιλεὺς καὶ διαπεραιωθεὶς τὸν Ἑλλήσποντον, τὰς ἐκ τῶν Ῥωμαϊκῶν
στρατευμάτων δυνάμεις καὶ τὰς ἐκ τῶν Σκυθῶν μεθ' ἑαυ- 1242?
τοῦ ἔχων χωρεῖ κατὰ τοῦ ἐν Θεσσαλονίκῃ βασιλεύειν φημιζομένου Ἰωάννου. ἐπεὶ δὲ παρῆλθε τὰ τῆς Θράκης καὶ Μακεδονίας χωρία, ἤδη δὲ καὶ τὴν Χριστούπολιν παρήμειψε καὶ τὸν Στρυμόνα, τῷ φρουρίῳ τῆς Ῥεντίνης προσέσχεν,

---

1 αὐτὴν] αὐτὸν U ‖ φημιζόμενον] φημιζόμενος U 4 Βούλγαρος] βούλγαρις U 7 τοῦ] τῷ G 8 μηνύμασιν] μηνύμασι F ‖ ὑποποιεῖται] ὑποποιῆται U 10 ἐν om. U 12 οὗτος] οὕτως F 13 κἀν] καὶ U 14 τοῦτον] τοῦτο G 16 ἀξιόμαχον om. U 17 τε om. F 19 ἀπέσπασε] ἀνέσπασε U ‖ 22 τὸ ὑπὸ] τὸ B τοῦ a corr. b 23 βασιλεὺς] βασίλειος G 26 βασιλεύειν om. U post φημιζομένου pos. B τὸ βασιλεύειν post ἰωάννου pos. A 28 παρήμειψε om. U

71 ed. B. *ὑπό τινων τηρουμένῳ τῶν Ἰωάννου· οἳ καὶ πρὸ τοῦ τὰ στρατεύματα τοῦ βασιλέως Ἰωάννου ἰδεῖν καταλιπόντες τὸ φρούριον, φυγῇ χρησάμενοι δρομαῖοι τὴν Θεσσαλονίκην εἰσήεσαν. ἔρημον δὲ ἀνδρῶν πολεμιστῶν εὑρόντες οἱ τοῦ βασιλέως κατέσχον αὐτὸ καὶ φυλακὴν ἐγκατέστησαν. ὁ δὲ βασιλεὺς τὴν στρατιὰν ἅπασαν συλλεξάμενος ἐγγύς που τῆς Θεσσαλονίκης ὡσεὶ σταδίους ὀκτὼ τὴν σκηνὴν πήγνυσι· κῆπος τοῦ Προβατᾶ ἡ κλῆσις τοῦ τόπου. ἑλεπόλεις μὲν καὶ μηχανήματα οὐκ ἦν αὐτῷ εὐχερὲς κατὰ τῆς τοσαύτης πόλεως στήσασθαι κἀντεῦθεν μετὰ μάχης τοιᾶσδε χειρώσασθαι, ἐκδρομὰς δὲ ἐποίει διὰ τῶν στρατευμάτων καὶ τὰ πέριξ πάντα ἐλήιζε, καὶ μάλιστα διὰ τῶν Σκυθῶν. πάντα γοῦν λείαν ἐποίουν. εἶχε δὲ μεθ' ἑαυτοῦ καὶ τριήρεις, ὧν ἦρχεν ὁ Κοντοφρὲ Μανουήλ. ἔγκριτοι δὲ τῷ βασιλεῖ παρείποντο ἄνδρες, ὁ Τορνίκης Δημήτριος, τὰ κοινὰ διέπων καὶ μεσιτεύων ταῖς ὑποθέσεσιν, Ἀνδρόνικος ὁ Παλαιολόγος, ὃς τὴν τοῦ μεγάλου δομεστίκου περιεζώννυτο δύναμιν, τὰ τῶν στρατευμάτων διεξάγων πράγματα, καὶ ἄλλοι πλείους εἰς ἡγεμόνας ἀποτεταγμένοι, ὅ τε Ῥαοὺλ Ἀλέξιος πρωτοβεστιάριος ὤν, ὁ ἐπὶ τῆς τραπέζης Νικηφόρος ὁ Ταρχανειώτης, ὁ Κοντοστέφανος ὁ τὴν πρωτοσεβαστοῦ ἔχων ἀξίαν, ὁ Πετραλίφας μέγας χαρτουλάριος ὠνομασμένος, καὶ ἄλλοι τῶν ἐπιφανῶν οὐκ ὀλίγοι. ὁ μὲν οὖν βασιλεὺς*
72 ed. B. *Ἰωάννης παρακαθήμενος ὅσα ἦν εἰκὸς ποιεῖν ἐποίει κατὰ τῆς πόλεως. οἱ δὲ ἐντὸς οὐκ ἀπώκνουν ἐργάζεσθαι, ἀλλὰ καὶ οὗτοι ἐκδρομὰς τῶν πυλῶν ἐξιόντες κατὰ τῶν τοῦ βασι-*

---

1 *τηρουμένῳ*] *τηρουμένου* A *τηρουμένην* F *τηρουμένων* U ‖ *τῶν Ἰωάννου*] *τῷ ἰωάννῃ* U **2** *βασιλέως* om. U ‖ *Ἰωάννου* om. F **3** *δρομαῖοι*] *δρομαῖος* B corr. ab **5** *κατέσχον αὐτὸ καὶ* om. U **6** *ἅπασαν* post *συλλεξάμενος* pos. BU **8** *κῆπος*] *κῆποι* U ‖ *μὲν*] *μὲν οὖν* U **10** *στήσασθαι* A *στῆσαι* O ‖ *κἀντεῦθεν* — **11** *στρατευμάτων* marg. sup. praeciso des. U **12** *ἐλήιζε*] *ἐλήιζεν* b **14** *ἔγκριτοι* A *ἔκκριτοι* O **15** *Τορνίκης*] *τουρνίκης* U *τορνίκιος* F **17** *τὴν*] *τῇ* B corr. ab **20** *πρωτοβεστιάριος ὤν*] *ὁ πρωτοβεστιάριος* U **21** *τὴν*] *τὴν τοῦ* U **22** *Πετραλίφας*] *πετραλείφης* U **24** *παρακαθήμενος*] *προελόμενος* U **25** *οἱ δὲ ἐντὸς οὐκ* A *οὐδὲ οἱ ἐντὸς* O **26** *ἐξιόντες*] *ποιούμενοι* U ‖ *τῶν τοῦ*] *τοῦ* A

λέως ἐποίουν. οὐ συχναὶ παρῆλθον ἡμέραι, καὶ τὸ τῶν Ταχαρίων ἔθνος κατὰ τῶν Μουσουλμάνων χωρῆσαν καὶ πόλεμον κατ' αὐτῶν συρρῆξαν νενίκηκε. καὶ ὁ λόγος φθάνει πρὸς τὸν βασιλέα, διαμηνυθεὶς παρὰ τοῦ υἱέος αὐτοῦ τοῦ βασιλέως Θεοδώρου· τοῦτον γὰρ καταλελοίπει περὶ τὰ μέρη τῶν Πηγῶν διατρίβειν, ἀφεὶς μετ' αὐτοῦ καὶ τὸν Μουζάλωνα Ἰωάννην, μυστικὸν μὲν ὄντα ὅτε τοῖς κοσμικοῖς συνετάττετο, τότε δὲ μοναχὸς ἦν, ἀνὴρ ὀξύνους καὶ δραστήριος καὶ βασιλικοῖς τῶν ἄλλων πλέον ἐμπρέπων πράγμασι, καὶ τὸν Λιβαδάριον Μιχαήλ, μέγαν ἑταιρειάρχην ὄντα. ὡς γοῦν τῆς φήμης ὁ βασιλεὺς ᾔσθετο, σιωπὴν παραγγείλας τοὺς εἰδότας ἄγειν καὶ μηδενὶ περὶ τούτου κοινωνεῖν, εἰς συμβιβάσεις μετὰ τοῦ ἐντὸς Ἰωάννου χωρεῖ, πρέσβιν ἐν τούτοις λαβὼν τὸν Ἰωάννου πατέρα τὸν Ἄγγελον Θεόδωρον. πληρουμένων γοῦν ἡμερῶν τεσσαράκοντα ἐγένοντο αἱ σπονδαὶ καὶ οἱ ὅρκοι προέβησαν· τὰ μὲν γὰρ ἐρυθρὰ πέδιλα ἀπεβάλλετο καὶ τὴν περιμάργαρον πυραμίδα, εἰς ἣν καὶ λίθος ὑπερκάθηται κόκκινος, βασιλικὰ ταῦτα σύμβολα, τετίμηται δὲ πρὸς τοῦ βασιλέως τῷ δεσποτικῷ ἀξιώματι, καὶ εὔνους ἀνεφάνη τῷ βασιλεῖ. ταῦτα διαπραξάμενος ὁ βασιλεὺς παλινοστεῖ πρὸς τὴν ἕω, καταλιπὼν δεσπότην τὸν βασιλέα καὶ ὑποχείριον, ὅρκοις συνδήσας τοῖς εἰωθόσι καὶ δώροις εἰκόσι δεξιωσάμενος καὶ πάντας τοὺς ὑπ' ἐκεῖνον φιλοφρονησάμενος χρήμασι. καταλελοίπει δὲ μετ' αὐτοῦ καὶ 73 ed. B.
τὸν πατέρα τούτου Θεόδωρον.

41. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης κατειλήφει τὴν ἕω.

---

2 Ταχαρίων] ταγχαρίων G Ταχάρων ab ‖ Μουσουλμάνων] μουλσουμάνων U 4 υἱέος] υἱέως ab ‖ αὐτοῦ] μιχαὴλ A 5 τοῦ βασιλέως om. U 6 διατρίβειν, ἀφεὶς μετ'] διατρίβειν ἀφείς, μετ' A 8 μοναχὸς] μόνον F 9 τῶν ἄλλων πλέον] μᾶλλον τῶν ἄλλων U 11 ὡς] ἐκ F 13 συμβιβάσεις] συμβάσεις b 14 Ἰωάννου πατέρα A πατέρα ἰωάννου O 15 αἱ om. U 16 οἱ om. U ‖ προέβησαν] προύβησαν U ‖ τὰ μὲν γὰρ] καὶ τὰ μὲν U 17 ἀπεβάλλετο ABF ἀπεβάλετο GU ‖ περιμάργαρον] περὶ μάργαρον G 19 πρὸς] παρὰ U 20 ταῦτα] ταῦτα δὲ ab 23 εἰκόσι] τοῖς εἰκόσι U εἴκοσι a 24 χρήμασι φιλοφρονησάμενος ante πάντας pos. U ‖ μετ' αὐτοῦ post θεόδωρον pos. U

τὴν γοῦν χειμερινὴν τότε παραμείψας ὥραν ἐν τῷ Νυμφαίῳ, ὡς ἔθος ἦν αὐτῷ, ἀπάρας ἐκεῖθεν περὶ τὴν Λάμψακον ᾔει· κἀκεῖσε τὸ θέρος διαβιβάσας καὶ τὴν τῆς ὀπώρας ὥραν, ἐπεὶ ὁ χειμὼν ἤρξατο, τοῦ χώρου μεταβὰς περὶ τὰ τῶν Πηγῶν ἐχώρει μέρη. μεγίστου δὲ χειμῶνος πεπείραται καθ' ὁδόν, ἀρξαμένου μὲν ἐπὰν ὁ βασιλεὺς εἰς τὴν Σιγρηνὴν ἐσκήνωσεν· ἡμέρας δύο δὲ τῇ δριμύτητι τούτου καὶ τῇ σφοδροτάτῃ φορᾷ τῆς χιόνος τεταλαιπώρηκε, μέχρις ἂν κατηντήκει ἐς τὸ τῶν Πηγῶν ἄστυ. πολλοὶ γοῦν καθ' ὁδὸν ἐτεθνήκεισαν καὶ πολλαί· μέχρι γοῦν τριακοσίων, ὡς οἱ ἀριθμήσαντες ἔφασκον, ὑπὸ τῆς χιόνος κατεχώσθησαν, μὴ δυνάμενοι ἀντωπῆσαι τῇ τοῦ πνεύματος φορᾷ. οὐδεὶς γοῦν τῶν ἰδόντων ἔλεγε γινώσκειν γεγενῆσθαί ποτε τοιοῦ-
1242 τον χειμῶνα. ἦγε δὲ τῷ τότε ὀκτωκαιδεκάτην μὴν ὁ
(6741) Δεκέβριος, ἔτος δὲ ἦν ἐπὶ τῷ ἑξακισχιλιοστῷ καὶ ἑπτακοσι-
(1232) οστῷ τὸ τεσσαρακοστὸν οἶμαι πρῶτον. ὁ μὲν οὖν βασιλεὺς ἐν τῷ τῶν Πηγῶν ἄστει διημερεύσας, μέχρις ἂν τὸ πολὺ τοῦ χειμῶνος λωφήσῃ, ἐξιὼν ἐκεῖθεν εἰς τὸ Νύμφαιον
1243 ἀπῄει, καὶ ἦν ἐκεῖσε μέχρι καὶ τῆς τοῦ ἔαρος ἐπιλάμψεως.

Ἐπεὶ γοῦν, ὡς εἰρήκειμεν, ἡ τῶν Μουσουλμάνων παρὰ τῶν
74 ed. B. Ταχαρίων καταλέλυται στρατιά, σουλτὰν δὲ ἦρχεν αὐτῶν, οὗ

---

2 περὶ] παρὰ G ἐπὶ b 3 ᾔει] εἴη AGU ‖ τῆς] τὴν A τοῦ U ‖ ὀπώρας] μετοπώρου U 4 περὶ] ἐπὶ b 5 μεγίστου] μεγίστον B corr. ab 6 ὁδόν] ἡμῶν U ‖ ἐπὰν] ἐπεὶ ab 7 δύο δὲ A δὲ δύο O ‖ τούτου om. U 8 σφοδροτάτῃ] σφοδρότητι F ‖ τῆς χιόνος] τοῦ χειμῶνος U ‖ τεταλαιπώρηκε] τεταλαιπώρηκεν b 9 ἐς] εἰς BU 10 τριακοσίων] τῶν τριακοσίων U 11 τῆς om. F 12 οὐδεὶς] οὗτος a 13 τῶν ἰδόντων] αὐτῶν U ‖ γινώσκειν om. AU 14 ὀκτωκαιδεκάτην] ὀκτωκαιδεκάτου A 15 Δεκέβριος BU δε^{κρ} A δεκέμβριος FGab ‖ καὶ om. FU 16 τὸ ab καὶ ABFG om. U ‖ τεσσαρακοστὸν] πεντηκοστὸν (ν' pro μ')? ‖ οἶμαι post πρῶτον pos. F 17 διημερεύσας] διαμερεύσας U 18 λωφήσῃ] λωφήσῃ^{οι} pr. m. A λωφήσει U ‖ ἐξιὼν—20 ἀπῄει, καὶ marg. sup. praeciso des. U 20 Μουσουλμάνων] ανεβῶν δηλονότι in ras sec. m. U 21 Ταχαρίων] ταγχαρίων eras. γ G ‖ καταλέλυται] καταλύεται F καταλέλυπαι B corr. ab ‖ στρατιά] στρατία B corr. ab ‖ σουλτὰν A σουλτᾶν U σουλτάνος O

κλῆσις Ἰαθατίνης, υἱὸς τοῦ σουλτὰν Ἀζατίνη, φαῦλος ἐξ ἀγαθοῦ ἀρχὸς γεγονώς· πότοις γὰρ ἔχαιρε καὶ ἀσελγείαις καὶ κοίταις ἀλλοκότοις τε καὶ ἀτόποις, καὶ συνῆν ἀεὶ ἀνθρωπίσκοις οὐκέτι λόγον εἰδόσιν οὐδ' ἀνθρωπίνην φύσιν τὸ σύνολον. ὁ πατὴρ δὲ αὐτοῦ οὐ τοιοῦτος ἦν, ἀλλ' ἡττᾶτο μέν, οὐ σφόδρα δέ, τῶν ἀσελγειῶν· διὸ καὶ βέλτιον τῶν πρὸ αὐτοῦ ἐστρατήγει καὶ φιλίως πρὸς τὸν βασιλέα διέκειτο. ἀλλ' οὗτος, οἷς ἔχαιρε, πλησμίως τούτων ἀπώνατο. πεπείραται γοῦν μάχης Ταχαρικῆς καὶ ἥττηται. ἐν στενῷ γοῦν Ephraem. τῶν πραγμάτων κομιδῇ γεγονὼς πρέσβεις ἐκπέμπει πρὸς ed.B.v.8456 τὸν βασιλέα Ἰωάννην βουλῆς τε ἀξιῶν ἀρίστης ἐξ αὐτοῦ τυχεῖν, ὡς ἂν ἀποτρέψαιτο τὸν ἀντίπαλον καὶ μικρὸν κουφισθείη τοῦ βάρους αὐτοῦ, σωτηριῶδες τοῦτο φάσκων τυγχάνον ἀμφοῖν· τοῦ γὰρ γένους τῶν Μουσουλμάνων παρὰ τῶν Ταχαρίων ἀπολωλότος ἄνετος λείπεται τοῖς ἐναντίοις ἡ κατὰ τῶν Ῥωμαϊκῶν χωρῶν ἔφοδος. καὶ ἦν τοῦτο πάνυ γε ἀληθές. ὁ γοῦν βασιλεὺς Ἰωάννης, οἷα ἐκεῖνος δεινὸς ἐν τοιούτοις πράγμασιν, ἀποδέχεται ἄσμενος τὴν πρεσβείαν καὶ εἰς ἕνωσιν συνελθεῖν ᾑρετίσατο τῷ σουλτάν, ὡς ἂν τοῦτο τοῖς ἐναντίοις εἰς ἀποτροπὴν γένοιτο· ἡνωμένων γὰρ τῶν τοιούτων δύο ἀρχῶν μεγίστων εἰκὸς πτοίαν γενέσθαι τοῖς πολεμίοις, πρὸς ἕνα μὲν ἔχουσι τὸν σκοπόν, πρὸς δὲ δύο ἀθρόον εὑρισκομένοις. καὶ γοῦν ἐπὶ τοῖς τοιούτοις συσκευασάμενοι συνηλθέτην καὶ ἄμφω, ὅ τε βασιλεὺς Ἰωάν- 75 ed.B. νης καὶ ὁ σουλτὰν Ἰαθατίνης, ἐν τῷ ἄστει τῆς Τριπόλεως, 1243

---

1 κλῆσις] ἡ κλῆσις F ‖ Ἀζατίνη] ἰαζατίνη F 2 ἀγαθοῦ ἀρχὸς] ἀγαθῆς ἀρχῆς F ‖ πότοις] τόποις U ‖ ἀσελγείαις] ἀσελγίαις U 3 τε om. U ‖ ἀτόποις] ἀλλοτόποις U 6 τῶν ἀσελγειῶν] τῷ ἀσελγεῖν U 8 οἷς] ἧς U 9 μάχης—γοῦν om. U ‖ Ταχαρικῆς] ταγχαρικῆς in ras. γ G 10 τῶν] τῶν γὰρ U ‖ κομιδῇ] ἐν στενῷ κομιδῇ U 11 Ἰωάννην] ἰωάννη U ‖ τε om. U 12 ἀποτρέψαιτο] ἀποτρέψοιτο ab 13 φάσκων] φάσκον F ‖ τυγχάνον ABF τυγχάνειν Gab om. U 15 Ταχάρων] ταχαρίων U 17 γε ante πάνυ pos. U ‖ βασιλεὺς om. ab 18 τοιούτοις] τοῖς τοιούτοις B τοῖς τοιούτοις ὢν U 20 τοῦτο om. U 21 ἀρχῶν μεγίστων A μεγίστων ἀρχῶν O ‖ εἰκὸς] εἰκῇ F 22 δὲ δύο A δύο δὲ O 23 εὑρισκομένοις] εὑρισκομένους FU 24 συνηλθέτην] συνηλθέτους F 25 ἄστει] ἄστυ F

ὅπου καὶ ὁ Μαίανδρος ῥεῖ ποταμός. γέφυραν γοῦν ἐξ αὐτοσχεδίου ἐκ ξύλων οἱ τοῦ σουλτὰν ἐργασάμενοι, εὐχερῆ τοῖς βουλομένοις πεποιήκασι τὴν περαίωσιν. ἀλλήλους γοῦν οἱ ἀρχοὶ φιλοφρόνως δεξιωσάμενοι, ἔτι δὲ καὶ τοὺς ὑφ' ἑκάτερον ἑκάτεροι προύχοντας, καὶ συνθήκας, ἃς καὶ πρὸ τοῦ εἶχον, κρειττόνως βεβαιωσάμενοι, ὡς ἂν μάχοιντο συνημμένως τοῖς ἐναντίοις, διελύθησαν, ὁ μὲν βασιλεὺς ὑποστρέψας εἰς τὴν Φιλαδέλφου, ὁ δὲ σουλτὰν εἰς τὴν Ἰκονιέων, ἔνθα εἶχε καὶ τὰ βασίλεια. τότε μὲν καὶ ἀμφοῖν τὰ τῆς μάχης ἠρέμησαν. καὶ γὰρ ἡ τῶν Ταχάρων στρατιὰ καθ' ἑαυτὴν ἔμενε καὶ οὐ κεκίνητο ὡς ἔθος· ἐν τοῖς ἑαυτῶν καὶ γὰρ ἠσχολοῦντο πράγμασι.

Ephraem. ed. B. v. 8469 42. *Μετ' οὐ πολὺ δὲ καὶ ὃν προειρήκειμεν Ἰωάννην τὸν δεσπότην γεγενημένον παρὰ τοῦ βασιλέως Ἰωάννου* 1214 *τὸ χρεὼν εἰλήφει. ὑπῆρχε δὲ αὐτῷ ἀδελφὸς Δημήτριος, ὃς μεταστειλάμενος πρεσβείαν εἰς τὸν βασιλέα τοῦ τε δεσποτικοῦ ἀξιώματος ἐκεκληρονομήκει τοῦ ἀδελφοῦ καὶ δεσπόζειν πάντων τῶν ὑπ' ἐκεῖνον προστέτακται. ἀλλ' ἦν οὗτος οὐκ ἀδελφὰ φρονῶν Ἰωάννῃ τῷ ἀδελφῷ, ἀλλὰ πολλῷ τῷ μέτρῳ διέζευκτο. ἐκείνου μὲν γὰρ εὐσεβείᾳ καὶ εὐλαβείᾳ καὶ σωφροσύνῃ χαίροντος — καὶ γὰρ ἔλεγον οἱ τὰ αὐτοῦ εἰ-* 76 ed. B. *δότες μὴ ἄν ποτε ἀπολειφθῆναι μηδεμιᾶς ἡμέρας τοῦ ἔτους τοῦ μὴ τῆς θείας ἱεροτελεστίας ἐπακροάσασθαι, εἰ μή τις ἐκώλυε νόσος· προσεῖχε δὲ παννυχίσιν εὐχαῖς, καὶ τὰς καθ' ὥραν ὑμνῳδίας ὁσημέραι ἐπλήρου. ὡμίλει δὲ καὶ διηνεκῶς*

---

2 *αὐτοσχεδίου*] *αὐτοσχεδίας* F **3** *γοῦν*] *γὰρ* F **4** *ἀρχοὶ*] *ἀρχοὶ* (*γοὶ* supra) sec. m. F ‖ *ὑφ'*] *ἐφ'* eras. *υ* sec. m. U **5** *ἃς*] *οἵας* U **8** pr. *εἰς*] *ἐς* A ‖ *Ἰκονιέων*] *ἰκονέων* BF corr. ab **9** *εἶχε*] *ἦν* ab ‖ *μὲν*] *μὲν οὖν* U ‖ *ἀμφοῖν* A *ἐν ἀμφοῖν* O **11** *ἑαυτὴν*] *ἑαυτὸν* B *ἑαυτῶν* ab ‖ sec. *καὶ* om. FU **12** *ἠσχολοῦντο*] *ἔμενον καὶ ἠσχολοῦντο* U ‖ *πράγμασι*] *πράγμασιν* ab **13** *δὲ* O sec. m. add. G ‖ *προειρήκειμεν*] *προειρήκαμεν* F *προειρήκειν* U **14** *τὸν* om. U **15** *δὲ* om. U **16** *μεταστειλάμενος*] *καὶ στειλάμενος* U ‖ *εἰς*] *πρὸς* F ‖ *τε* om. GU **18** *ἐκεῖνον*] *ἐκείνου* U **20** *μὲν* om. U ‖ *καὶ εὐλαβείᾳ* om. U **21** *χαίροντος*] *χαίροντες* B corr. ab **23** *τοῦ*] *οὐ* B corr. ab ‖ *ἐπακροάσασθαι*] *ἀπακροάσασθαι* A **25** *ὑμνῳδίας*] *ὑμνῳδιάς* B corr. ab ‖ *ὁσημέραι*] *ὡς ἡμέραι* U

Ναζιραίοις, καὶ ἦν αὐτῷ διὰ σπουδάσματος ὅτι πλείστου τὸ τοῦ μονήρους βίου τυχεῖν καὶ τῆς ἐντεῦθεν ἡσυχίας ἐν πείρᾳ γενέσθαι ἢ κἂν προσφιλῶς διακεῖσθαι τοῖς οὕτως ἔχουσιν. ὁ δὲ ἀδελφὸς Δημήτριος ἐξ ἐναντίας εἶχε τοῦ τρόπου. μειρακίοις γὰρ ἀβελτέροις ὡμίλει καὶ τούτοις τὰ πλεῖστα συνήσθετο, καὶ τοῖς ἀφροδισίοις ἠσέλγαινε καὶ παρὰ ταῖς ὑπὸ ζυγὸν ἐφοίτα, ὥστε ποτὲ καὶ σύμπτωμα συνέβη τούτῳ δεινόν. ἐκ γὰρ θυρίδος τοῦ ἀνδρὸς τῆς μοιχευομένης ἀθρόον ἐπεισελθόντος βουληθεὶς ἀποδρᾶσαι, ὡς ἐξ ὑπερυψήλου τοῦ τόπου πεσών, τὸν γλουτὸν ἐπλήγη· ἱκανὰς δὲ ἡμέρας νοσηλευθεὶς ἰάθη μέν, ὑπέσκαζε δὲ τῶν ποδῶν θάτερον καὶ οὐκ ἐβημάτιζεν ὁμαλῶς. ἀλλ' οὗτος οὐκ εἰς μακρὰν ἀπώνατο τῆς ἀρχῆς. ὁ γὰρ βασιλεὺς Ἰωάννης ἀδείας δραξάμενος τῷ τότε καιροῦ, ἐπείπερ, ὡς ἔφημεν, τὸ τῶν Ταχαρίων γένος ἐνησχολεῖτο ἑτέροις ἔθνεσι, καταλιπὸν τὴν πρὸς τοῦ σουλτὰν τοῦ Ἰκονίου μάχην — τῷ γὰρ Βαβυλωνίῳ καὶ τοῖς πέριξ τούτου τὰ τῆς μάχης ἐπῆγεν, ὃν Χαλιφᾶν εἰώθασι καλεῖν τὰ τῶν Μουσουλμάνων φῦλα — θέρους ὥρας γενομένης διαπεραιοῦται τὸν Ἑλλήσποντον, καταλιπὼν εἰς τὴν ἕω τὸν υἱὸν αὐτοῦ Θεόδωρον.

Ἔτυχε μὲν πρὸ καιροῦ τὸν πατριάρχην Γερμανὸν τὰ 77 ed. B. *τῇδε καταλιπόντα πρὸς τὰς θείας ἀπᾶραι σκηνάς, καλῶς καὶ* 1240 *ὁσίως βιώσαντα καὶ καλῶς τὴν αὐτοῦ ποιμάναντα ποίμνην· ἐγένετο δὲ μετ' αὐτὸν Μεθόδιός τις καλούμενος μοναχός, ἡγούμενος τῆς κατὰ Νίκαιαν Ὑακίνθου μονῆς, ἀνὴρ αὐχῶν μὲν εἰδέναι πολλά, ὀλίγων δὲ ἴδρις ὤν. ἀλλ' οὗτος τρεῖς*

---

1 *Ναζιραίοις*] *Ναζηραίοις* ab vid. Ducang. Gloss. **2** *τὸ* om. BU **4** *δὲ* om. U **6** *τὰ*] *τε* B ‖ *συνήσθετο* ABF *συνῆν* sec. m. G *συνήδετο* U **7** *παρὰ*] *περὶ* F om. U ‖ *σύμπτωμα* — **8** *θυρίδος*] marg. sup. praeciso des. U **10** *ἐξ* om. A ‖ *τοῦ* om. U **11** pr. *δὲ* om. F ‖ *τῶν ποδῶν*] *τοῖν ποδοῖν* U **14** *τῷ*] *τοῦ* U **15** *τὸ* om. F ‖ *ἔθνεσι*] *ἔθνεσιν* B corr. ab **16** *καταλιπὸν* BG *καταλιπὼν* AUa, o ex ω F **18** *Χαλιφᾶν*] *χαλιβὰν* F ‖ *Μουσουλμάνων*] *τουρκῶν* sec. m. U **21** *μὲν*] *μὲν οὖν* U *δὲ* sec. m. G **22** *καλῶς*] *καλῶς δὲ* F **24** post *αὐτὸν* ⟨*πατριάρχης*⟩ suppl.? ‖ *Μεθόδιος* — *μοναχὸς*] *μοναχός τις Μεθόδιος καλούμενος* U **25** *ἡγούμενος* A *ἡγούμενος ὢν* O ‖ *Ὑακίνθου*] *τοῦ ὑακίνθου* U **26** *ἀλλ'* — 72,1 *ἐπαπο-*] marg. sup. praeciso des. U

καὶ μόνους μῆνας ἐπαπολαύσας τοῦ θρόνου τετελεύτηκεν. ἐστέρετο γοῦν ἀρχιερέως ἡ ἐκκλησία. ὁ γὰρ βασιλεὺς Ἰωάννης ἐν τοῖς τοιούτοις μὴ πρόχειρος ὢν οὐκ εὐχερῶς εἶχεν ἐκ τοῦ προχείρου τὸν ἄξιον ἐφευρεῖν, ἢ μᾶλλον τὸν ἐκείνῳ ἀρέσοντα· μάλιστα γὰρ οἱ κρατοῦντες τοὺς πρὸς ἀρέσκειαν ἐν τούτοις προσίενται, ὡς ἂν μή τινας ἔχοιεν ἀντερίζοντας τοῖς βουλήμασι. παρερρύη γοῦν χρόνος συχνός, καὶ οὐκ ἦν ὁ διεξάγων τὸ ποίμνιον.

43. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης, ὡς ἔφημεν, εἰς τὴν 1246 ἀντιπέραν καὶ δυτικὴν ἐποιεῖτο τὸν βάδον χάριν τοῦ τὰς ἐκεῖσε χώρας καὶ τὰ ἐν αὐτοῖς κατοπτεύσασθαι ἄστη· καὶ μέχρι γὰρ τοῦ οὕτω πως ὀνομαζομένου ἄστεος Ζίχνα, ἐγγύς που ὄντος Σερρῶν, ἁπάντων ἐδέσποζεν. ἦρχε μὲν τότε Βουλγάρων ὁ τοῦ Ἀσὰν υἱὸς Καλιμᾶνος, δωδεκέτης ὤν. ἐπεὶ γοῦν περὶ τὰ μέρη τοῦ Κισσοῦ ὁ βασιλεὺς γένοιτο κἀκεῖσε διημερεύσας τὴν ἐπαύριον τῆς πορείας εἴχετο, ἐπεφθάκει δὲ περὶ τὸν ποταμὸν Ἕβρον, πλησίον τῆς μονῆς 78 ed. B. τοῦ Βηρὸς ὀνομαζομένης ποιούμενον τὰς ῥοάς, Μαρίτζαν δὲ καλούμενον χωριτικῇ διαλέκτῳ. κατὰ δὲ τὸ μέσον τοῦ ποταμοῦ γενομένου τοῦ βασιλέως — ποσὶ γὰρ ἵππων ὑπῆρχε βατός, ἐπείπερ θέρους τέλος ἐτύγχανε· φθίνοντος γὰρ τρίτη ἢ καὶ τετάρτη Σεπτεβρίου ἦν — μήνυμα διακεκόμισται σεσημασμένον γραφῇ σταλείσῃ παρὰ τοῦ τὴν δημόσιον τῆς Ἀχριδῶν κρατοῦντος ἀρχήν, ὡς ὁ

2 γοῦν] οὖν F 5 ἀρέσοντα ABG ἀρέσκοντα F ἀρέσαντα U 6 ἐν om. U 7 τοῖς] τοὺς ab ‖ παρερρύη] ἀνερρύη A ‖ συχνός] οὐχὶ συχνὸς U 10 ἀντιπέραν AF ἀντίπεραν BGU 12 μέχρι γὰρ] γὰρ μέχρι sec. m. A ‖ τοῦ om. F ‖ ὀνομαζομένου A ἐπονομαζομένου O ‖ ἄστεος] ἄστεως ab 13 μὲν τότε] δὲ τῶν U 14 Καλιμᾶνος A καλλιμᾶνος U καλλιμάνος O ‖ δωδεκέτης ABU δωδεκαέτης Gab δωδεκακέτης F 15 περὶ] ἐπὶ b ‖ γένοιτο] ἐγένετο ab 16 τῆς] τὰς F 17 δὲ vid. ind. gram. ‖ περὶ] ἐπὶ b ‖ Ἕβρον A ὃν εὗρον (Ἕβρον) καλοῦσι O ‖ τῆς μονῆς post 18 Βηρὸς pos. U ‖ Βηρὸς] βῆρος F 19 τὸ μέσον—84,1 μεθόδοις om. U 21 ἐτύγχανε] ἐτύγχανεν ab 22 τρίτη—τετάρτη a ‖ Σεπτεβρίου] σεπτέβριος F σε[πτρ] A Σεπτεμβρίου ab ‖ μήνυμα] μήνυδα G 24 Ἀχριδῶν A ἀχρίδου F ἀχριδοῦ O ‖ ἀρχήν post δημόσιον pos. F

Καλιμᾶνος ὁ τῶν Βουλγάρων ἄρχων τὸν βίοτον ἐξεμέτρησεν, 1248 ὥς τινες μὲν ἔφασκον, φυσικῇ νόσῳ τοῦτο παθών, οἱ δ' ἄλλως ἔλεγον, ὡς ἐναντιόφροσι τούτῳ πόματι κρύφα ἐσκευασμένῳ πρὸς μόρον διέφθαρται. ἀλλ' οὗτος μὲν εἴθ' οὕτως εἴτ' ἄλλως ἐξ ἀνθρώπων ἐγένετο, καὶ ἦν ὁ λόγος ἀληθείας ἐχόμενος· συνεχέσι γὰρ διεβεβαιοῦτο μηνύμασιν.

Ὁ μὲν οὖν βασιλεὺς ταῦτα μαθὼν τοῦ πρόσω εἴχετο, καὶ τάχος φθάνει τὴν Φιλίππους, παραμείψας Χριστούπολιν. κἀκεῖσε σκέψιν ἐποιεῖτο μετὰ τῶν αὐτοῦ λογάδων, εἰ δεῖ προσβαλεῖν τοῖς τῶν Βουλγάρων καὶ χειρώσασθαί τινα τῶν παρ' αὐτοῖς κρατουμένων, καὶ εἰ εὐχερές ἐστιν ἁλῶναι ἡμῖν τὸ τῶν Σερρῶν ἄστυ. τινὲς μὲν ἀπηγόρευον τῷ βασιλεῖ τὴν κατὰ τῶν Βουλγάρων μάχην· οὐ γὰρ ἀξιόμαχον ἔλεγον ἄγειν στρατόν, ἐπεὶ μηδὲ πρὸς μάχην ηὐτρέπιστο, ἀλλὰ κατὰ μόνην θέαν τῶν αὐτοῦ ἐποιεῖτο τὴν κίνησιν. τὸ δὲ τῶν Σερρῶν ἄστυ, ᾧ πρώτως προσβαλεῖν ἔδει, ἄμαχον μέν ἐστιν ἐκ τοῦ ὑπερκεῖσθαι τῆς γῆς, κυκλωθῆναι δὲ τοσούτῳ στρατεύματι οὐκέτι ῥᾷόν ἐστιν· ἑλεπόλεις δὲ στῆσαι κατ' 79 ed. B. αὐτοῦ τῶν ἀμηχάνων καθέστηκε. προσβαλεῖν δὲ καὶ μετὰ πεῖραν ἀποκρουσθῆναι αἰδὼς μὲν ὑπάρχει τῷ κράτει τῆς τῶν Ῥωμαίων ἀρχῆς — φήμη γὰρ αὐτοῖς ἐπὶ τοῖς τοιούτοις πάνυ πολλὴ — καὶ τὸ πρὸς μάχην παροτρῦναι Βουλγάρους ἐφησυχάζοντας οὐκέτι συμφέρει. ταῦτα συνεβούλευον οἱ τὸν βασιλέα τῆς ἐγχειρήσεως ἀποτρέποντες. ὁ δὲ Παλαιολόγος Ἀνδρόνικος, ὃν μέγαν δομέστικον ὁ λόγος μοι προϊστόρησε, τὰ ἐναντία μᾶλλον τῷ βασιλεῖ συνεβούλευε· 'καὶ ἀποπειρᾶσθαι χρὴ τοῦ ἄστεος τῶν Σερρῶν·

---

1 Καλιμᾶνος A καλλιμάνος O ‖ ὁ om. A ‖ τῶν] τὸν sec. m. in ras. F 3 τούτῳ A τούτου O cf. 83,13 ‖ πόματι] πόμασι A ‖ ἐσκευασμένῳ] ἐσκευασμένοις A 7 τάχος] τέλος ab ‖ Φιλίππους] Φιλίππου ab ‖ Χριστούπολιν] τὴν Χριστούπολιν B 9 αὐτοῦ A μετ' αὐτοῦ O 10 τοῖς] τῆς F 12 τινὲς] καί τινες Fb ‖ post μὲν sec. m. add. οὖν G 18 στῆσαι b στῆναι O 19 καθέστηκε] καθέστηκεν ab 20 ἀποκρουσθῆναι] ἀνακρουσθῆναι ab 21 τῶν A om. O ‖ αὐτοῖς A αὐτῆς O 27 χρὴ] ἔφη χρὴ coni. b ‖ ἄστεος] ἄστεως ab

καὶ εἰ μὲν κρατήσαιμεν τούτου, κέρδος ἐσχήκαμεν οὐ μικρόν, καὶ μᾶλλον τὰ τῶν Βουλγάρων ταπεινωθήσονται καὶ τὴν τῆς ἀγάπης πρεσβείαν εὐχερέστερον δέξαιντο, ἐπεὶ καὶ ἐκποδὼν αὐτῶν ὁ δεσπότης, μέλλει δὲ καὶ ἄλλο βρέφος ἄρξαι τῶν Βουλγάρων, ὁ ἐκ τῆς Εἰρήνης τῆς τοῦ Ἀγγέλου Θεοδώρου τῷ Ἀσὰν γεννηθεὶς Μιχαήλ. εἰ δὲ μὴ περιγενέσθαι ἡμᾶς συμβαίη τοῦ ἄστεος, τί τὸ ζημίαν ἐπάγον τῇ τῶν Ῥωμαίων ἀρχῇ; λαβόντες γὰρ διάπειραν ἠρεμήσομεν καὶ πάλιν διαπρεσβεύσομεν πρὸς Βουλγάρους, κἀκεῖνοι ἀσμένως τὴν πρεσβείαν δέξαιντο ὑπὸ βρέφους ἀρχόμενοι, ὅ, τι τὰ πρὸς μάχην οὐκ οἶδεν. ἕκαστος δὲ τὰ τῆς εἰρήνης φιλεῖ, τῆς ἀναπαύσεως στοχαζόμενος.'

80 ed. B. *Ἔδοξε τῷ βασιλεῖ ἄριστα βεβουλεῦσθαι τὸν μέγαν δομέστικον, καὶ δὴ τῆς πρὸς τὰς Σέρρας φερούσης ὡς εἶχεν ἥψατο, σχεδόν τ' ἐκείνων γενόμενος ἐπήξατό τε τὰς σκηνὰς καὶ κατ' αὐτῶν ἐστρατοπεδεύσατο, οὔκουν μὲν δι' ἀξιομάχου στρατοῦ, οὐ γὰρ ηὐμοίρει τότε τοσούτων, καθὼς εἰρήκαμεν, στρατηγίᾳ δὲ καὶ μεθοδεύμασιν ἀπεπειρᾶτο τοῦ ἄστεος. ἐπεὶ δ' αἱ Σέρραι πάλαι μὲν ὑπῆρχε πόλις μεγίστη, ὁ δὲ Βούλγαρος Ἰωάννης μετὰ τῶν λοιπῶν Μακεδονικῶν πόλεων καὶ ταύτην πολιορκήσας κατήρειψεν, ὡς κώμη τότε ἐτύγχανε, τῆς ἀκροπόλεως μόνης περιτετειχισμένης καὶ ηὐτρεπισμένης δέξασθαι πόλεμον· ἧς φύλαξ ἦν ἀνὴρ Βούλγαρος Δραγωτᾶς τὴν κλῆσιν, ἐς Μελενίκον τὰς οἰκήσεις ποιούμενος. ἐπεὶ γοῦν ἡ κάτω πόλις Σερρῶν ἀτείχιστος ἦν — λίθοις γὰρ καὶ μόνοις ἀσβέστου δίχα καὶ μὴ ἀνηγμένοις εἰς ὕψος τὰ τεθραυσμένα τάχα*

---

1 *κρατήσαιμεν*] *κρατήσομεν* B ‖ *τούτου* om. F 3 *ἐκποδὼν*] *ἐκ ποδῶν* F 5 *Θεοδώρου*] *τοῦ θεοδώρου* F 7 *ἄστεος*] *ἄστεως* ab 10 ὅ, *τι* A ὃ O 14 *δὴ* A *γοῦν* O ‖ *Σέρρας*] *ἔρας* F 15 *τ'* A *δ'* O ‖ *ἐκείνων* A *ἐκεῖνος* FG *ἐκεῖσε* B 16 *δι'*] *διὰ* F 17 *τότε τοσούτων* A *τότε τοσούτου* G *τοσούτου τότε* B *τούτου* [τε] F 18 *ἀπεπειρᾶτο*] *ἐπειρᾶτο* ab 19 *ἄστεος*] *ἄστεως* ab ‖ *ὑπῆρχε* ABG *ὑπῆρχον* F ‖ *πόλις*] *πόλεις* F 21 *κατήρειψεν*] *κατέριψεν* F 22 *περιτετειχισμένης*] *τετειχισμένης* F 24 *Μελενίκον*] *Μελενίκου* AB 25 *γοῦν*] *οὖν* F 26 *γὰρ καὶ*] *καὶ γὰρ* ab 27 *ἀνηγμένοις*]

περιεφράγνυτο — τοὺς ἐπὶ μισθῷ τοῖς στρατιώταις δουλεύοντας, οὓς καὶ Τζουλούκωνας ἡ χυδαία γλῶττα κατονομάζει, συναθροίσας ὁ βασιλεὺς κρατῆσαι ταύτης ἠρέθιζεν, ἐπεὶ καὶ τῶν ἀναγκαίων ἐσπάνιζον· οἳ καὶ οἴκοθεν ἐκινοῦντο πρὸς τὸ εὐπορῆσαι τῶν χρειωδῶν. ὁρῶντες δὲ καὶ τὴν χώραν εὐεπίβατον, τὰ τόξα λαβόντες, ἔτι δὲ καὶ τὰς σπάθας, καί τινας σανίδας ἐξαυτοσχεδιάσαντες ὡς ἀσπίδας καὶ ταύτας προβεβλημένοι, τὸ ἀρεϊκὸν ἀλαλάξαντες χωροῦσι κατὰ τῆς χώρας αὐτοβοεί, καὶ ἐν οὐ πολλαῖς ὥραις ἐντὸς ἐγένοντο. σκυλεύουσι γοῦν τὰ παρευρεθέντα. οἱ δέ γε ἐντός, ὅσοι μὴ ἐπεφθάκεισαν εἰς τὴν ἀκρόπολιν ἀναδραμεῖν, ἱκέται πρὸς τὸν βασιλέα ἐξῄεσαν. ἐπεὶ δὲ ὁ κρατῶν τοῦ ἄστεος 81 ed. B. *Δραγωτᾶς τὴν κάτω χώραν εἶδεν ἁλοῦσαν, ἀνὴρ Βούλγαρος καὶ ἥκιστα πεπαιδευμένος ἄστυ χρονίως διαφυλάττειν, μαθὼν δὲ καὶ τὸν τοῦ δεσπότου αὐτοῦ θάνατον, τύχῃ ἀγαθῇ οὐ διὰ μακροῦ καρτερήσας διαπρεσβεύεται πρὸς τὸν βασιλέα. καὶ τὸ μὲν ἄστυ εὐθὺς τὸν βασιλέα ἐφήμιζεν, ἁλουργὸν δὲ χλαῖναν ὁ Δραγωτᾶς χρυσίῳ συνυφασμένην ἐνεδέδυτο καὶ στατήρων πλῆθος χρυσῶν ἐδέδεκτο. ὑποσχέσεις γοῦν ὑπὲρ τοῦ Μελενίκου λαμπρὰς πρὸς τὸν βασιλέα ἐποιεῖτο, μᾶλλον καὶ ὑπεράγαν ἀληθεῖς.*

44. *Πάντα γοῦν ταῦτα πρὸς τοῦ βασιλέως λαβὼν ὁ Δραγωτᾶς καὶ ὡς δέλεαρ ὑποβεβλημένος ἀπῄει. ἐπεὶ δὲ φθάσοι ἐς Μελενίκον, πάντα προὖπτα τοῖς ἐποίκοις ποιεῖται καὶ σφᾶς αὐτοὺς διεγείρει προδοῦναι τὸ ἄστυ τῷ βασιλεῖ, ἐν τῷ φανερῷ μὲν οὐ ταῦτα λέγων, κρύφα δὲ τοῖς πλείστοις*

ἀνηγμένης AF ‖ *τεθραυσμένα*] *τεθρασμένα* B corr. ab
1 *περιεφράγνυτο* ABG *περιεφράγνυντο* F **2** *ἡ χυδαία*] *οἱ χυδαίων* A **3** *ταύτης*] *ταύτην* F ‖ *ἠρέθιζεν* A *ἠρέθισεν* O
4 *ἐπεὶ καὶ*] *ἐπεὶ* ab **6** *τὰς* A om. O **7** *ἐξαυτοσχεδιάσαντες*] *ἐξ αὐτοῦ σχεδιάσαντες* A **11** *ἐπεφθάκεισαν*] *ἐφθάκεισαν* F ‖ *ἱκέται* Fb *οἰκέται* ABG **12** *δὲ* A *δ'* O
13 *εἶδεν*] *οἶδεν* FGa post *ἁλοῦσαν* pos. F **14** *ἄστυ*] *ἄστη* BG
16 *μακροῦ*] *μικροῦ* A **17** *δὲ* A *οὖν* O **18** *συναφασμένην*] *συνυφασμένω* F ‖ *ἐδέδεκτο*] *ἐκδέδεκτο* G **20** *λαμπρὰς* A *μάλα λαμπρὰς* O ‖ *ἐποιεῖτο*] *ἐπεποίητο* O ‖ *μᾶλλον* A om. O
21 *καὶ* om. ab **24** *Μελενίκον*] *Μελένικον* ab **25** *τὸ ἄστυ*] *τῶ.ἄστη* F **26** *ταῦτα*] *ταύτὰ* G

περὶ τούτου κοινολογούμενος. ἐπεὶ δὲ ὁ τὴν ἡγεμονίαν διέπων τοῦ ἄστεος ὁ Λιτοβόης Νικόλαος κατάνοσος ἦν καὶ τῇ κλίνῃ ταῖς τῶν ποδῶν ἀλγηδόσι προσπεπατταλευμένος, ἐλευθέρως εἶχον οἱ πάντες διαπράττεσθαι σφίσι τὰ βουλητά. ἐπεὶ δὲ καὶ ὁ Μαγκλαβίτης Νικόλαος εἷς ἦν τῶν ἐπιφανεστέρων ἐν τοῖς τοῦ Μελενίκου οἰκήτορσιν, ἀνὴρ δραστήριος καὶ δεινὸς καιρικαῖς περιπετείαις συμμεταβάλλεσθαι, τὰ τοῦ Δραγωτᾶ φωράσας καὶ γνούς, ὡς δυνηθείη ἂν τὰ ὑπεσχη-
82 ed. B. *μένα τῷ βασιλεῖ διαπράξασθαι, τοῦ πλήθους τὸ πλεῖον ὑπαγαγών, τοῦ κρύφα λέγειν ἀποστὰς ἐς τὸ φανερὸν τοῖς πᾶσιν ὑπέθετο τὰ συνοίσοντα, εἰρηκὼς ὡς ʽἡμῖν μὲν ἐγένετο προσταλαιπωρῆσαι τῇ τοῦ παιδὸς τοῦ Καλιμάνου ἀρχῇ, καὶ ἦν πρὸς ἐλπίδος ἀνδρωθῆναί τε τοῦτον καὶ πρὸς αὐτοῦ τὰς ἀμοιβὰς τῆς κακοπαθείας ἀντιλαβεῖν εἰς ἡλικίαν ἐλθόντος, ὅτε διακρῖναι δύναιτ᾽ ἄν τις ἀπὸ φαύλου ἄνδρα καλόν. ἐπεὶ δὲ τούτου κακούργῳ τύχῃ ἡμάρτομεν, πρόκειται δὲ ἡμῖν βρεφύλλιον ἄλλο εἰς τὴν τῶν Βουλγάρων ἀρχήν, παντὸς ἂν ἀνοηταίνοντος χείρους φανείημεν, εἰ πάλιν πρὸς δυσπραγίας ἄλλας αὐτοὺς ἐπιδοίημεν, ἀδέσποτοι τὸν πάντα βίον διατελεῖν αἱρούμενοι, ὑφ᾽ οὗ πολλά τε καὶ μείζω τὰ δεινὰ φύεται. ἀλλ᾽ ἐπεὶ βασιλεὺς ἡμῖν ὁ τῶν Ῥωμαίων προσήγγισε, δεῖ αὐτῷ ἑαυτοὺς ἐγχειρίσασθαι, δεσπότῃ πιστῷ καὶ εἰδότι ἄνδρα ἠδὲ κακὸν ἠδὲ καὶ ἐσθλόν, καὶ δίκαιον ἐν ἡμῖν ἔκπαλαι σχόντι. ὅ τε γὰρ ἡμέτερος χῶρος τῇ τῶν Ῥωμαίων προσήκει ἀρχῇ — πλεονεκτικώτερον γὰρ οἱ Βούλγαροι τοῖς πράγμασι χρησάμενοι καὶ τοῦ Μελενίκου γεγένηνται ἐγκρατεῖς — ἡμεῖς δὲ πάντες καὶ ἐκ Φιλιππουπόλεως ὁρμώμεθα, καθαροὶ τὸ γένος Ῥωμαῖοι. ἄλλως τε καὶ ὁ τῶν Ῥωμαίων βασιλεὺς ἀληθῶς καὶ ἐν ἡμῖν δικαιοῦται,*

---

2 *ἄστεος*] *ἄστεως* ab 11 *ὑπέθετο*] *ὑπέθεντο* B 12 *Καλιμάνου* A *καλλιμάνου* O 15 *δύναιτ᾽* A *δύναιτο* O ‖ *τις*] *τοῖς* A 18 *παντὸς*] *πάντως* G ‖ *χείρους*] *χείρῃ* F 19 *αὐτοὺς* post *ἐπιδοίημεν* pos. BFG *ἑαυτοὺς*? v. ind. gram. s. v. pron. 21 *βασιλεὺς*] *ὁ βασιλεὺς* B 22 *προσήγγισε*] *προσήγγισεν* ab 23 *ἠδὲ . . . . ἠδὲ* mut. in *τίδε . . . . τίδε* sec. m. F ‖ *ἠδὲ κακὸν*] *ἡμὲν κακὸν* coni. b ‖ *ἐσθλὸν*] *ἐαθλὸν* B corr. ab 27 *καὶ* om. B

καὶ εἰ Βουλγάροις προσήκοιμεν· ὁ γὰρ υἱὸς τούτου καὶ βασιλεὺς Θεόδωρος τῷ βασιλεῖ τῶν Βουλγάρων τῷ Ἀσὰν κεκήδευτο, καὶ νῦν ἡ τοῦ βασιλέως τοῦ Ἀσὰν θυγάτηρ ἡ σύζυγος τοῦ τοιούτου βασιλέως δέσποινα Ῥωμαίων ὀνομάζεταί τε καὶ ἐστί. τούτων οὖν ἁπάντων χάριν τὰ πολλὰ 83 ed. B *τῶν λεγομένων καταλιπόντας ἐπ' αὐτῷ χρὴ ἰέναι καὶ τοὺς αὐχένας ὑποκλῖναι τῷ τῆς δουλείας ζυγῷ· χρηστὸς γὰρ ὁ ζυγὸς τῶν φρονίμων βασιλέων καὶ γηραιῶν, καὶ πολλῷ κουφότερος τῶν ἔτι διατελούντων ἐν μείραξι.'*

Ταῦτ' εἰρηκὼς πέπεικε πάντας ἀπονητὶ καὶ πολλῶν ἄτερ πραγμάτων γενέσθαι τοῦ βασιλέως. καὶ δὴ πρέσβεις τινὰς τῶν συνεποίκων στείλαντες, τάχα μὲν κρύφα, μᾶλλον δὲ γινωσκομένους τοῖς πλείοσι, συμβιβάσεις μετὰ τοῦ βασιλέως πεποίηνται. χρυσόβουλλος γοῦν τῷ βασιλεῖ τῶν ἠτημένων σφίσι περιληπτικὸς γεγενημένος καὶ δεδομένος τοῖς πρέσβεσι τοῖς τοῦ Μελενίκου ἀποσταλῆναι προσετάχθη οἰκήτορσι. καὶ οἳ μετ' οὐ πολὺ ὁμοθυμαδὸν πάντες συνειλεγμένοι, ὅσοι τε τῶν προυχόντων, ὅσοι τῶν ἐν στρατείᾳ κατειλεγμένων καὶ ὅσοι κρείττους ἄλλως τῶν οἰκητόρων, πρὸς τὸν βασιλέα ἀφίκοντο, σκηνούμενον περὶ τόπον Βαλαβίσδαν οὕτω πως ἐπονομαζόμενον, ἄνδρες εὐσταλεῖς τε καὶ ἔντιμοι κἀκ μόνης θέας αἰδοῦς καὶ τιμῆς ἄξιοι, ὑπὲρ πεντακοσίους τυγχάνοντες· οὓς αὐτὸς εἰρήκειν ἰδών· 'ποία ὁπλομαχία ἡμῖν αὐτοὺς παρεστήσατο; ἢ πόσαι φάλαγγες ἱππέων τῶν τοσούτων περιεγένοντο; ἀλλ' ἐν τῷ κρείττονι ῥᾷστα καὶ τὰ μικροῦ δεῖν ἀνεπιχείρητα, κἀντεῦθεν δῆλον ὡς ἀληθές ἐστι τὸ τῷ

---

1 *προσήκοιμεν*] *προσήκειμεν* F *ει* in *οι* corr. pr. m. A 3 *κεκήδευτο* ABG *κεκήδευται* F 4 *Ῥωμαίων* A *παρὰ Ῥωμαίοις* O || *ὀνομάζεταί τε καὶ ἐστὶ* A *καὶ ἔστι καὶ ὀνομάζεται* O 6 *καταλιπόντας*] *καταλιπόντες* A scriptoris? || *αὐτῷ* A sed cf. appar. 78,24 *αὐτὸν* O 7 *τῷ* supr. lin. sec. m. add. F 10 *ἀπονητὶ* A *ἀμογητὶ* O 13 *συμβιβάσεις*] *συμβάσεις* B 14 *ἠτημένων*] *ἡττομένων* B 16 *προσετάχθη* em. F *προσετετάχει* O male, sed scriptoris? *προεπεφθάκει* coni. b || *οἰκήτορσι*] *τοῖς οἰκήτορσι* F 17 *οἳ*] *οἳ οὐ* A *οἱ* BG 19 *κρείττους*] *κρείττον.* B corr. ab || *ἄλλως*] *ἄλλοι* B 20 *Βαλαβίσδαν*] *Λαβίσδαν* ab || *ἐπονομαζόμενον*] *ὀνομαζόμενον* ab 24 *ἢ πόσαι*] *ὁπόσαι* F 25 *τῷ*] *τὸ* F

Rom. IX 16 *ἀποστόλῳ Παύλῳ εἰρημένον, ʻοὐ τοῦ τρέχοντος οὐδὲ τοῦ διώκοντος, ἀλλὰ τοῦ εὐδοκοῦντος θεοῦ.ʼ τῷ τοι καὶ τὸν στρατηγὸν οὐ δεῖ πάμπαν ἐπαινεῖν οὔτε μὴν ψέγειν. πολλὰ γάρ τινες διαγωνισάμενοι σπουδαίως τε καὶ συντόνως, δρα-* 84 ed. B. *στικώτερον τοῖς παροῦσι χρησάμενοι, μικρὸν ἢ οὐδὲν κατωρθώσαντο, ἔνιοι δὲ καὶ ἐσφάλλοντο πλεῖστα· ἕτεροι δὲ δεξιᾶς ηὐμοιρηκότες τύχης, ἀμελετήτως περὶ τὰ ἔργα χωροῦντες μεγάλων τροπαίων ἐγένοντο αὐτουργοί, οἷόν τι ξυνέβη τῷ τότε καὶ τῷ βασιλεῖ Ἰωάννῃ. πολλῶν γὰρ ἄστεων καὶ χώρων πολλῶν ἐγεγόνει δεσπότης ἐν ἀκαρεῖ, μή τινος πολέμου γεγενημένου μηδέ τινος πεσόντος ἐν μάχῃ μηδὲ χυθέντος αἵματος μηδὲ ξίφους κατορχησαμένου σώματος· ἀλλʼ ἡμέρως καὶ γαληνῶς ὥσπερ τινὸς κλήρου πατρόθεν τούτῳ προσήκοντος ἀνιδιτὶ τῶν τοιούτων ἁπάντων κατῆρξε. Στενίμαχος γὰρ καὶ Τζέπαινα, καὶ ὅσα ἦν τῷ τῆς Ῥοδόπης ὄρει παρακείμενα πολίχνιά τε καὶ κωμοπόλεις, ὑπόφορα τούτῳ γεγένηνται, καὶ ὅρος αὐτῷ τε καὶ τοῖς Βουλγάροις Ἕβρος ἦν ποταμός. ἐκ δὲ τοῦ πρὸς βορρᾶν μέρους Στούμπιόν τε καὶ Χοτοβὸς ὀχυρὰ ἄττα φρούρια καὶ χῶρος ὁ Βελεβουσδίου ὑπὸ τοῦ βασιλέως ἦν, Σκόπιά τε καὶ Βελεσός· καὶ μέχρι Πριλάπου καὶ τῶν Πελαγονίας χωρίων, Νευστάπολίς τε καὶ Πρόσακος, τὰ πάντα ὑπῆρξε τῷ βασιλεῖ ὑποχείρια. καὶ σπονδαὶ ἐπὶ τούτοις τῶν Βουλγάρων τῷ βασιλεῖ ἐγεγόνεισαν, τοῖς τοιούτοις καὶ μόνοις ἀρκεῖσθαι τοῦτον καὶ μὴ περαιτέρω κατεπεμβαίνειν. καὶ ταῦτα μὲν οὕτως ἔσχον τὸν τρό-*

6 *ἐσφάλλοντο* AF *ἐσφάλοντο* BG **7** *περὶ*] *ἐπὶ* b **8** *ἐγένοντο* A *γεγόνασιν* O **9** *χώρων*] *χωρῶν* post *πολλῶν* pos. F **10** *πολλῶν* om. A **12** *μηδὲ ξίφους—σώματος* om. F ‖ *κατορχησαμένου*] *κατορχησάμέν* B corr. ab *κατωρχησαμένου* A, ω in ο incert. man. corr. G ‖ *ἡμέρως*] *ἡμερός* B corr. ab **13** *κλήρου*] *κλήρον* B corr. ab **14** *ἀνιδιτὶ*] *ἀνωδιτὶ* A *ἀ//////ιτι* in ras. sec. m. F *ἀνιδρωτὶ* ab **16** *κωμοπόλεις*] *κωμόλεις* B corr. ab **18** *Στούμπιόν*] *τούμπιον* G **19** *Χοτοβὸς*] *χοττοβὸς* F ‖ *ἄττα*] *ἄτα* F ‖ *Βελεβουσδίου*] *βελεβουσδίος* F *Βελεβουδίου* ab **20** *τοῦ βασιλέως*] *τὸν βασιλέα* B ‖ *Σκόπιά*] *σκοπιά* Gab **21** *χωρίων*] *χωρίων· καὶ τοῦ Πριλάπου* AG ‖ *Νευστάπολις* sec. m. mut. in *εὐτζάπολις* G *Εὔτζᾳ πόλει* Ephraem. 8516 **24** *τοῦτον*] *τούτῳ* A ‖ *περαιτέρω*] *παρʼ ἑτέρων* A **25** *ἔσχον*] *ἔσχε* B

που, ἐγὼ δὲ αὐτὸς ἐν τοῖς ἐπιστολιμαίοις τῶν λόγων ὑπούργουν, ἑκάστῳ τῶν ἁλισκομένων ἄστεών τε καὶ χωρῶν καὶ γραφὴν ἐγχαράττων βασιλικήν· ἔθος γὰρ τοῦτο παλαιὸν τοῖς βασιλεῦσι Ῥωμαίων, δῆλα τοῖς μακρόθεν διὰ γραμμάτων ποιεῖν τὰ σφῶν αὐτῶν κατορθώματα καὶ πρὸς ἡδονὴν ἐπεγείρειν, ἧς δὴ καὶ οὗτοι διὰ τῶν ἔργων μεταλαγχάνουσιν.

45. Ἐπεὶ γοῦν οὕτω ταῦτα διεπράχθη τῷ βασιλεῖ, πολ- 85 ed. B. λῆς μὲν ἡδονῆς αἴτια τούτῳ γεγενημένα, οὐχ ἧττον δὲ καὶ Ephraem. πᾶσι Ῥωμαίοις αὔξησίν τινα κατιδοῦσι τοῦ κράτους καὶ ed. B. v. 8521 πλατυσμὸν τῆς ἀρχῆς, ἣν μὲν πρὸς βουλήσεως τῷ βασιλεῖ μνήσασθαι νόστου καὶ πρὸς τὴν ἕω ἐπαναζεῦξαι — καὶ γὰρ καὶ ὁ καιρὸς τοῦτο ἀπῄτει· μὴν γὰρ παρερρύη Ὀκτώβριος, καὶ περί που τὰ μέσα τούτου διήρχετο ὁ Νοέμβριος — 1246 ἀλλά τις λόγος χρηστὸς καὶ πάνυ ὠφέλιμος ἐνεπόδιζε τὴν ὁρμήν. ἡ γὰρ Θεσσαλονίκη, καθώσπερ προϊστορήσαμεν, τὸν τοῦ Θεοδώρου υἱὸν τὸν Δημήτριον ἐγνώριζέ τε δεσπότην καὶ κατωνόμαζε· δεσπότης γὰρ ἦν καὶ πρὸς τοῦ βασιλέως τετιμημένος. ἐπεὶ δέ, ὡς προπεφθάκαμεν περὶ τούτου ἐρεῖν, ἀτάσθαλον ἦν τὸ μειράκιον καὶ παιδιαῖς ἐνσχολάζειν προσῆκον καὶ μειρακίων ἀθύρμασι, μή τοι γε ἀνδρῶν προΐστασθαι συνετῶν καὶ πολιτείας κατάρχειν καὶ νομίμως ἐπιστατεῖν, ἐπιβουλὴν κατ' αὐτοῦ τινες ἐξαρτύουσιν, ὧν οἱ ὀνομαστοί τε καὶ γνώριμοι Σπαρτηνὸς ἦσαν καὶ Καμπανός, ὁ Ἰατρόπουλός τε καὶ ὁ Κουτζουλάτος, οἱ δὲ τῶν ἐπισήμων ὅ τε Μιχαὴλ ὁ Λάσκαρις καὶ ὁ Τζυρίθων, ὃν καὶ μέγαν 86 ed. B. χαρτουλάριον ὁ βασιλεὺς Ἰωάννης τετίμηκεν· ἄλλοι δὲ οἱ τοῦ σκέμματος κοινωνοὶ οὔπω δῆλοι, ὡς αὐτοὶ σφίσι τοῦ πράγματος σὺν τῷ πλήθει γεγόνασιν, ἀλλ' ἔμειναν ἀκατάγνω-

1 ὑπούργουν] ex ὑπείργουν G ὑπηρέτουν F 2 χώρων? v. 78,9 3 παλαιὸν] πάλαι A 4 διὰ] τῶν F 6 ἧς] οἷς A 11 βουλήσεως] βουλῆς F 14 Νοέβριος? 16 καθώσπερ] καθάπερ ab 18 τοῦ] τοῦ τοῦ B corr. ab 19 δέ A δ' O ‖ προπεφθάκαμεν] προφθάκαμεν F 20 ἐνσχολάζειν] sec. m. ει corr. ex ο G 21 ἀθύρμασι] ἀθύρμασιν G ‖ μή τοι A μή τι O 23 τινες ante κατ' pos. F 24 Σπαρτηνὸς] σπαρτινὸς B corr. ab 25 Κουσουλάτου Ephraem. 8530 26 Τζυρίθων] τζιρίθων FG et Ephraem. 8532 28 σφίσι] σφεῖς G

στοι τοῖς πλείοσιν. ἕνα γοῦν τούτων τῶν εἰρημένων, τὸν Καμπανόν, οἱ πάντες συσκευασάμενοι εἰς τὸν αὐτοκράτορα Ἰωάννην ἐκπέμπουσι πραγματείας μὲν προφάσεως χάριν, τῇ δ' ἀληθείᾳ κοινοῦ χρυσοβούλλου ἐπευμοιρῆσαι, τῶν ἀνέκαθεν προσαρμοσάντων Θεσσαλονίκῃ ἐθίμων τε καὶ δικαίων περιεκτικοῦ καὶ τῆς σφῶν ἐλευθερίας παρεκτικοῦ. ὁ μὲν οὖν βασιλεὺς πάντα τε τούτοις κατὰ σκοπὸν ἐπεπράχει καὶ δωρεῶν ὑποσχέσεις τοῖς ὑπηρετήσουσι τῇ πράξει καὶ ἐγγράφους τίθησι.

Ταῦτα δὴ ἐς τὸ ἀσφαλὲς οἰκονομήσας ὁ βασιλεὺς ἀπάρας τῶν Μελενίκου χωρίων περὶ τὴν Θεσσαλονίκην ἐφέρετο, πρότερον ἐξαποστείλας πρέσβεις εἰς τὸν Δημήτριον, ὡς ἂν κατὰ τὰς αὐτοῦ ὑποθήκας ἀφίκοιτο εἰς αὐτὸν καὶ ἀφοσιώσοι τὸ ὄφλημα· οὕτω γὰρ συνέθετο καὶ κατώμοσεν. ὁ δὲ — οὐδὲ γὰρ εἶχε νοεῖν οἴκοθεν — τοῖς ἐπιβούλοις
87 ed. B. συμβούλοις χρώμενος οἴκοι καταμένειν ἐπείθετο· σκευωρίαν γὰρ ἔφασκον εἶναι κατ' αὐτοῦ τὴν τοῦ βασιλέως μετάκλησιν. κοῦφος δὲ ὢν οὗτος τὰς φρένας τοῖς αὐτῶν λόγοις συνεφέρετο, ὅποι καὶ νεύοιεν. ξυνέβη δὲ κἀν τούτοις, ὅπερ ὡς ἥδυσμά τι παραθήσω τοῖς λόγοις. τὸν Καμπανὸν — ἕνα δὲ τοῦτον τῶν συνιστόρων τοῦ δόλου προείπομεν εἶναι — τὰ οὐχ ὑπὲρ Δημητρίου φρονοῦντα ἀπήγγειλάν τινες, ἐπεὶ καὶ ἐκ βασιλέως ἐπανέζευξε. καὶ ὃς παρέστη τῷ Δημητρίῳ καὶ κατηγορεῖτο πρὸς τῶν ἀληθῆ κατ' αὐτοῦ φασκόντων, ὡς 'ῥᾳδιουργῶν κρύφα καὶ ἀποπειρᾶται τοῦ λαοῦ καὶ γραφαὶ πρὸς αὐτοῦ τῷ βασιλεῖ πέμπονται καὶ λόγοι μυστηριώδεις διαμηνύονται.' καὶ ἦν πρὸς τῇ τοιαύτῃ ἐξετάσει ὁ Καμπανός. ὁ γοῦν Σπαρτηνός, συμμύστης ὢν τῶν πραττομένων, περὶ τῶν τοιούτων μεμαθηκὼς τάχος

---

2 εἰς AB ἐς FG 3 ἐκπέμπουσι] ἐκπέμπουσιν Fab 4 δ'] δὲ ab 5 περιεκτικοῦ b περιεκτικὸν O 6 παρεκτικοῦ b παρεκτικόν O 8 πράξει] τάξει A 10 Μελενίκου] μελινίκου G 11 εἰς AF ἐς BG 13 ἀφοσιώσοι] ἀφοσιώσῃ F 16 κατ' αὐτοῦ ab κατὰ σοῦ O 18 ὅποι] ὅπῃ F ‖ δὲ] καὶ ab 21 Δημητρίου] δημήτριον F δημη^τρι G δη^μτρι A 22 ἐπανέζευξε] ἐπανέζευξεν ab 24 ῥᾳδιουργῶν A ῥᾳδιουργεῖ O 27 ἐξετάσει — Σπαρτηνὸς] ἐξετάσει. ὁ καμπανὸς γοῦν σπαρτηνὸς F ‖ Σπαρτηνὸς] σπαρτινὸς B corr. ab

ἐκεῖσε φέρεται, καὶ ὡς εἶχεν ἄσθματος καὶ σπουδῆς ‘τί’ φησι ‘περὶ τοῦδε τοῦ ἀλιτηρίου κατηγοροῦσί τινες, δέσποτα, ὃς εἰ ἁλῴη τοιοῦτος, πολλῶν θανάτων κριθείη ἂν ἄξιος;’ καὶ ὁ Δημήτριος — ἐθάρρει γὰρ μάλα τούτῳ ὡς πιστῷ καὶ πάνυ τοῦτον εὐνούστατον κατὰ τὸν κωμικὸν ὄντα εἰ καὶ Aristoph. μὴ κλεπτίστατον ἥγητο — Plut. 27 ‘προδότην τοῦτον, Σπαρτηνέ, φασὶν εἶναι οἱ τοῦτον διώκοντες.’ ὁ δὲ παίει τὸν Καμπανὸν κατὰ τῆς σιαγόνος τῷ καρπῷ, σφόδρα χρησάμενος τῇ βολῇ, καὶ λαβόμενος τούτου τῆς γένυος ‘ἐγὼ αὐτόν’ φησιν ‘ἐν τοῖς οἴκοι ἀπαγαγών, δέσποτα, ἐτασμοῖς ἐκπνεύσας τὸ πρῶτον, πάντα τοῦτον καταναγκάσω ἔκφορα ποιῆσαι τὰ κρύβδην τούτῳ ῥᾳδιουργούμενα.’ ταῦτ’ εἶπε, καὶ ὡς εἶχε τάχους ἐς τὴν οἰκίαν ἀπῄει.

Τὸν μὲν οὖν Καμπανὸν τὸ ἀπὸ τοῦδε κλίνη εἶχε καὶ στιβὰς ὑψηλὴ πρὸς ἀνάπαυσιν καὶ τὰ εἰς τρυφὴν μᾶλλον ἐφευρημένα, οἷς καὶ μᾶλλον χαίρουσιν ἄνθρωποι οἱ 88 ed. B. τοιαῦτα μεμελετηκότες διαπράττεσθαι πράγματα. ὡς δὲ καί τινες ἔφασαν, ἀσκὸν διαφυσήσας ὁ Σπαρτηνὸς καὶ πληρώσας τοῦ πνεύματος, εἶτα δεσμεύσας ὡς ἐντὸς ἅπαν ἐναποληφθῆναι πνεῦμα μή τινος οὔσης τούτῳ τῆς ἐκροῆς, ἀπαιωρήσας ἔτυπτε ῥάβδοις τάχα τὸν Καμπανόν, ἐτάζων ἀποκαλύψαι τὰ κρύφα. ἀσκὸς δὲ ἦν, οὐ Καμπανός, ὁ τυπτόμενος. ἐπεὶ δὲ ἡ ἀρκοῦσα ὥρα παρῄει ἢ καὶ ἄξιον ἐτασμὸν δεδυνημένη ποιήσασθαι καὶ ἔκπυστον θεῖναι καὶ τὸ ἐν μυχοῖς βαθυτάτοις ἐγκείμενον ἄρρητον, ὡς εἶχε ποδῶν ὁ Σπαρτηνὸς ἀφίκετο πρὸς τὸν Δημήτριον καί οἱ φησι· ‘δέσποτα, ὅρκῳ σε πιστώσω τὸ πρᾶγμα· μὰ τὸν σὸν

---

2 φησι] σφίσι a 3 ὃς] ὡς a 5 εὐνούστατον] δυσνούστατον ab rect. coni. b ‖ ὄντα om. B ‖ εἰ om. G ‖ καὶ μὴ] μὴ καὶ F 6 ἥγητο] ἥγειτο a ἡγεῖτο b 9 γένυος] γένειον a ‖ αὐτόν φησιν A φησιν αὐτὸν O 11 τούτῳ A τούτοις O 13 ἀπῄει] ἀποίη F 15 εἰς A ἐς O 18 ἀσκὸν] ἀσκὸς B corr. ab ‖ διαφυσήσας] διαφορήσας ab ‖ Σπαρτηνὸς] σπαρτινὸς B corr. ab 19 εἶτα] εἶτα καὶ B ‖ ἐναποληφθῆναι A ἐναπηλῆφθαι B ἐναπειλεῖφθαι a ἐναπειλῆφθαι Gb ἐναπολεῖφθαι F 20 ἐκροῆς] ἀκοῆς A 22 κρύφα] κρύφια B 23 ἢ καὶ] καὶ ab 24 ἔκπυστον] ἔκπτυστον F 25 μυχοῖς post βαθυτάτοις pos. F 26 ὁ om. B corr. ab

καὶ ἡμῶν ἁπάντων Δημήτριον, τὸν κηδεμόνα τῆς Θεσσαλονίκης καὶ πολιοῦχον' — οὗτος δὲ ὁ ὅρκος παρὰ Θεσσαλονικεῦσι πλέον τῶν ἄλλων ἰσχύει ὅρκων — 'τοιοῦτός ἐστιν ὁ Καμπανὸς ὁποῖός ἐστιν ὁ Σπαρτηνός, καὶ οὕτω διάκειται περί σε καθά γε δὴ καὶ ὁ Σπαρτηνός, ὃν ἁπάντων ἀνθρώπων πλέον σε φιλοῦντα ἐπέγνωκας.' οὕτως ὁ Σπαρτηνὸς τὴν μέλλουσαν φωραθῆναι ῥᾳδιουργίαν οἰκονομικῶς διεσκέδασεν.

Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης ἀπάρας τὰ στρατεύματα ἐπὶ τὴν Θεσσαλονίκην ἐξ ὀρθοῦ χωρεῖ καὶ περὶ ταύτην ἐστρατοπεδεύσατο. πολιορκῆσαι μὲν γὰρ οὐκ ἦν αὐτῷ — οὐ γὰρ ἀρκούσας εἶχε τὰς ἐπὶ τούτῳ δυνάμεις — πρεσβείας δὲ ἐποίει καὶ ἐζήτει ἐξελθεῖν πρὸς αὐτὸν τὸν Δημήτριον,
89 ed. B. καθὼς ἦν ὀμωμοσμένον αὐτῷ, ἔτι δὲ ποιῆσαι καὶ ἀγορὰν ἔξω τῆς Θεσσαλονίκης, ὡς ἂν ἔχοιεν ὠνεῖσθαι τὰ χρειώδη τὰ στρατεύματα. ὁ δὲ τοῖς ἐπιβούλοις συμβούλοις χρώμενος οὐδέν τι τῶν τοιούτων ποιῆσαι παρεχωρεῖτο. πάνυ δὲ ὀλίγων ἡμερῶν παραδραμουσῶν, ὀλίγου τινὸς στρατεύματος πλησίον ἱσταμένου τῆς μικρᾶς πύλης τῆς παρὰ τῇ θαλάσσῃ ἐπονομαζομένης διὰ τὸ μὴ ἀπροόπτως ἐξελθεῖν τινας τῶν τῆς πόλεως καί τινας λυμαίνεσθαι τῶν ἐκ τοῦ στρατοῦ, ἐξαπίνης ἐκ ταύτης ἐγεγόνει βοή, ὡς ἤνοικται ἡ πύλη παρά τινων τῶν ἐντός. καὶ τῇ βοῇ συνείπετο ἡ παραφυλάττουσα δύναμις, καὶ σύμπαν τε τὸ στράτευμα ὁπλισθὲν μετὰ τοῦ κρατοῦντος ἐφοίτα καὶ ἐν ἀκαρεῖ πάντας εἶχεν ἡ Θεσσαλονίκη τοὺς τοῦ βασιλέως ἐντός. ὁ δὲ βασιλεὺς ἔστη παρὰ τὴν πρὸς ἀνατολὰς βλέπουσαν πύλην τῆς πόλεως. καὶ ἡ τοῦ Δημητρίου ἀδελφὴ Εἰρήνη, τοῦ

---

2 οὗτος] οὕτως a 3 ἰσχύει ὅρκων A ὅρκων ἰσχύει O || τοιοῦτός ἐστιν] τοιοῦτος ἔστιν FG 4 ὁποῖός ἐστιν] ὁποῖος ἔστιν FG || οὕτω A οὕτως O 5 περί] παρά F || καθά γε] καθάπερ B || ἁπάντων ἀνθρώπων A ἀνθρώπων ἁπάντων O 6 οὕτως] οὗτος a 9 ἐπὶ AGab περὶ B πρὸς F || ἐξ ὀρθοῦ] ἐξόθρου a || περὶ] παρὰ F 13 ὀμωμοσμένον] ὠμοσμένον Fab ὀμοσμένον B 14 τῆς Θεσσαλονίκης A τῆς πόλεως θεσσαλονίκης O 18 ἐπονομαζομένης A om. F καὶ ἐπονομαζομένης BG unc. secl. b post ἐπονομαζομένης lacunae spat. G 20 ἐκ τοῦ] τοῦ F 21 τινων A τῶν τινων B τινος Fb τῶν τινῶν sec. m. τῶν del. G 23 τε A δὲ O || στράτευμα] στράτευμαν F 26 τοῦ] ἡ τοῦ ab

Βουλγάρων Ἀσὰν γαμετή, παρέστη γονυπετοῦσα καὶ ποτνιωμένη, μὴ παθεῖν τὸν ἀδελφὸν αὐτῆς τῶν ὀφθαλμῶν στέρησιν. ὁ δὲ Δημήτριος ἔφθη εἰς τὴν ἀκρόπολιν ἀναβάς. ἐγγύας δὲ ἐνωμότους πρὸς τοῦ βασιλέως λαβοῦσα, ὡς οὐκ ἀπολέσει οὗτος τοὺς ὀφθαλμούς, ἀπῄει τε παρὰ τὸν ἀδελφὸν καὶ πρὸς τὸν βασιλέα τοῦτον ἐξήγαγεν. ἦν δὲ φέρων οὗτος τὴν ἡλικίαν τοῦ μείρακος, προσεχῶς εἰς αὐτὴν παραγγείλας καὶ μήπω χνοάζων τὸ γένειον, ὡραῖος δὲ τὸ εἶδος καὶ τὴν φυήν. τετίμηκε δὲ ταύτην ὁ βασιλεύς, οἷα ἐκείνης σχηματιζόμενος τὴν ταπείνωσιν. ὡς γὰρ ἀπέβη αὕτη τοῦ ἵππου, τηνικαῦτα καὶ ὁ βασιλεὺς τοῦ οἰκείου ὀχήματος ἀποβὰς πεζὸς ἕστηκε σὺν αὐτῇ. ἡ μὲν οὖν πόλις Θεσσαλονίκη οὕτως ὑπὸ τὸν βασιλέα γέγονεν Ἰωάννην, μᾶλλον δὲ ὑπὸ Ῥωμαίους· οἱ 90 ed. B *γὰρ αὐτὴν κρατοῦντες ἐναντιόφρονες Ῥωμαίοις ἐτέλουν.*

46. *Ὀλίγας δὲ πάνυ ἡμέρας ἐν τῇ Θεσσαλονίκῃ προσ-* Ephraem. *καρτερήσας ὁ βασιλεὺς — κατήπειγε γὰρ αὐτὸν ὁ τοῦ* ed. B. v. 856 *χειμῶνος καιρός· Δεκέβριος γὰρ ἐτύγχανε μήν — ἀφεὶς ἐν αὐτῇ τὸν μέγαν δομέστικον τὸν Κομνηνὸν Ἀνδρόνικον τὸν Παλαιολόγον, οὗ πολλάκις ἐμνήσθημεν, τὰ πρῶτα φέροντα τῶν ἐν στρατηγίαις τεταγμένων, ἄνδρα συνετώτατον καὶ πραότατον καὶ εὖ εἰδότα καὶ μάχῃ ὁπλίσαι καὶ διευθῦναι λαὸν καὶ ἐν πολεμικοῖς καὶ εἰρηνικοῖς τοῖς καιροῖς, νικητὴς ἐπανέζευξεν εἰς τὴν ἕω, θαυμαζόμενος ὑπὸ πάντων καὶ κλεϊζόμενος τῆς ταχινῆς οὕτω καὶ μεγίστης νίκης, οὐχ ὑπὸ τῶν οἰκείων μόνων ἀλλὰ καὶ ὑπὸ τῶν ἀλλοτρίων· ὑπὲρ φυσικὴν γὰρ τάξιν ἔδοξε τὸ κατόρθωμα καὶ τῶν τροπαίων τὸ ἀλλεπάλληλον, καὶ θεοῦ μᾶλλον προνοίᾳ ἢ στρατηγικαῖς*

---

1 *παρέστη* A om. O 4 *ἐγγύας*] *ἐγκύας* F ‖ *ἐνωμότους*] *ἐνομότους* B corr. b 7 *εἰς*] *ἐς* G *πρὸς* F ‖ *παραγγείλας*] *π//////γγεί///ας* sec. m. in ras. F 8 *χνοάζων*] *γνοάζων* B corr. ab 9 *οἷα*—10 *ταπείνωσιν* om. BG 10 *αὕτη*] *αὐτὴ* BG 11 *ὀχήματος*] *σχήματος* A 16 *αὐτὸν*] *αὐτὴν* sec. m. *η* corr. in *ο* G ‖ *τοῦ χειμῶνος καιρός*] *χειμὼν* F 17 *Δεκέβριος*] *δεκέμβριος* F *δε*^*κρι*^ A 20 *τῶν*] *τὸν* F ‖ *τεταγμένων, ἄνδρα*] *τεταγμένον ἄνδρα,* FG *τεταγμένων ἄνδρα,* B corr. ab 21 *μάχῃ* A *μάχην* O ‖ *διευθῦναι*] *διευθῦντα* B corr. ab 25 *μόνων* A *μόνον* O 26 *ἔδοξε*] *ἔδειξε* F

μεθόδοις ταυτὶ διαπράξασθαι. καταλέλοιπε δὲ καὶ εἴς τε τοῦ Μελενίκου καὶ τῶν Σερρῶν καὶ τῶν περὶ αὐτὰς φυλακὴν τὸν τοῦ εἰρημένου μεγάλου δομεστίκου πρῶτον υἱὸν τὸν Κομνηνὸν Μιχαήλ, ὃν μετὰ χρόνους τινὰς ἡ τῶν Ῥωμαίων βασιλεία πεπλούτηκεν εἰς εὐτυχίαν ταύτης καὶ εὐδοξίαν, ἄλλον τε ἀλλαχοῦ ἐπαφῆκεν εἰς ἀσφάλειαν τῶν χωρῶν
91 ed. B. τε καὶ πόλεων, ἐπάνω δὲ πάντων τὸν μέγαν δομέστικον, ὡς ἂν ὑπείκοιντο πάντες αὐτοῦ τοῖς ὑπ' αὐτοῦ λεγομένοις τε καὶ προστραττομένοις. ὁ μὲν οὖν βασιλεὺς εἰς τὰ τῆς ἕω μέρη διαπεράσας διῆγε, καὶ τὸν Δημήτριον, ὃν τῆς Θεσσαλονικέων ἀρχῆς καθεῖλεν, ἐν τῷ φρουρίῳ καθείρξας τῶν Λεντιανῶν ἐτήρει. ὁ δὲ μέγας δομέστικος ὀλίγον ἐπιβιοὺς χρόνον καὶ καλῶς διαπρέψας ἐν τῇ τούτου ἀρχῇ, νοσήσας καὶ τὴν τρίχα ἀποκαρεὶς τὸ βιοῦν ἐξεμέτρησεν· ἀπεστάλη δὲ ἀντ' αὐτοῦ Θεόδωρος ὁ Φιλῆς διέπειν τὰ τῆς ἀρχῆς. ἐπεὶ δὲ ὑπὸ τὸν βασιλέα ἐγεγόνει Θεσσαλονίκη καὶ Βέρροια, τὰ ἐκεῖθεν αὐτῶν καὶ πρὸς δυσμὰς ἀπὸ τοῦ Πλαταμῶνος ἀρχόμενα ὑπὸ τὸν δεσπότην Μιχαὴλ ἐτέλουν, ἔτι τε τὰ περὶ Πελαγονίαν καὶ Ἀχρίδα καὶ Πρίλαπον· τοὺς δὲ Βοδηνοὺς καὶ Σταρίδολα, Στροβόν τε καὶ τὰ περὶ ταῦτα ὁ τοῦ Δημητρίου πατήρ, τοῦ Μιχαὴλ δὲ θεῖος, ὁ Ἄγγελος κατεῖχε Θεόδωρος.

---

2 τοῦ] τὴν τοῦ U coni. b ‖ τῶν Σερρῶν] τὴν τῶν Σερρῶν BGF **3** πρῶτον om. U **5** βασιλεία om. U βασιλέα B corr. b ‖ πεπλούτηκεν] πεπλούτηκεν ἄνακτα· U **6** ἐπαφῆκεν] ἀφῆκεν U **8** pr. αὐτοῦ] αὐ G (with τ above) quod αὐτοῦ i. e. ibi interpretor αὐτῷ O post αὐτῷ add. καὶ BU sec. man. G **9** προστραττομένοις] πραττομένοις BU ‖ τὰ] τὸ F **10** ὃν om. F **11** ἀρχῆς] ἄρχειν U **12** Λεντιανῶν] λεαντιανῶν U **14** τρίχα] τρίχαν B corr. ab ‖ ἐξεμέτρησεν] ἐξεμέτρησε G **15** ante διέπειν add. ἀντ' αὐτοῦ BFG **16** ὑπὸ] ἐπὶ U ‖ ἐγεγόνει] ἐγεγόνε F **17** αὐτῶν] αὐτῶ F ‖ τοῦ om. U **18** ἀρχόμενα] ἀρχόμενον sec. m. ον corr. in α G ‖ δεσπότην Μιχαὴλ AB Μιχαὴλ τὸν δεσπότην FGU **19** Πελαγονίαν] πελαγονίας B corr. b ‖ Ἀχρίδα AB ἀχρίδαν O **20** Βοδηνοὺς] βοδινοὺς U η ex ι sec. m. rest. B ‖ Σταρίδολα] σταρήδολα U ‖ Στροβόν AB, ν ex ι sec. m. G στρόβός F Στρόβον ab Ὀστροβὸν U ‖ καὶ om. A ‖ ταῦτα] αὐτὰ U **21** sec. τοῦ] τὸν B corr. ab

Ephraem. ed. B. v. 8800 1247 92 ed. B.

47. Ὁ μὲν οὖν βασιλεὺς ἐν τοῖς τοῦ Νυμφαίου παραχειμάσας, ἦρος φανέντος, ὥσπερ εἰώθει, ἐξῄει ἐκεῖθεν. ἐκεχειρίαν δὲ ἔχων ἐξ ἁπάντων, τοῖς πλησιάζουσιν ἄστεσι τῇ Κωνσταντίνου καὶ παρὰ Λατίνων κεκρατημένοις, τῇ Τζουρουλῷ φημι καὶ τῇ Βιζύῃ, ἐπιθέσθαι τεθέληκεν· ἑώρα καὶ γὰρ πάνυ τὰ τῶν Λατίνων ἠσθενημένα. διαπεραιωθεὶς γοῦν τὸν Ἑλλήσποντον ἐν τῇ Τζουρουλῷ τὸ πρῶτον ἀφίκετο. ἦν δὲ ἐντὸς τοῦ ἄστεος ἡ τοῦ βασιλέως γυναικαδέλφη Εὐδοκία, ἣν ὁ Ἀσὲλ δε Κάε εἰς γυναῖκα ἠγάγετο τῆς ἀδελφῆς αὐτῆς τῆς βασιλίδος Εἰρήνης καὶ τοῦ γαμβροῦ καὶ βασιλέως θελήματι. ὁ μὲν οὖν Ἀσὲλ δε Κάε οὐκ ἐκαρτέρησεν ἐν τῷ ἄστει· τὴν γὰρ τοῦ βασιλέως ἐπεγνωκὼς ἔφοδον ἐκεῖνος μὲν ἐξῄει, τὴν δὲ σύζυγον αὐτοῦ Εὐδοκίαν εἴασεν ἐν τῷ ἄστει, φυλακὴν ἱκανὴν συνεπιστήσας αὐτῇ· ἔδοξε γὰρ αὐτῷ, ὡς διὰ τὴν αὐτοῦ γυναικαδέλφην οὐκ ἂν βουληθείη ὁ βασιλεὺς πορθῆσαι τὸ ἄστυ. ἐκεῖνος δὲ τὰ πολλὰ παρορῶν τῶν τοιούτων, παρεκάθισε τῷ ἄστει καὶ ἑλεπόλεις ἔστησε καὶ μηχανήματα καταβλητικὰ τῶν ἐπάλξεων, καὶ διὰ μετρίων πάνυ τῶν ἡμερῶν ἐχειρώσατο· καὶ τὴν μὲν αὐτοῦ γυναικαδέλφην εἰς τὴν Κωνσταντινούπολιν ἐξαπέστειλεν, ἕνα ἵππον αὐτῇ δοὺς ἵν' ἐποχῆται, πάντας δὲ τοὺς εἰς φυλακὴν τοῦ ἄστεος ὄντας πεζοὺς ἀπέλυσεν. ἀλλὰ καὶ τὸ τῆς Βιζύης ἄστυ στρατιὰν ἐκπέμψας διὰ βραχέος κεχείρωκε, καὶ συνήγαγε καὶ τοῦτο τῇ τούτου ἐπικρατείᾳ.

---

2 ἐκεῖθεν om. F 3 ἔχων post ἁπάντων pos. BFGU | ἄστεσι] ἄστεσιν B corr. ab ‖ τῇ] τῆς Uab 4 Τζουρουλῷ] τζουρολῷ F 5 sec. καὶ om. F 6 τῶν om. U 7 Τζουρουλῷ] τζουρολῷ F ‖ τὸ] τοῦ B τῷ a corr. b 8 ἄστεος] ἄστεως ab ‖ γυναικαδέλφη] γυναικαδελφὴ F 9 δε Κάε] Δεκαὲ ab 10 τῆς om. FUab ‖ βασιλίδος Εἰρήνης om. F 11 δε Κάε] Δεκαὲ ab 12 τὴν γὰρ—13 ἐν τῷ ἄστει om. F 14 συνεπιστήσας] ἐπιστήσας U ‖ αὐτῇ] αὐτῷ ab αὐτὴν F ‖ γὰρ] καὶ γὰρ FG 15 γυναικαδέλφην] γυναικαδελφὴν F 16 τὸ ἄστυ] τῷ ἄστει U 17 τῷ ἄστει] τὸ ἄστυ F 19 γυναικαδέλφην γυναικαδελφὴν F 20 εἰς τὴν] εἰς F ‖ Κωνσταντινούπολιν] κωνσταντίνου U ‖ ἐξαπέστειλεν] ἐξαπέστειλε G 21 αὐτῇ post δοὺς pos. U ‖ ἐποχῆται] ἐποχεῖται F 22 ἄστεος] ἄστεως ab 23 βραχέος] βραχέως Aa ‖ κεχείρωκε] κεχειρώκεν ab ‖ συνήγαγε] ἐπήγαγε U

Ephraem. ed. B. v. 8626 48. Κατὰ τοὺς καιροὺς τούτους ἑάλω καὶ τὸ ἄστυ τῆς νήσου Ῥόδου ὑπὸ Γενουϊτῶν νυκτὸς κλοπῇ. ὁ γὰρ κρατῶν αὐτὸ Ἰωάννης ὁ Γαβαλᾶς, ὁ τοῦ καίσαρος Λέοντος τοῦ Γαβαλᾶ ἀδελφός, ὁ καὶ μετὰ θάνατον τοῦ ἀδελφοῦ αὐτοῦ τῆς νήσου δεσπόζων, ἀποδεδημήκει, μετὰ τοῦ βασιλέως κατὰ τῶν ἐν Κωνσταντινουπόλει ὡρμημένος Λατίνων 13 ed. B. περὶ τὰ μέρη τῆς Νικομηδείας διάγοντος. εὐθὺς οὖν βασιλικῇ προσταγῇ στέλλεται ὁ ἐπὶ τοῦ κεράσματος Ἰωάννης ὁ Καντακουζηνός· οὗτος γὰρ ἔτυχε τῷ τότε τὴν δουκικὴν τῶν Θρᾳκησίων ἀνεζωσμένος ἀρχήν. καὶ εἰσῆλθεν ἐντὸς τῆς νήσου μετὰ μετρίων τινῶν δυναμένων ὅπλα κινεῖν, καὶ φθάνει κατασχεῖν τὸ ἐν αὐτῇ φρούριον τὸ ἐπονομαζόμενον Φιλέρημον. ἐμάχετο οὖν ὡς εἶχε δυνάμεως τοῖς Γενουΐταις. ἐπεὶ δὲ ἀξιόμαχος ἀπεστάλη τούτῳ στρατός, ἐγγύς που τοῦ ἄστεος πηξάμενος τὰς σκηνὰς ἐπολιόρκει τοὺς ἐντὸς Γενουΐτας, οὐ κατέβλαπτε δὲ αὐτούς, τροφῶν γὰρ ηὐπόρουν διαρκῶν· τὰς γὰρ τῶν Ῥοδίων οἰκίας πλήρεις εὑρόντες τῶν ζωαρκῶν οὐδενὸς τῶν ἀναγκαίων ἐσπάνιζον. συνεκοιτάζοντο δὲ καὶ ταῖς τούτων γυναιξίν, εἰ μή τινα ἔξωρον οὖσαν ἢ τὸ εἶδος οὐκ ἀγαθὴν ἀπήλασαν ἔξω. καὶ τάχος μὲν ἂν τὸ τῆς Ῥόδου ἄστυ ὑπὸ Ῥωμαίους ἐγένετο τῇ συνεχεῖ πολιορκίᾳ τοῦ Καντακουζηνοῦ καὶ ταῖς 14 ed. B. εὐμηχάνοις τούτου ὁπλομαχίαις, εἰ μή τι ξυνέβη τοιοῦτον. ὡς γὰρ ὁ τῆς Ἀχαΐας πρίγκιψ Βιλαρδουὶν εἰς τὴν Συρίαν

---

1 τούτους ante τοὺς pos. U 2 Ῥόδου ante νήσου pos. U ‖ Γενουϊτῶν AG Γεννουϊτῶν BFU ‖ νυκτὸς] ἐκτὸς U ‖ κλοπῇ] ἐν κλοπῇ BU 3 αὐτὸ] αὐτοῦ B αὐτῷ U 4 θάνατον] τὸν θάνατον F 6 ἐν] ἐν τῇ G ‖ ὡρμημένος] ὡρμημένων BU 7 τῆς om. ab 10 Θρᾳκησίων] θρᾳκιδίων U ‖ ἀνεζωσμένος] ἀναζωσμένος U 11 δυναμένων] δυνάμεων U 12 τὸ ἐν αὐτῇ — 13 Φιλέρημον] τὰ ἐν αὐτῇ φρούρια τά τε ἐπονομαζόμενα Φιλέρημον καὶ λιητὸν (Λιῒτὸν ab) τὸ ἕτερον B 13 ἐμάχετο] ἐμάχοντο U ‖ οὖν] οὖν ἐκεῖθεν G 14 Γενουΐταις AG γεννουΐταις BFU ‖ ἀπεστάλη]. παρὰ τοῦ κρατοῦντος ἀπεστάλη B 15 ἄστεος] ἄστεως ab 16 Γενουΐτας AG γεννουΐτας BFU 18 ζωαρκῶν] ζωαργῶν U 20 ἀπήλασαν] ἀπήλαττον U 23 τοιοῦτον. ὡς γὰρ ὁ] τοιοῦτο. ὁ γὰρ F 24 ὁ om. a ‖ post Ἀχαΐας add. καὶ πελοπονήσου BFGU ‖ πρίγκιψ BG γγ ex γκ A πρίγγιψ FU πρίγκηψ ab ‖ Βιλαρδουΐν]

ἀνήγετο, συμμαχίαν ἐπάγων τοῖς εἰς Συρίαν ἀφικομένοις Φράγγοις, κἂν ταῖς τριήρεσιν αὐτοῦ ὁπλίτας εἶχεν ἱππότας, προσώκειλε δὲ τῇ νήσῳ Ῥόδῳ, συνθήκην μετὰ τῶν ἐν αὐτῇ Γενουΐτῶν ἐποιήσατο, καὶ καταλέλοιπε παρ' αὐτοῖς ἄνδρας εὐγενεῖς καὶ ἀγαθοὺς ἱππεῖς ἐγγύς που τῶν ἑκατόν. τοῦτο τοὺς Ῥωμαίους ὑποχωρῆσαι τῆς πολιορκίας τοῦ ἄστεος κατηνάγκασε καὶ εἰς τὴν Φιλέρημον ἐμφιλοχωρεῖν. οἵ μὲν οὖν καταλελειμμένοι παρὰ τοῦ πρίγκιπος ἱππεῖς, καταλιμπάνοντες τοὺς πεζοὺς Γενουΐτας περὶ τῷ ἄστει, ἐξήρχοντο καὶ τὴν πᾶσαν χώραν ἐλήιζον. τὰ μὲν οὖν χρειώδη ἑαυτοῖς περιεποιοῦντο, σπάνιν δὲ τῶν ἀναγκαίων τοῖς Ῥωμαίοις ἐκ τούτου συνέβη γίνεσθαι, ἐφ' ᾧ τυγχάνειν δρόμωνας καὶ ἕτερα ξύλα τοῖς Γενουΐταις πειρατικά.

Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης τὸ Νύμφαιον καταλαβὼν καὶ στόλον συσκευασάμενος ἀξιόμαχον ἐν τῇ Σμύρνῃ, ἱππαγωγούς τε τριήρεις οἰκονομήσας ὡς μέχρι καὶ τῶν τριακοσίων ἵππων ἐπιφέρεσθαι, καὶ εἰς στρατηγὸν αὐτοῖς ἀποτάξας τὸν Κοντοστέφανον Θεόδωρον τὴν τοῦ πρωτοσεβαστοῦ ἀξίαν διέποντα, καὶ ὅπως μέλλει τὰ τῆς μάχης καταρτίσαι τε καὶ συντάξαι ποῦ τε καὶ ὅτε, ἐγγράφως αὐτῷ παραδούς, ἐξαπέστειλεν, ἐπευξάμενος τούτῳ τε καὶ τοῖς μετὰ τούτου τὰ λῷονα. ὁ μὲν οὖν πρωτοσεβαστὸς Θεόδωρος, ταῖς τριήρεσιν ἀναχθεὶς καὶ εἰς τὴν νῆσον ἀφιγμένος Ῥόδον, πάντα τε ὡς ὁ βασιλεὺς

βιλαρδουνὶν A βιλαρδουῖνον F 1 ἀνήγετο] ἀνηγάγοιτο U || ἀφικομένοις] ἀφικόμενος U 2 Φράγγοις] Φράγκοις b 3 συνθήκην AG καὶ συνθήκην BFU 4 Γενουΐτῶν AG γεννουΐτῶν BFU 5 ἐγγύς που] πλείους B 6 Ῥωμαίους AFU ῥωμαίων BG || ἄστεος] ἄστεως ab 7 ἐμφιλοχωρεῖν] ἐγχωρεῖν B ἐκχωρεῖν U || οἵ] εἰ F 8 καταλελειμμένοι] ἐγκαταλελειμμένοι F || πρίγκιπος BG πρίγγιπος AFU 9 Γενουΐτας AG γεννουΐτας BFU || περὶ τῷ ἄστει AG περὶ τὸ ἄστυ BF παρὰ τῷ ἄστει U 10 τὰ μὲν οὖν] καὶ τὰ U 11 σπάνιν] σπάνις BU 12 συνέβη AU ξυνέβη O || γίνεσθαι ABG γενέσθαι FU || ἐφ' ᾧ—13 πειρατικά om. U 13 Γενουΐταις AG γεννουΐταις BFU || πειρατικά] πειραστικαὶ B corr. ab 15 ἀξιόμαχον] ἀξιόλογον ab 17 εἰς om. U || αὐτοῖς om. U || ἀποτάξας] ἐπιτάξας U 21 τούτῳ τε] τε τούτῳ U || ὁ om. U

προσέταξε διαπραξάμενος, τοὺς Λατίνους κατετροπώσατο· ἔξω γὰρ ληϊζομένοις ἐντυχόντες τοῖς Λατίνοις οἱ τοῦ βασι- 95 ed. B. λέως ἄρδην πάντας σπάθης ἔργον πεποίηνται, τοῦ ἐπὶ τοῦ κεράσματος Ἰωάννου τοῦ Καντακουζηνοῦ ἐπισκηψαμένου μηδενὸς αὐτῶν φείσασθαι. οἱ μὲν οὖν Φράγγοι οἱ ἱππεῖς βασιλικῇ εὐβουλίᾳ οὕτως ἀπώλοντο, οἱ πεζοὶ δὲ Γενουῖται ἐναπολειφθέντες τῷ ἄστει τῆς Ῥόδου κατεῖχον αὐτὸ τοῖς ἔξω μαχόμενοι. ἐπεὶ δὲ οὐ δυνάμεως εἶχον εἰς μακρὸν ἀντέχειν, εἰς ξυμβιβάσεις συνῆλθον· καὶ παρέδωκαν μὲν τὸ ἄστυ τοῖς Ῥωμαίοις, αὐτοὶ δὲ πρὸς τὸν βασιλέα ἀφίκοντο καὶ κατὰ τὰς γεγονυίας τούτοις συνθήκας τῆς βασιλικῆς εὐμενείας ἀπήλαυσαν. καὶ οὕτω δὴ καὶ αὖθις ἡ νῆσος Ῥόδος ὑπὸ Ῥωμαίους ἐγένετο· καὶ ταῦτα μὲν ξυμβέβηκεν οὕτως.

Ephraem. ed. B. v. 8653 49. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης μετὰ τοῦ δεσπότου Μιχαὴλ συνθήκας πεποίηκε καὶ εἰς κήδους κοινωνίαν συνῆλθε· τὸν γὰρ τοῦ Μιχαὴλ υἱὸν Νικηφόρον ἐπὶ τὴν Nic. Greg. ed. B. I 47 θυγατέρα τοῦ υἱοῦ αὐτοῦ τοῦ βασιλέως Θεοδώρου τὴν Μαρίαν γαμβρὸν ἠγάγετο. καὶ ἡ τούτου γαμετὴ Θεοδώρα τὸν Νικηφόρον μεθ' ἑαυτῆς λαβοῦσα εἰς τὴν ἕω διαπεραιοῦται καὶ περὶ τὰ μέρη τῶν Πηγῶν τῷ βασιλεῖ διάγοντι ἐντυγχάνει, καὶ ἡ τῶν παίδων μνηστεία γεγένηται. καὶ ἡ Θεοδώρα αὖθις τὸν υἱὸν αὐτῆς λαβοῦσα οἴκαδε ὑπεχώρησε

---

1 προσέταξε] κατέταξε U ‖ διαπραξάμενος] διαταξάμενος BU 3 σπάθης] ξίφους U 4 Ἰωάννου — 92,17 πρωτοβεστιάριον om. F ‖ ἐπισκηψαμένου] ἐπισκεψαμένου HU 5 Φράγγοι] Φράγκοι b ‖ οἱ ἱππεῖς] ἱππεῖς U 6 ἀπώλοντο] ἀπόλοντο B corr. ab ἀπόλοιντο A ἀπώλλυντο scrib.? ‖ πεζοὶ δὲ] δὲ πεζοὶ H ‖ Γενουῖται AG γεννουῖται BHU 7 ἄστει] ἄστυ H 8 οὐ] οὐ διὰ sec. m. supr. lin. G οὐ πάνυ U 9 ξυμβιβάσεις AH ξυμβάσεις O ‖ συνῆλθον] ξυνῆλθον BH 10 δὲ] δὲ ἐξῆλθον καὶ U 11 γεγονυίας τούτοις] γεννουϊτικὰς τούτων U ‖ συνθήκας] ξυνθήκας H 12 εὐμενείας] εὐμενίας H ‖ ἀπήλαυσαν] ἀπήλασαν H 13 ξυμβέβηκεν] συνέβηκεν H 15 μὲν οὖν] μέντοι U 16 συνθήκας] ξυνθήκας U συνθήκας τε BG τε supra lin. add. H 17 τὴν θυγατέρα] τῇ θυγατέρα B τῇ θυγατρὶ ab 18 τοῦ βασιλέως] βασιλέως BHU ‖ τὴν Μαρίαν] μαρίαν H τῇ μαρίᾳ Aab 21 περὶ] παρὰ H 23 αὐτῆς ante υἱὸν pos. BG

παρὰ τὸν αὐτῆς σύζυγον Μιχαήλ, προσηκόντως φιλοφρονη- 96 ed. B θέντες παρὰ τοῦ βασιλέως. ἀλλὰ τὸ τῆς παροιμίας κἀπὶ τῷ Μιχαὴλ ἐπαληθεύειν ἐφαίνετο· τὸ στρεβλὸν ξύλον οὐδέποτ' ὀρθόν, καὶ ὁ Αἰθίοψ οὐκ οἶδε λευκαίνεσθαι. εἰς ἀποστασίαν γὰρ τοῦ βασιλέως ἐφώρμησε, συμβούλῳ περὶ τὴν σκῆψιν τῷ θείῳ αὐτοῦ τῷ Ἀγγέλῳ Θεοδώρῳ χρησάμενος. ὁ γοῦν βασιλεὺς Ἰωάννης ταῦτα γνοὺς καὶ τὴν αὐτῶν συνωμοσίαν μεμαθηκώς, οὐκ ἄλλους οἰόμενος εἶναι ἐναντίους τῇ τῶν Ῥωμαίων ἀρχῇ μετὰ τὴν τῆς Κωνσταντίνου ἅλωσιν ἀλλ' ἢ τούτους, ἐπειδὴ καὶ ἐκεχειρίαν ἦγεν ἀπὸ τοῦ μέρους τῶν Μουσουλμάνων, ἠρέμουν δὲ καὶ τὰ τῶν Βουλγάρων, ἀξιομάχως καὶ ὡς εἰπεῖν βασιλικῶς παρασκευασάμενος καὶ τὰς δυνάμεις ἁπάσας ὡς ἔδει συντάξας, διαπεραιοῦται τὸν 1252 Ἑλλήσποντον, πολλοὺς μὲν καὶ ἄλλους ἔχων στρατηγούς, τὸν δὲ Ταρχανειώτην Νικηφόρον τὸν ἐπὶ τῆς τραπέζης αὐτοῦ οἷον τὰ τοῦ μεγάλου δομεστίκου διεκπληροῦντα· ἐπανεπαύετο γὰρ αὐτοῦ τοῖς ἤθεσι καὶ εὔνουν αὐτὸν ἐλογίζετο κἀν ταῖς στρατηγίαις, ὡς ἡ πεῖρα μεμαρτύρηκε, δεξιώτατον. 97 ed. B

Καταλαβὼν γοῦν τὴν Θεσσαλονίκην κἀκεῖθεν τὰς δυνάμεις ἀπάρας ἐν τοῖς Βοδηνοῖς ἐστρατοπεδεύσατο. πέφθακε δὲ ὁ Ἄγγελος ἐξ αὐτῶν ἀποδρᾶσαι καὶ εἰς τὸν ἀνεψιὸν αὐτοῦ τὸν δεσπότην Μιχαὴλ ἀπελθεῖν. ὁ μὲν οὖν βασιλεὺς εἰς πολιορκίαν τῶν Βοδηνῶν καταστὰς ἐν οὐ

---

1 φιλοφρονηθέντες] φιλοφρονηθέντος G, -ος corr. in -ες inc. m. A **2** τὸ] τῷ H ‖ κἀπὶ] κἐπὶ H **3** τὸ A om. O ‖ στρεβλὸν] σκαμβὸν U ‖ οὐδέποτ'] οὔποτ' B **5** ἐφώρμησε] ἐφώρμησαν U ‖ περὶ] παρὰ H ‖ σκῆψιν] σκέψιν U nescio an recte **6** αὐτοῦ] αὐτῶν U ‖ χρησάμενος] χρησάμενοι U **7** ταῦτα post γνοὺς pos. H **8** εἶναι ἐναντίους A ἐναντίους εἶναι O ‖ τῇ — **9** ἀρχῇ] τὴν — ἀρχὴν H om. ab **9** μετὰ] πρὸς U ‖ τὴν om. ab **10** τοῦ om. G ‖ τοῦ μέρους om. U **11** τὰ τῶν A τὰ ἐκ τῶν O **12** παρασκευασάμενος] προσκευασάμενος H **13** ἁπάσας om. U **14** ἐλήσποντον H **16** διεκπληροῦντα] ἐκπληροῦντα U **17** ἐπανεπαύετο] ἐπανεπαύσατο G ‖ γὰρ] δὲ B ‖ αὐτοῦ post τοῖς pos. BU **19** γοῦν om. A supra lin. sec. m. add. H **21** Βοδηνοῖς] βοδινοῖς U ‖ πέφθακε] πέφθεικε H **22** ἀποδρᾶναι] ἀποδρᾶσαι A σ ex ν corr. ἀποδρᾶναι O **24** Βοδηνῶν] βοδινῶν U ‖ οὐ om. U

πολλῷ χρόνῳ τὸ τῶν Βοδηνῶν παρεστήσατο ἄστυ, κἀκεῖθεν ἀπάρας ἔν τινι τόπῳ τῇ τοῦ Ὀστροβοῦ ἐγγίζοντι λίμνῃ ἐπήξατο τὰς σκηνάς. καὶ ἐξαποστέλλει στρατηγοὺς κατὰ τῶν χώρων τοῦ δεσπότου Μιχαὴλ τόν τε Στρατηγόπουλον Ἀλέξιον, τὸν Παλαιολόγον Μιχαὴλ τὸν τοῦ μεγάλου δομεστίκου υἱόν, τὸν Μακρηνὸν Ἰωάννην, τὸν Τύραννον Γουδέλλην καὶ ἑτέρους, ἵνα τε ληΐζοιντο τὰ πέριξ καί που εἰ τύχοιεν καὶ στρατεύματος αὐτοῦ εἰς μάχην χωρήσαιεν κατ' αὐτοῦ, καὶ εἴπερ εὐχέρειαν σχοῖεν, καὶ ἄστυ πορθήσαιεν. καὶ οὕτω μὲν ἐκεῖνοι ἐποίουν καὶ προῆγον τῆς τοῦ βασιλέως σκηνῆς ἔμπροσθεν. ὁ δὲ βασιλεὺς προσεκαρτέρει τοῖς τοῦ Ὀστροβοῦ τόποις καὶ ἐβαρυθύμει ἐφ' ᾧ μὴ πέφθακεν ἄξιόν τι ἐργάσασθαι. ἠγανάκτει δὲ καὶ τὸ στράτευμα· ὁ καιρὸς γὰρ ἦν χειμέριος, ἐσπάνιζον δὲ καὶ τῶν χρειωδῶν. ἀλλ' ὁ βασιλεὺς τὸ τοιοῦτον τεθεράπευκεν· ἀπὸ Βερροίας γὰρ ἡμιόνοις καὶ καμήλοις τὰ χρειώδη διεκόμιζεν ἐν τῷ στρατοπέδῳ. οὑτωσὶ δὲ διατεθειμένου τοῦ βασιλέως παρ' ἐλπίδας ἐπιφοιτᾷ τῷ βασιλεῖ πρόσφυξ ὁ ἀπὸ Καστορίας Γλαβᾶς καὶ συνεχῶς ὁ Πετραλίφας Θεόδωρος ὁ ἐπὶ θυγατρὶ γαμβρὸς τοῦ Τορνίκη Δημητρίου τοῦ Κομνηνοῦ, ὃς τὰ κοινὰ συνδιέπων ἦν τῷ βασιλεῖ Ἰωάννῃ, πάνυ παρ' αὐτοῦ φιλούμενος καὶ τιμώμενος· ἀδελφὸν γὰρ αὐτὸν ἐν
98 ed. B. τοῖς γράμμασιν ἀπεκάλει. ἐξ ἀνθρώπων δὲ πρὸ καιροῦ γέγονεν. οἰκονόμος οὖν τῶν κοινῶν οὐκ ἦν ἐν τιμῇ καὶ

---

1 Βοδηνῶν] βοδινῶν U 2 ἐγγίζοντι] ἐγγίζοντο H 3 ἐξαποστέλλει] ἐξαπέστειλε UH 4 Στρατηγόπουλον] στρατηγόπωλον H 6 τὸν Μακρηνὸν AU καὶ τὸν μακρηνὸν O ‖ sec. τὸν] καὶ τὸν U ‖ Γουδέλλην] γουδέλην BU 7 που] ὅπου H 8 τύχοιεν] τύχοιε H ‖ στρατεύματος] στρατεύματα ab ‖ χωρήσαιεν post αὐτοῦ pos. BGHU 10 οὕτω A οὕτως O ‖ προῆγον] προήγοντο H 11 σκηνῆς om. H 15 τεθεράπευκεν] τεθεράπευκε A 17 διατεθειμένου] διατιθεμένου U 18 ἐλπίδας] ἐλπίδα H ‖ ὁ om. B 19 Πετραλίφας] πετραλείφης U πετραλοίφης H 20 Τορνίκη] τουρνίκη U 21 συνδιέπων] διέπων B ‖ πάνυ post αὐτοῦ pos. BU om. H 22 φιλούμενος καὶ τιμώμενος] τιμώμενος καὶ φιλούμενος U 23 ἐκάλει A ἀπεκάλει O ante ἐν pos. H ‖ δὲ A οὖν O 24 κοινῶν] ἐκείνων H ‖ οὐκ ἦν om. H ‖ τιμῇ] τιμῆς U

ὀφφικίου ὀνόματι γνωριζόμενος, τοῖς τυχοῦσι δὲ ἐχρῆτο εἰς ὑπηρεσίαν ὁ βασιλεὺς καὶ γραμματικοῖς ἀνωνύμοις, τῷ Μεσοποταμίτῃ Ἰωσὴφ καὶ τῷ ἐξυπηρετήσαντι αὐτῷ Νικηφόρῳ τῷ Ἀλυάτῃ, ἐν δὲ τοῖς ἐλλογιμωτέροις γράμμασι καὶ ἀξίοις σπουδῆς τῷ Μακρωτῷ Ἰωάννῃ καὶ ἐμοί.

Ὁ μὲν οὖν ῥηθεὶς Πετραλίφας τοῦ Μιχαὴλ γυναικάδελφος ὤν, ἐπεὶ προσέλθοι τῷ βασιλεῖ, πολλῆς εὐθυμίας αὐτόν τε τὸν βασιλέα καὶ τὰ στρατεύματα ἔπλησεν· εὐθὺς γὰρ ἡ Καστορία καὶ ἡ περὶ αὐτὴν ἅπασα χώρα προσερρύη τῷ βασιλεῖ, καὶ αἱ Δεαβόλεις δέ, ἥ τε μικρὰ καὶ μεγάλη, τοῦ βασιλέως ἐγένοντο. καὶ ὁ ἀπὸ τοῦ Ἀλβάνου δὲ Γουλάμος, ἐπεὶ πρὸς τὰ τῆς Καστορίας συνδιῆγε μετὰ τοῦ ἐξ Ἀλβάνου στρατοῦ μέρη, σύζυγον ἔχων τῆς βασιλίδος Εἰρήνης αὐτανεψιὰν πρωτεξαδέλφης αὐτῆς θυγατέρα, λόγοις μειλιχίοις καὶ γράμμασιν ὑποσχέσεων τῶν ὑπὸ τοῦ βασιλέως θελχθεὶς προσήει τῷ βασιλεῖ. φιλοφρόνως γοῦν τοὺς τοιούτους πάντας ὁ βασιλεὺς δεξάμενος πρεπόντως ἐφιλοτιμήσατο. ταῦτα γνοὺς Μιχαὴλ ὁ δεσπότης καὶ ἐν στενῷ κομιδῇ βλέπων τὰ περὶ αὐτὸν τυγχάνοντα πράγματα, κατὰ ῥοῦν δὲ χωροῦντα τῷ βασιλεῖ, πρεσβείαν πρὸς τὸν βασιλέα ἐστείλατο διά τε τοῦ μητροπολίτου Ναυπάκτου τοῦ Ξηροῦ καὶ τοῦ ἐπ' ἀδελφῇ γαμβροῦ αὐτοῦ τοῦ Μαλιασηνοῦ καὶ τοῦ Λαμπέτη, οἳ καὶ εἰς λόγους συνελθόντες τῷ βασιλεῖ ξυμβιβάσεις πεποίηνται. καὶ ἀπέλυσε μὲν πρὸς τὸν βασιλέα ὁ Μιχαὴλ

---

1 ὀφφικίου] ὀφφικίῳ H ‖ ἐχρῆτο A ἐχρᾶτο O 4 Ἀλυάτῃ] Ἀλυάττῃ ab ἀλειάτῃ U 5 ἀξίοις om. U 6 Πετραλίφας] πετραλείφης U πετραλοίφης H 7 προσέλθοι] προσῆλθε UH 8 ἔπλησεν] ἐνέπλησεν U 9 αὐτὴν] αὐτὸν B corr. ab 10 Δεαβόλεις] δεοβόλεις G διάβολεις U ‖ δέ om. U ‖ μεγάλη] ἡ μεγάλη H 11 ἐγένοντο] ἐγένοιτο sec. m. ε del. G ‖ δὲ] ὁ ab ‖ Γουλάμος] γολάμος U γολιάμος H 12 τὰ] τοὺς G τοὺς in τὰ corr. A τὴν H ‖ μετὰ—13 μέρη] μετ' αὐτοῦ σὺν ἀλβανικοῦ στρατοῦ μέρει U 13 μέρη] μέρους H ‖ Εἰρήνης] εἰρήνην B om. U ‖ αὐτανεψιὰν] ἀνεψιὰν A 14 λόγοις μειλιχίοις] λόγῳ μειλιχίας U 18 γνοὺς] γοῦν A 21 ⟨Ἰωάννου⟩ τοῦ Ξηροῦ suppl. ex s? 22 Λαμπέτη A λαμπε^{τ} G λαπέτη H Λαμπέτου O 23 ξυμβιβάσεις A ξυμβάσεις O

τὸ ἄστυ τὸν Πρίλαπον καὶ τὸν Βελεσσὸν καὶ τὸ ἐν τῷ 99 ed. B. Ἀλβάνῳ φρούριον τὰς Κρόας, καὶ προέβησαν πρὸς τοῦ βασιλέως ἔγγραφοι ὅρκοι, καὶ ἀπεστάλησαν πρὸς αὐτὸν καὶ πρέσβεις, ὅ τε Φιλαδελφείας Φωκᾶς καὶ ὁ τῆς αὐλῆς πριμμικήριος Ἰσαάκιος ὁ Δούκας, ὃν καὶ Μούρτζουφλον ἀπεκάλουν, καὶ ὁ Ὑαλέας Μιχαὴλ καὶ αὐτὸς ἐγώ. ἀπῄειμεν οὖν πρὸς τὸν Μιχαήλ, καὶ εὕρομεν τοῦτον ἐν τῇ Λαρίσσῃ, καὶ πεπληρώκαμεν τὰς σπονδάς. καὶ λαβόντες τὸν υἱὸν αὐτοῦ Νικηφόρον, ὃν καὶ δεσπότην ὁ βασιλεὺς διὰ τὴν αὐτοῦ ἐγγόνην τετίμηκεν, ἀλλὰ μὴν καὶ τὸν τοῦ Μιχαὴλ θεῖον τὸν Ἄγγελον Θεόδωρον δεσμώτην, πρὸς τὸν βασιλέα ἐπανεζεύξαμεν ἐν τοῖς Βοδηνοῖς σκηνούμενον. καὶ οὕτω μὲν ἐγεγόνει ταῦτα, καὶ εἰς τοιοῦτον τέλος κατηντήκει τὰ πράγματα. παραχειμάσας οὖν ἐν τοῖς Βοδηνοῖς ὁ βασιλεὺς 1253 ἦρος ὥρᾳ, ἐπεὶ καὶ τὴν ἀναστάσιμον ἑωρτάκει ἡμέραν, τὰ στρατόπεδα αὐτοῦ που καταλελοιπὼς καὶ εἰς ἡγεμόνας αὐτῶν τάξας τόν τε πρωτοβεστιάριον Ἀλέξιον τὸν Ῥαούλ, γαμβρὸν ὄντα ἐπ' ἀδελφόπαιδι τοῦ βασιλέως, καὶ τὸν Κομνηνὸν Μιχαὴλ τὸν Παλαιολόγον, μετὰ μετρίου στρατεύματος εἰς θέαν τῶν προσφάτως ἐπιγεγενημένων τούτῳ χώρων ἀφίκετο. καὶ ἀπῆλθε μὲν εἰς Ἀχρίδα, ἐπιδεδημήκει δὲ εἰς Δεάβολιν κἀκεῖθεν εἰς Καστορίαν. καὶ τῇ τῆς ὀπώρας ὥρᾳ συσκευασάμενος τὰ στρατεύματα τῆς εἰς ἕω φερούσης ἐφήψατο.

Ephraem. ed. B. v. 8730 50. Παραμείψας γοῦν τὴν Θεσσαλονίκην καὶ τὴν Βισαλτίαν διαβάς, ἐς Φιλίππους ἐπήξατο τὴν σκηνὴν

---

1 Βελεσσὸν] βελεσὸν BU ‖ sec. τὸ] τὰ H 2 τὰς sec. m. add. H 4 Φιλαδελφείας] φιλαδελφίας Uab 6 ἀπῄειμεν] ἀπίημεν U 7 οὖν A γοῦν O ‖ πρὸς Aab εἰς U ἐς O 10 αὐτοῦ ἐγγόνην] ἐκγόνην αὐτοῦ U 11 Θεόδωρον δεσμώτην] δεσπότην U 12 Βοδηνοῖς] βοδινοῖς U 13 τοιοῦτον] τοιοῦτο ab 14 Βοδηνοῖς] βοδινοῖς U 15 ἑωρτάκει] ἡορτάκει U 16 ἡγεμόνας] ἡγεμόνα B 17 τε om. H 19 post στρατεύματος add. αὐτὸς U 20 προσφάτως] προσφάτων U ‖ χώρων] χωρῶν U 21 Ἀχρίδα ABU ἀχρίδαν FG 22 εἰς AFU ἐς BG ‖ Δεάβολιν] διάβολιν BU corr. ab διάβολην F 23 εἰς om. U 24 ἐφήψατο] ἥψατο F 25 γοῦν] οὖν ab 26 Βισαλτίαν διαβάς] βισαλτίαν, διαβὰς Uab ‖ ἐς] εἰς U

λόγου πέρι, ὡς ἐδόκει τούτῳ, οὐχὶ σμικροῦ. ὁ γὰρ ἐκ τοῦ 100 ed. B. Μελενίκου Μαγκλαβίτης Νικόλαος κατεῖπε πρὸς τὸν βασιλέα τοῦ Παλαιολόγου Μιχαὴλ τοῦ προρρηθέντος υἱοῦ τοῦ με- Georg. Pach. ed. B. I 21 γάλου δομεστίκου, ὅτε ἦν ἐν τοῖς Βοδηνοῖς· ἐπεὶ δὲ οὐκ ἦν καιρὸς τοιούτων πραγμάτων ἐρεύνης ἀλλ' ἐκστρατείας καὶ μάχης, ἐταμιεύετο τῷ βασιλεῖ τὰ τῆς ὑποθέσεως ἐς ὥραν Nic. Greg. ed. B. I 49 εὔθετον. τότε γοῦν εἰς ἐξέτασιν τῶν τοιούτων ἐγεγόνει ὁ βασιλεύς, καὶ δικαστήριον ἔστησε καὶ κριτὰς ἐκάθισε καὶ λαμπρὸν κριτήριον συνεκρότησεν. ἡ δ' ὑπόθεσις ἦν τοιαύτη. ἐπεὶ ἐτελεύτησεν ὁ Τορνίκης Δημήτριος, ἔτι δὲ περιῆν ἐν Θεσσαλονίκῃ ὁ μέγας δομέστικος, ὁ δὲ τούτου υἱὸς Μιχαὴλ ἐς Μελενίκον καὶ Σέρρας, ὃς καὶ μαθὼν τὸν τοῦ Τορνίκη θάνατον ἐδυσφόρησε καὶ σκυθρωπὸς τοῖς ἐντυγχάνουσιν ἐπεφαίνετο· ἦν γὰρ ὁ Τορνίκης σύζυγον ἔχων τοῦ μεγάλου δομεστίκου πρωτεξαδέλφην. οἷα γοῦν φιλεῖ ἐπὶ τοῖς τοιούτοις γίνεσθαι, ἠρωτήκει τις τῶν ἐκ Μελενίκου [τοὔνομα] θάτερόν τινα [καλούμενον], ὅτου χάριν σκυθρωπάζει ὁ Κομνηνὸς Μιχαήλ. ὁ δέ — καὶ γὰρ ἠπίστατο 101 ed. B. τὴν αἰτίαν — 'ὁ Τορνίκης' ἔφη 'Δημήτριος τέθνηκεν· ἦν δὲ προσγενὴς αὐτοῦ καὶ οἰκονόμος τῶν κοινῶν· καὶ τούτου γοῦν χάριν κἀκείνου λελύπηται.' ὁ δὲ 'οὔ μοι δοκεῖ' φησιν· 'οὐδὲ γὰρ διὰ Τορνίκην οὕτως ἂν ἠδημόνει καὶ ἤσχαλλεν· ἀλλ' ὡς ἔοικεν ἐπὶ τῷ κρείττονι ἐκείνου

---

1 τοῦ om. F 3 υἱοῦ] υἱὸν F 4 Βοδηνοῖς] βοδινοῖς U 5 ἐκστρατείας] ἐκ τῆς στρατείας U 6 ἐς] εἰς U ἕως ab 7 γοῦν om. U ‖ τῶν τοιούτων om. U 8 κριτὰς] κρίτας Uab 12 Μελενίκον] μελινίκον G Μελένικον ab 13 τοῦ om. F ‖ Τορνίκη] τουρνίκη U 14 Τορνίκης] τορνίκιος F 15 γοῦν om. U 16 ἐπὶ] ἐν U ‖ τις] τίς ABUG ‖ Μελενίκου] μελινίκου G 17 τοὔνομα ABG om. F, post θάτερον pos. U ‖ θάτερον] θᾶτερ U, nom. propr. scriba voluit ‖ τινα om. U ‖ καλούμενον om. F 18 ἠπίστατο] ἐπίστατο Ua 19 Τορνίκης] τορνίκιος F ‖ Τορνίκης post ἔφη et Δημήτριος ante ἔφη pos. U 20 καὶ οἰκονόμος τῶν κοινῶν om. G ‖ καὶ] καὶ ὁ A ‖ καὶ τούτου] τούτου U 21 γοῦν] δὴ FH om. U ‖ κἀκείνου] ἐκεῖθεν U ‖ μοι] μὴ a 22 διὰ] διὰ τὸν U ‖ Τορνίκην] τορνί F 23 ἤσχαλλεν AFGab ἤσχαλεν BHU ‖ ἀλλ' ὡς] ἄλλως B corr. ab ‖ ἐπὶ τῷ] ἐπί τῳ? an imperatorem intellegi voluit scriptor? vid. ind. s. v. κρείττων

τοῦτο συμβέβηκε. καὶ εἰ τοῦτο, φεῦ ἡμῖν· ἐν γὰρ ταραχαῖς καὶ ὀχλήσεσιν αὖθις γενήσονται τὰ ἡμέτερα, κατεστορεσμένα νῦν καλῶς καὶ εἰς ἀταραξίαν ἐληλυθότα.' εἶθ' οὗτος 'ἀλλ' ὦ φίλος, καὶ εἰ τοιοῦτόν τι ξυνέβη, καὶ οὕτω δὴ οὐ κακῶς τὰ καθ' ἡμᾶς ἕξουσι. καὶ γὰρ ὁ μέγας δομέστικος ἐν Θεσσαλονίκῃ διάγει ἡγεμονεύων αὐτῆς, καὶ οὑτοσὶ δὲ ὁ Κομνηνὸς Μιχαὴλ ὁ τούτου υἱὸς τὴν τῶν ἡμετέρων χώρων διεξάγει κηδεμονίαν. ὑπὸ τοιούτων γοῦν μεγίστων ἀνδρῶν κυβερνώμενοι οὐκ ἄν ποτε κοσμικὸν κλυδώνιον ἴδοιμεν· ἄλλως τε καὶ ἡ τοῦ βουλγαράρχου Καλιμάνου ἀδελφὴ Θάμαρ, ἄζυξ ἔτι τελοῦσα, εἰς γάμου κοινωνίαν συνέλθῃ τῷ Κομνηνῷ Μιχαήλ, καὶ γενήσονται σπονδαὶ μέσον ἡμῶν καὶ Βουλγάρων.' ταῦτα δὴ λελάληνται παρ' αὐτῶν μηδὲν εἰδότος τοῦ Κομνηνοῦ Μιχαήλ.

Θάτερος οὖν τοῖν δυοῖν ἀπελθὼν πρὸς τὸν εἰρημένον Μαγκλαβίτην ἀνήγγειλεν αὐτῷ τὰ τοιαῦτα, ὁ δὲ ἀνήνεγκε τῷ βασιλεῖ. κατασχεθέντες οὖν καὶ ἄμφω ἠρώτηνται περὶ τῶν λελεγμένων. ὁ μὲν οὖν κατηγόρει, θάτερος δὲ ὑπεραπελογεῖτο. ἔφησεν οὖν ὡς 'ἀληθῶς μὲν οὑτοσὶ εἰρήκει, παρ' ἐμοῦ
102 ed. B. *γὰρ ἀκήκοεν· ἀλλ' οὐκ εἰδήσει μοι εἴρηται τοῦ Κομνηνοῦ,*

---

1 *εἰ*] *εἰς* U 2 *ὀχλήσεσιν αὖθις*] *ὀχλήσεσι* A 3 *ἀταραξίαν*] *εὐταξίαν* in ras. U ‖ *εἶθ'* A *ἦν δ'* sec. m. *ν* add. F *ἡ δ'* O 4 *εἰ* om. A *τοιοῦτόν*] *τοιοῦτό* F *τι* om. ab ‖ *ξυνέβη*] *ξυμβέβηκε* FH 6 *διάγει ἡγεμονεύων*] *διάγων ἡγεμόνευεν* H 7 *Κομνηνὸς* post *Μιχαὴλ* pos. F 8 *διεξάγει*] *διάγει* H ‖ *γοῦν*] *οὖν* FH 9 *κυβερνώμενοι*] *διακυβερνώμενοι* BU 10 *βουλγαράρχου*] *βουλγάρου* BU ‖ *Καλιμάνου* A *καλλιμάνου* O post *ἀδελφὴ* pos. U 11 *Θάμαρ*] *ἡ θάμαρ* U. 12 *συνέλθῃ* F *η* ex *οι* pr. m. A *ξυνέλθῃ* Hab *συνέλθοι* GU *ξυνέλθοι* B 13 post *μέσον* add. *τε* BFGH ‖ *ταῦτα δὴ*] *ταῦτα μὲν δὴ* B *αὐταδὴ* U 14 *εἰδότος*] *εἰδότες* H 15 post *δυοῖν* lacuna circ. 12 litter. G ‖ *ἀπελθὼν*] *ἐπελθὼν* ab 16 *ἀνήγγειλεν αὐτῷ*] *ἀνήγγειλε* U ‖ *ἀνήνεγκε*] *ἀνήγγειλε* U 17 *κατασχεθέντες*] *κατασχεθέντος* H ‖ *καὶ* om. H ‖ *λελεγμένων*] *λεγομένων* AU 18 *ὑπεραπελογεῖτο*] *ὑπεραπολογεῖτο* FHUa 19 *ἔφησεν*] *ἔφησε μὲν* FHU ‖ *οὖν* om. U ‖ *μὲν* om. FHU ‖ *οὑτοσὶ*] *οὑτωσὶ* AU ‖ *εἰρήκει*] *εἰρήκειν* A 20 *εἰδήσει* corr. in *ἐν εἰδήσει* inc. m. F ‖ post *Κομνηνοῦ* add. *μιχαὴλ* U

ἀλλ' ἐξ ἑαυτοῦ τοὺς λόγους τούτους προήνεγκα.' ἠναγκάζετο γοῦν περὶ τούτου, ὁ δὲ ἠρνεῖτο καθάπαξ μὴ εἰδέναι τι περὶ τούτου τὸ σύνολον τὸν Κομνηνὸν Μιχαήλ· ὁ δὲ κατηγορῶν ἔφασκε συνειδέναι ταῦτα τὸν Κομνηνὸν Μιχαήλ. ἐντεῦθεν ηὐτρέπιστο τούτοις στρατιωτική τις ἀπόδειξις, ἐπεὶ μὴ ὑπῆρχον οἱ μαρτυροῦντες, ἡ διὰ μάχης διάπειρα. ὡπλίσθησαν οὖν καὶ ἄμφω, εἰσῆλθον εἰς τὸ στάδιον, ξυνέβαλον ἀλλήλοις, καὶ νενίκηται ὁ κατηγορούμενος ἀπερρίφη τε τοῦ ἵππου, καὶ τὴν νικῶσαν ὁ κατήγορος ἔσχηκε. συλληφθεὶς οὖν ζωός — οὐδὲ γὰρ καιρίαν τέτρωται — καὶ αὖθις ἠρώτηται, ὡς ἂν καθομολογήσειε τὴν ἀλήθειαν. ὁ δὲ τοῦ προτέρου λόγου ἀντείχετο καὶ μηδ' ὅλως εἰδέναι τι τὸν Κομνηνὸν διεμαρτύρετο Μιχαήλ. ἐπεὶ δὲ διὰ πλείονος βασάνου ἔδοξεν ἐπιγνῶναι τὸν βασιλέα τὸ ἀληθές, οἷος ἐκεῖνος τὰς ἐξετάσεις ἀκριβεστέρας ποιούμενος, τὸν διὰ θανάτου ἐπήγαγε τῷ ἀνδρὶ ἔλεγχον. ἐδέδεντο γοῦν αἱ χεῖρες ὄπισθεν τοῦ καταδικασθέντος ξίφους ἔργον γενέσθαι, οἱ δ' ὀφθαλμοὶ λινῷ ὑφάσματι ἐκαλύφθησαν· οὕτω γὰρ εἴωθε τοὺς κατακρίτους διασκευάζεσθαι καὶ τὴν πληγὴν λαμβάνειν τῆς ἀναιρέσεως. ὡς γοῦν καὶ ταῦτα οὑτωσὶ γένοιτο καὶ ὁ δεσμώτης κλῖναι τὸν αὐχένα προστέτακται, ἵνα δέξηται τῆς κάρας τὴν ἐκτομήν, καὶ πάλιν περὶ τῶν ζητουμένων ἠρώτηται. ὁ δὲ μεθ' ὅρκων φρικωδεστάτων διεβεβαιώσατο

---

1 ἑαυτοῦ] αὐτοῦ FH ἐμαυτοῦ U || τούτους om. H 2 γοῦν] δὲ H 3 τι om. FH || περὶ] παρὰ H || τὸ σύνολον om. U || ὁ δὲ — 4 Μιχαήλ om. Hab 5 στρατιωτική] στρατηγική U 6 διάπειρα] πεῖρα FH 7 οὖν] γοῦν U || ξυνέβαλον HUab ξυνέβαλλον ABG συνέβαλλον F 9 ἔσχηκε] ἔσχηκεν GHab 10 οὐδὲ] οὐ H || γὰρ om. H 11 ἠρώτηται] ἠρώτησαι U 12 καὶ om. U || εἰδέναι] εἶναι F 13 διεμαρτύρετο] διεμαρτύρατο FHU || Μιχαὴλ ante διεμαρτύρατο pos. U || διὰ θανάτου] δι' ἀθανάτου B corr. ab διὰ θάνατον G 16 τῷ] τῶν A 18 ὑφάσματι] καλύμματι U 19 διασκευάζεσθαι] διασκευάσασθαι H 20 καὶ ταῦτα] ταῦτα U 21 γένοιτο] ἐγένετο H || ὁ om. AH 22 τὴν ἐκτομήν] ἐπιτομὴν U || καὶ om. U || περὶ] παρὰ F 23 ζητουμένων] εἰρημένων U || φρικωδεστάτων] φρικτῶν BU || διεβεβαιώσατο A ἐβεβαιώσατο O

μηδέν τι ὅλως συνειδέναι ἐπὶ τούτοις τὸν Κομνηνὸν Μιχαήλ. ἐκεῖνος μὲν οὖν τὴν πρὸς θάνατον ειάθη ὁδεῦσαι,
103 ed. B. *τὴν δὲ πρὸς εἱρκτὴν ἐβάδισε, καὶ εἶχον αὐτὸν κλοιοὶ καὶ κάθειρξις· ἡ ἐξέτασις δὲ πᾶσα πρὸς τὸν Κομνηνὸν κατήντηκε Μιχαήλ.*

Καὶ δὴ ἔφασκον αὐτῷ οἵ τάχα κρίνειν τοῦτον λαχόντες ὡς 'ἐπεὶ περὶ σοῦ ἀπειρημένοι τινὲς λελάληνται λόγοι, δεῖ σὲ διά τινος θαυματοποιίας τούτους ἀποσκευάσασθαι.' τὸ δὲ ἦν ἡ διὰ μύδρου ἀπόδειξις. ὁ δὲ — καὶ γὰρ εἶχε βοηθοῦσαν αὐτῷ τὴν ἀλήθειαν — 'εἰ μέν τις ἦν' ἔλεγεν 'ὁ κατ' ἐμοῦ τι κατηγορῶν, πρὸς ἐκεῖνον ἂν ἐμαχεσάμην καὶ ἀπέδειξα ψεύδεσθαι· κατηγόρου δὲ μὴ παρόντος ὑπὲρ τίνος κρίνομαι; εἰ δὲ θαυματουργῆσαί με θέλετε, ἀλλ' ἐγὼ οὐκ εἰμὶ τοιοῦτος ὥστε καὶ τερατοποιίας ἐργάζεσθαι. σίδηρος δὲ πεπυρακτωμένος, εἰ ἐν χειρὶ ἀνθρώπου ζωοῦ ὄντος ἐμπέσοι, οὐκ οἶδα πῶς ἂν οὐ καύσειεν αὐτήν, εἰ μή πού τις ἔξεσται τῷ Φειδίᾳ ἐκ λίθου ἢ τῷ Πραξιτέλει ἢ καὶ ἀπὸ χαλκοῦ εἴργασται.' ταῦτ' ἔλεγε καὶ μάλα νὴ τὴν Θέμιν δικαίως. ἐπεὶ δὲ καὶ ὁ τῆς Φιλαδελφέων μητροπολίτης Φωκᾶς συμπαρῆν τοῖς γινομένοις, φιλούμενος πρὸς τοῦ βασιλέως καὶ πάνυ φιλοφρονούμενος — πέπονθε δὲ τοῦτο οὐκ ἐξ ἀρετῆς ἀλλ' ἐξ ἀναιδείας· καὶ γάρ ποτε τοῦ βασιλέως πυθομένου περί τινος τῶν κοινῶν πραγμάτων ἐπαρρησιάσατο καὶ 'ὦ βασιλεῦ,' ἔφη, 'τίνος χάριν ἀρτίως ἡμᾶς

---

1 *συνειδέναι*] *συνιέναι* A 2 *οὖν* U om. O ‖ *ειάθη*] *ᾤετο* U *ᾠήθη* coni. b ‖ *ὁδεῦσαι*] *ὁδεύσειν* U 3 *τὴν*] *ὁ* F ‖ *εἱρκτὴν*] *τὴν εἱρκτὴν* U *εἱρκτὴν* Hab ‖ *ἐβάδισε*] *ἐβάδιζε* U ‖ *κλοιοὶ*] *κλειοὶ* U 4 *κάθειρξις*] *καθείρξεις* BU 6 *αὐτῷ οἵ*] *αὐτὸν εἰ* U ‖ *τοῦτον* om. A 7 *τινὲς* om. A 8 *θαυματοποιίας*] *θαυμαστοποιίας* A 9 *ἡ* om. U ‖ *διὰ μύδρου*] *δι' ἀμύδρου* A ‖ *εἶχε*] *εἶχεν* Hab 11 *τι* om. U ‖ *ἐμαχεσάμην*] *ἐμαχησάμην* H 12 *ψεύδεσθαι*] *ψεύσασθαι* H *ψεύσασθαι* (supra: *δεσ*) pr. m. B 14 *οὐκ εἰμὶ* post *τοιοῦτος* pos. U 15 *χειρὶ* A *χερὶ* O ‖ *ὄντος*] *οὗτος* B *οὗτος* Hab 16 *ἐμπέσοι*] *ἐμπέσει* FH ‖ *οὐκ οἶδα — αὐτήν* marg. super. praeciso om. U ‖ *πού*] *πω* U 17 *λίθου*] *λίθων* U 19 *Φιλαδελφέων*] *φιλαδελφίας* U 20 *γινομένοις*] *γενομένοις* ab *λεγομένοις καὶ γενομένοις* F *λεγομένοις* H 24 *ὦ βασιλεῦ*] *ὁ βασιλεὺς* B corr. ab

ἐρωτᾷς, αὐτὸς ἀεὶ ἐξ ἑαυτοῦ τὰ δοκοῦντά σοι διαπραττόμενος;' ταῦτ' εἶπε, καὶ τότε μὲν ὁ βασιλεὺς ἐσχετλίασε καί γε εἰρήκει πρὸς τοὺς συμπαρισταμένους· 'τί οὕτω θρασύτερον ὁ μητροπολίτης εἴρηκεν, ὑμεῖς δὲ ἠνέσχεσθε;' μετὰ βραχὺ δὲ φιλοφρόνως τοῦτον ἐδεξιώσατο καὶ ἐτίμα καὶ σύμβουλον εἶχεν ἐν ταῖς κοσμικαῖς ὑποθέσεσιν. ὑποδρηστῆρι οὖν καὶ τότε ἐχρήσατο τούτῳ ὁ βασιλεύς. καί γε καταμόνας τὸν 104 ed. B *Κομνηνὸν παραλαβὼν Μιχαήλ, κἀμοῦ τῶν λόγων ἀκροωμένου, ταῦτ' εἶπεν ὡς 'εὐγενὴς μὲν ἀνὴρ σὺ καὶ ἐξ εὐγενῶν γεγέννησαι. δεῖ οὖν σε τὸ δέον ὑπὲρ τῆς σῆς ὑπολήψεώς τε καὶ πίστεως καὶ παντός σοι τοῦ γένους καὶ νοῆσαι καὶ διαπράξασθαι. ἐπεὶ δὲ οὐκ ἔλεγχος παρὰ μαρτύρων ἐν σοί, δεῖ σε τῷ μύδρῳ τὴν ἀλήθειαν παραστήσασθαι.' καὶ ὃς μάλα γενναίως καὶ ἀνδρικῶς, καὶ ὥς ἄν τινα οἱ γραφεῖς ἐν μάχῃ ἄτρεστον διαγράψαιεν, 'οὐκ οἶδ' ὅπως τὸ τοιοῦτον κέκληται ἅγιον, ὦ δέσποτα' ἔφη· 'ἀλλ' ἐγὼ μὲν ἁμαρτωλός εἰμι ἄνθρωπος καὶ τερατουργεῖν τοιαῦτα οὐ δύναμαι. εἰ δέ μοι συμβουλεύῃ μητροπολίτης ὢν καὶ θεοῦ ἄνθρωπος τουτὶ διαπράξασθαι, ἔνδυσαι μὲν αὐτὸς τὴν ἱεράν σου πᾶσαν στολήν, καθὼς εἴωθας ἐν τῷ θείῳ εἰσέρχεσθαι βήματι καὶ ἐντυγχάνειν θεῷ· εἶτα δὴ ταῖς σαῖς χερσὶν ἐκπύρωσόν μοι τὸν σίδηρον, αἷς τοῦ θείου ἐφάπτῃ θύματος, τοῦ σώματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ὑπὲρ παντὸς τοῦ κόσμου τεθυμένου καὶ ἀεὶ θυομένου παρ' ὑμῶν τῶν ἱερέων τε καὶ ἱεραρχῶν, καὶ ταύταις δὴ ταῖς ἱεραῖς σου χερσὶν ἐπίθες τῇ χειρί μου τὸν*

---

1 *ἐξ ἑαυτοῦ*] *ἐκ σεαυτοῦ* BU corr. ab ‖ *σοι* om. U 2 *ἐσχετλίασε*] *ἐσχετλίασεν* Hab 3 *συμπαρισταμένους*] *παρισταμένους* HU 5 *ἐτίμα*] *ἔτι* U 6 *οὖν* A *γοῦν* O 7 *τούτῳ* post *βασιλεὺς* pos. U 8 *ἀκροωμένου*] *ἀκρουομένου* H 9 *καὶ* om. A 10 *γεγέννησαι*] *γεγένησαι* AHab 11 *-λήψεώς — γένους καὶ* marg. praec. om. U 12 *δὲ*] *δ'* U 13 *δεῖ σε*] *δε σῖσε* B corr. ab ‖ *τῷ — ἀλήθειαν*] *τὸν ἔλεγχον* U 15 *ἄτρεστον*] *ἄτριστον* H 16 *τοιοῦτον*] *τοιοῦτο* F 18 *συμβουλεύῃ*] *συσυμβουλεύῃ* H *συμβουλεύεις* U 19 *μὲν* post *αὐτὸς* pos. U 20 *πᾶσαν* om. U 21 *εἰσέρχεσθαι* post *βήματι* pos. U 23 *θύματος, τοῦ* om. U ‖ *κυρίου*] *κυροῦ* U 25 *ἱεραρχῶν*] *ἀρχιερέων* U ‖ *ταύταις*] *αὐταῖς* corr. in *ταύταις* H

σίδηρον, καὶ τεθάρρηκα εἰς τὸν δεσπότην Χριστόν, ὡς πᾶσαν μὲν οὗτος ἁμαρτίαν μου παροράσεται, θαυματουργήσειε δὲ τὴν ἀλήθειαν.' καὶ ὁ μὲν Κομνηνὸς Μιχαὴλ οὕτως εἴρηκεν, ὁ δὲ μητροπολίτης 'ὦ καλὲ νεανία,' ἔφη, 'τοῦτο οὐκ ἔστι τῆς ἡμετέρας καὶ Ῥωμαϊκῆς καταστάσεως, ἀλλ' οὔτε τῆς ἐκκλησιαστικῆς παραδόσεως, οὔτε μὴν ἐκ τῶν
105 ed. B. νόμων οὔτε δὴ πρότερον ἐκ τῶν ἱερῶν καὶ θείων κανόνων παρείληπται. βαρβαρικὸς δὲ ὁ τρόπος καὶ ἀγνὼς ἐν ἡμῖν, προσταγῇ δὲ μόνον ἐνεργεῖται βασιλικῇ.' καὶ ὃς 'ὦ μέγιστε ἱεράρχα θεοῦ, εἰ μὲν καὶ αὐτὸς ἐκ βαρβάρων γεγέννημαι καὶ βαρβαρικοῖς τοῖς ἤθεσιν ἀνατέθραμμαι ἢ καὶ νόμοις τουτοισὶν ἐκπεπαίδευμαι, καὶ βαρβαρικῶς ἐκτισαίμην τὴν δίκην μου· εἰ δὲ Ῥωμαῖος καὶ ἐκ Ῥωμαίων, κατὰ νόμους Ῥωμαϊκοὺς καὶ παραδόσεις ἐγγράφους ἡ κρίσις τερματωθήτω μοι.'

Ἐκεῖνος μὲν οὖν τοῖς λόγοις οἷον τοῦ νεανίου ἐκπεπληγμένος — εἰκοστὸν γὰρ καὶ ἕβδομον διήνυεν ἔτος ὁ Κομνηνὸς Μιχαὴλ — καὶ τῷ μὴ ἐν συμφοραῖς τούτου ὄντος τὸ εὐγενὲς τοῦ φρονήματος καταπίπτειν μηδὲ τὸ τῶν νοημάτων ὑποχαλᾶν εὐεπήβολον, πρὸς τὸν βασιλέα ἐλθὼν ὅσα μὲν οὖν εἶπεν ἐκεῖνος αὐτὸς μὲν οὐκ οἶδα, πάντως δὲ ταῦτ' ἔμελλε λέξαι ὅσα τε καὶ οἷα ἤκουσεν. ὁ μὲν οὖν βασιλεὺς διάπειραν πολλὴν πεποιηκὼς οὐχ εὗρε κατά τι τὸν

---

2 παροράσεται] παροράσηται H ‖ θαυματουργήσειε] θαυματουργήσει ab **4** ὦ] καὶ ὦ U **5** καταστάσεως om. U **6** παραδόσεως] καταστάσεως in ras. U ‖ οὔτε — **7** πρότερον marg. praec. om. U **8** παρείληπται] παρελάβομεν H ‖ βαρβαρικὸς] βαρβαρικῶς F βαρβαρισμὸς H ‖ ἀγνὼς] ἀγνὸς HU ο corr. in ω sec. m. G ‖ ἐν ἡμῖν — **10** εἰ μὲν om. F **10** θεοῦ] ἔφη θεοῦ U ‖ καὶ αὐτὸς] sec. m. del. et in marg. add. καὶ ὁ μιχαὴλ 'εἰ μὲν οὖν καὶ αὐτὸς ὦ δέσποτα F ‖ γεγέννημαι] γεγένημαι FHab **11** τοῖς om. FHU ‖ ἤθεσιν om. U ‖ ἢ καὶ om. U **12** τουτοισὶν] τισὶν H τισὶ καὶ U ‖ ἐκτισαίμην] τισαίμην U **14** τερματωθήτω] τερματισθήτω ab **15** τοῦ] ἐκ τοῦ H ‖ νεανίου] νεανίσκου U **16** καὶ ἕβδομον] ἕβδομον FH ‖ διήνυεν] ἤνυεν A **17** τῷ] τὸ AH **19** νοημάτων] ναμάτων F ὀνομάτων H ‖ ὑποχαλᾶν] χαλᾶν BU ‖ εὐεπήβολον] εὐεπίβολον F εὐεπήβουλον H **20** οὖν om. U ‖ αὐτὸς μὲν] αὐτὸς BU **21** ἔμελλε] ἔμελε B corr. ab **22** διάπειραν] ἀπόπειραν U

Κομνηνὸν Μιχαὴλ ὑπαίτιον ὄντα, καὶ ταῦτα καὶ τὸν ἀναίτιον εἰς αἰτίαν ἄγων τῇ βίᾳ ἢ τῶν λόγων ἢ τῶν μαστίγων. πάντες γὰρ ἀπεφαίνοντο οἵ τε τῶν Λατίνων οἵ τε τῶν Ῥωμαίων, καὶ μάλιστα τῶν Λατίνων, ἐπεί γε οὗτοι ἐλευθερωτέρᾳ χρῶνται πρὸς τοὺς δεσπότας τῇ γλώττῃ, ἀθῷον εἶναι ἐπὶ πᾶσι τὸν Κομνηνὸν Μιχαήλ· ἤκουσα δὲ καὶ αὐτὸς ἐπὶ τῇ κρίσει παρών, καὶ σὺν ἐμοὶ ὁ Μακρωτὸς Ἰωάννης, τάχα καὶ ἡμεῖς συναριθμούμενοι τοῖς κρίνουσι πρὸς τοῦ βασιλέως, ὡς ξύλων ἄν τινες μηδὲν διαφέροντες ἐνταῦθ' ἵστανται. ἐβούλετο γὰρ πάντας κατ' αὐτοῦ συμψηφίζεσθαι, ἡμῖν δὲ οὐκ ἦν λόγος, ἄνευ λόγου τοῦ Κομνηνοῦ Μιχαὴλ κρινομένου. ἐφιλεῖτο γὰρ — φίλη γε ἡ ἀλήθεια 106 ed. B — οὐ πρὸς ἡμῶν καὶ μόνον, ἀλλὰ καὶ πρὸς παντὸς τῶν τε ἐν τέλει τῶν τε στρατηγῶν τῶν τε στρατιωτῶν καὶ αὐτῶν τῶν τῆς ξύγκλυδος· τοῖς τε γὰρ νεάζουσιν ἡδὺς ἦν καὶ προσηνὴς ὁμιλῶν καὶ χαρίεις ἐν λόγοις καὶ ἐν ἐπιτηδεύμασι δεξιώτατος, τοῖς τε γέρουσι γηραιὸς ἐδόκει τὸν λόγον τε καὶ τὴν σύνεσιν, καὶ ἀσπάσιος αὐτοῖς ἐνομίζετο. καὶ ταῦτ' οὖν, ὡς οἶμαι, γέγονεν ἐπ' αὐτῷ δοκιμασίᾳ τοῦ κρείττονος· ἐπεὶ γὰρ εἰς τὴν βασίλειαν ἔμελλε θεὸς ἀναβιβάσαι τοῦτον περιωπήν, τῷ τῶν βασάνων πυρὶ καὶ τῷ διὰ πείρας χωνευτηρίῳ δεδοκίμακεν, ἵνα μὴ εἰς τὸν βασίλειον ἀναβὰς θρόνον ῥᾷον ἔχῃ πιστεύειν διαβολαῖς καὶ συκοφαντίαις μήτε θᾶττον τὰς ἀποφάσεις ποιεῖν ἐπ' ἐξουσίᾳ τοῦ

---

1 ὑπαίτιον A ὑπ' αἰτίαν O ‖ καὶ — 2 μαστίγων om. U

5 ἐλευθερωτέρᾳ A ἐλευθερῶ$^{\text{τρ}}$ G ἐλευθερώτερον O ‖ πρὸς τοὺς δεσπότας post γλώττῃ pos. BU 7 αὐτὸς] αὐτὸς ἐγὼ U ‖ Μακρωτὸς] μακροτὸς BF corr. ab 9 πρὸς] πρὸ U ‖ ὡς — 10 ἵστανται om. U 9 ξύλων] ξύλον FH 10 ἐβούλετο — συμψηφίζεσθαι om. H 11 λόγου om. U ‖ Κομνηνοῦ post Μιχαὴλ pos. ab 12 φίλη γε ἡ] ἡ φίλη A 13 καὶ μόνον] μόνον A 14 τε om. BU 15 ξύγκλυδος] σύγκλιδος HU ‖ τοῖς τε] τοῖς U 16 ἐπιτηδεύμασι] ἐπιτηδεύσασι H 17 ἐδόκει om. H 19 ταῦτ'] ταῦτα U ‖ δοκιμασίᾳ] ἐπιδοκιμασίᾳ H 20 ἔμελλε] ἔμελε B corr. ab ἔμελλεν ante εἰς pos. U ‖ θεὸς om. U 21 διὰ πείρας] διαπείρας FH 22 δεδοκίμακεν] δεδοκίκαμεν U ‖ εἰς] ἐς BG corr. ab 23 ἔχῃ AU ἔχοι BGH ἔχειν F

πράττειν τὰ βουλητέα γεγενημένος. οὐ μὴν ἀλλὰ καὶ ἐν ἄλλοις πολλοῖς κατεξήτασεν, ὡς προϊὼν ὁ τῆς ἱστορίας λόγος δηλώσειεν. ἐπὶ δὲ τέλει τῆς ὑποθέσεως ταυτησὶν ἦν ὁ βασιλεὺς εἰρηκώς, κἀμοῦ τῶν λόγων ἀκροωμένου· ʻαἶ ἐλεεινὸν οἵας δόξης ἐξέπεσες.ʼ τὸ δὲ ἦν ὅτιπερ πρὸς βουλήσεως ἦν τῷ βασιλεῖ τὴν ἐγγόνην αὐτοῦ, τὴν πρώτην θυγατέρα τοῦ υἱοῦ αὐτοῦ τοῦ βασιλέως Θεοδώρου τὴν Εἰρήνην, ἐπιδοῦναι τῷ Κομνηνῷ Μιχαὴλ εἰς ὁμόκοιτιν. ἦν δὲ αὕτη πρὸς τὸν Μιχαὴλ ἀνεψιά, δευτερεξαδέλφου θυγάτηρ· ἀλλὰ τοῦτο καὶ ἐπὶ τῷ βασιλεῖ Ἰωάννῃ ἐγένετο καὶ ἐν πλείοσιν ἄλλοις, καὶ εἴωθε τὰ τοιαῦτα οὕτω πως ξυμβαίνειν· κἂν γὰρ τῇ ἐκκλησίᾳ κεκώλυται, ἀλλὰ τοῖς βασιλεῦσιν ἐφεῖται τῆς κοινῆς προμηθείας χάριν καὶ τοῦ συμφέροντος.

107 ed. B. 51. *Ὁ μὲν οὖν βασιλεὺς οὑτωσὶ τὰ τῆς ὑποθέσεως*
1253 *διαλύσας εἰς τὴν ἕω ἀπῄει, ὁ δὲ Κομνηνὸς Μιχαήλ, ὡς εἰρήκειν, ὑπεβλέπετο. ἐπεὶ δὲ τὸ τοῦ γένους περιφανὲς καὶ τὸ πρὸς αὐτὸν συγγενές, ἔτι γε μὴν τὸ πρὸς τοὺς μεγάλους γνήσιον τούτου οὐκ εἴα τὸν βασιλέα ἐν περιφρονήσει φέρειν τὰ κατ' αὐτόν, τί δὴ ποιεῖ; στέλλει τοῦτον πρὸς τὸν πατριάρχην. ὁ Μανουὴλ ἦν τότε τὰ τῆς πατριαρχίας διιθύνων πηδάλια, ἀνὴρ εὐλαβοῦς καὶ βίου καὶ πολιτείας σεμνῆς, εἰ καὶ γυναικὶ συνεζύγη, ἄλλως δὲ οὐ πεπειραμένος*

---

1 *γεγενημένος*] *γεγενημένας* H ‖ *ἀλλὰ* om. ab coni. b 2 *πολλοῖς* om. BU ‖ *κατεξήτασεν*] *κατεξήτασται* U ‖ *τῆς ἱστορίας* om. B 3 *δηλώσειεν*] *δηλώσει* ab ‖ *ἐπὶ*] *ἐπεὶ* FHU ‖ *ταυτησὶν*] *ταυτησὶ* Fab ‖ *ἦν*] *ἣν* U 4 *αἶ*] *ἂν* a *αἲ* b 5 *ἐξέπεσες*] *ἐξέπεσε* FH recte? ‖ *πρὸς* om. U 6 *ἐγγόνην*] *ἐγκόνην* FH *ἐκγόνην* U 7 *τοῦ βασιλέως* om. U 8 *εἰς*— 9 *Μιχαὴλ* om. H 9 *πρὸς τὸν*] *τῷ κομνηνῷ* F ‖ *δευτερεξαδέλφου*] *δευτεραξαδέλφου* B corr. ab *δευτερεξαδέλφης* U 10 *θυγάτηρ*] *θυγατέρα* H ‖ *Ἰωάννῃ* om. A ‖ *ἐγένετο*] *ἐγένετο· συνέβη δὲ* U 12 *ξυμβαίνειν* A *συμβαίνειν* O ‖ *κἂν*] *εἰ* U ‖ *γὰρ τῇ ἐκκλησίᾳ*] *γάρ τη* F ‖ *κεκώλυται*] *πως κεκώλυται* U 17 *ὑπεβλέπετο*] *ἀπεβλέπετο* A *ἐπεβλέπετο* H 18 *καὶ τὸ*] *καὶ* ab 20 *τί δὴ* A *τί* O 21 *τὰ*—22 *διιθύνων*] *διιθύνων τὰ τῆς ἐκκλησίας* U 21 *πατριαρχίας* Hab *πατριαρχείας* O 22 *καὶ βίου* AB *βίου* O

γραμμάτων οὐδὲ ὧν ἀνεγίνωσκεν ἀνελίττων τὴν ἔννοιαν. καὶ γράφει πρὸς· τοῦτον ὁ βασιλεὺς ἐπιτιμίῳ καθυποβαλεῖν τὸν Κομνηνὸν Μιχαὴλ καὶ ὅρκοις αὐτὸν ἐμπεδῶσαι, μὴ ἄν ποτε βουληθῆναι ἀπιστίαν κατὰ τοῦ βασιλέως μελετῆσαι, φυλάττειν δὲ καθαρὰν αὐτοῦ τὴν πρὸς τὸν κρατοῦντα διάθεσιν. γέγονε ταῦτα, καὶ ὁ βασιλεὺς τὸν Κομνηνὸν ἀνεδέξατο Μιχαὴλ καὶ συζεύγνυσιν αὐτῷ εἰς γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ σεβαστοκράτορος Ἰσαακίου τοῦ Δούκα ἐγγόνην τὴν Θεοδώραν, ἣν μόνην ὁ πατὴρ αὐτῆς καταλελοιπὼς ὁ τοῦ σεβαστοκράτορος υἱὸς Ἰωάννης ἔτι ἐν μείραξιν ὢν τὸ χρεὼν ἐξεμέτρησε, χήραν μὲν τὴν αὐτοῦ γαμετὴν Εὐδοκίαν ἀφείς, τὴν τοῦ Ἀγγέλου Ἰωάννου θυγατέρα, ὀρφανὴν δὲ τὴν θυγατέρα αὐτοῦ Θεοδώραν, ἥτις εὐτυχῶς τῷ Κομνηνῷ τότε συνέζευκτο Μιχαήλ· ἡ γὰρ μήτηρ αὐτῆς Εὐδοκία καίτοι γε νέα οὖσα πάνυ τὴν χηρείαν φέρειν ἠσπάσατο, ἀρετὴν δὲ ἐφίλει καὶ τὸ καθάπαξ προσανέχειν 108 ed. B *θεῷ. διὰ ταῦτα καὶ ἀντιμισθίαν ἀντιλαμβάνει πρὸς θεοῦ τὸ κῆδος. καὶ ταῦτα μὲν ἔσχεν οὕτω.*

52. *Ὁ δὲ βασιλεὺς τὰ τῆς ἕω μέρη κατειληφὼς καὶ τοῦ* Ephraem. ed. B. v. 887 *ἐνιαυτοῦ ἐκείνου παρῳχηκότος αὖθις περὶ τὴν προκαθημένην* Nic. Greg. *τῶν Βιθυνῶν πόλιν ἀφίκετο Νίκαιαν. καιρὸς ἦν* ed. B. I 49 *περὶ τὰ τοῦ χειμῶνος τέλη, καὶ φθίνων ἐτύγχανε Φεβρουάριος.* 1254 *καὶ ὁ βασιλεὺς ἐπὶ τῆς κλίνης ἑσπέρας καθήμενος* 109 ed. B *— παρέδραμε δὲ καὶ μέρος τι τῆς νυκτός — αἴφνης γεγονὼς ἄφωνος, πρηνὴς ἐπὶ τῆς κλίνης πεσὼν ἦν τὸ ἀπὸ τοῦδε ἄναυδος τὸ καθόλου. χεῖρες δὲ ἰατρῶν ὑπούργουν*

---

2 *ἐπιτιμίῳ*] *ἐπιτιμίων* BH *ἐπιτιμίοις* coni. b   4 *βουληθῆναι* om. U   7 *Μιχαὴλ* om. U ‖ *συζεύγνυσιν*] *ζεύγνυσιν* BU   8 *τοῦ σεβαστοκράτορος* post *ἰσαακίου* pos. U   9 *ἐγγόνην*] *ἐγκόνην* H *ἐκγόνην* U   10 *καταλελοιπὼς*] *καταλιπὼς* H ‖ *Ἰωάννης*] *μιχαὴλ* G   11 *ἐν μείραξιν*] *μεῖραξ* U   12 *ἀφείς*] *καταλελοιπὼς* U   13 *θυγατέρα* post *αὐτοῦ* pos. B   14 *τῷ Κομνηνῷ*] *τούτῳ* FH ‖ *τότε* om. H ‖ *Μιχαήλ* om. FH   15 *καίτοι*] *καί τι* H   16 *τὸ καθάπαξ*] *καθάπερ* ab   17 *ταῦτα — 18 καὶ* om. U ‖ *ἀντιλαμβάνει*] *λαμβάνει* FH ‖ *θεοῦ*] *θεῷ* ab   18 *οὕτω*] *οὕτως* BHU ς sec. m. add. G   20 *περὶ*] *ἐπὶ* ab *παρὰ* H   24 *τι* om. H

ἐν τούτῳ καὶ ἀμυχὰς ἐν τοῖς ποσὶν ἐποίουν καὶ ἐφόλβιον ταῖς ἀμυχαῖς ἐνέβαλλον καὶ ἄλλ' ἄττα ἔπραττον, ὁπόσα ἡ τέχνη ἐδίδασκεν. ἀλλ' ὁ βασιλεὺς ὅλην τε ταύτην τὴν νύκτα καὶ τὴν ἐπιοῦσαν ἡμέραν καὶ αὖθις τὴν ἑτέραν νύκτα ἀκίνητος ἔκειτο· ἀποπληξία γὰρ ἦν ἡ νόσος καὶ οὕτω βαρεῖα, ὥστε διαρκέσαι τοσοῦτον εἰς ἀκινησίαν καὶ ἀφωνίαν. μόγις οὖν ἀνέπνευσε καὶ εἰς ἑαυτὸν ἦλθεν, ἦν δὲ ἠλλοιωμένος τὸ χρῶμα. ἔσπευσε γοῦν καταλαβεῖν τὸ Νύμφαιον φθάσαι τε πρὸ τῆς βαϊοφόρου κυριακῆς, καθ' ἣν εἴωθε θριαμβεύειν ὁ βασιλεύς. ἐπιτείνας οὖν τὴν ὁδὸν ἀφίκετο εἰς τὸ Νύμφαιον, κἀκεῖσε τὸν κατὰ τὴν βαϊοφόρον θρίαμβον ἐξετέλεσε καὶ τὴν ἀναστάσιμον ἑωρτάκει ἡμέραν. καὶ τὸ ἀπὸ τοῦδε τοῖς τοιούτοις ἐπεχωρίαζε μέρεσι, τῇ κατασχούσῃ τοῦτον νόσῳ κατὰ διαστήματα ἡμερῶν τρυχόμενός τε καὶ πιεζόμενος. ποτὲ μὲν γὰρ ἐν τῷ παλατίῳ διάγων εὐθὺς ἐπὶ κλίνης ἔπιπτεν ἄφωνος, ποτὲ δὲ ἐφ' ἵππου βαίνων καὶ ὁδὸν βαδίζων ὑπὸ τῆς νόσου ἐγίνετο κάτοχος, καὶ οἱ συμπαρόντες κατεῖχόν τε καὶ πρὸς ὥραν παρεφύλαττον, ὥστε μὴ γνωρίζεσθαι τοῖς πολλοῖς· ἐπὰν δὲ εἰς λογισμὸν ἐπανῆκε, σχολῇ πρὸς τὰ βασίλεια ἐπανέστρεφεν· ἐνίοτε δὲ καὶ φοράδην ἐπὶ θρόνου ἐν τοῖς ἀνακτόροις ὑπὸ τῶν οἰκείων ἤγετο. ἐπεὶ δὲ ἡ νόσος ἐπηύξανε, τὸ σῶμα τοῦ βασιλέως κατέπιπτε· συνεχέστερον γὰρ ἤρξατο πάνυ

---

1 ἐφόλβιον] φόλμιον U 2 ἐνέβαλλον] ἐνέβαλον GHU ‖ ἄλλ' ἄττα] ἀλλά τι H ἀλλά τε U 3 ὅλην — 5 ἀκίνητος post νόσος pos. FH 4 νύκτα] νύκταν F 5 καὶ — 6 ἀφωνίαν om. FH 5 οὕτω] οὕτως U 6 εἰς] ὡς εἰς U ‖ post ἀφωνίαν add. ἐμβαλεῖν U 7 ἦν δὲ ἠλλοιωμένος] ἠλλοιωμένος δὴ ἦν B ἠλλοιωμένος δὲ ἦν U 8 sec. τὸ] τὸν U 9 φθάσαι] φθάσας Hab φθάσαι coni. b ‖ εἴωθε] εἴωθεν B corr. ab 11 τὸν] τὸ H ‖ κατὰ τὴν om. U ‖ τὴν βαϊοφόρον] τῆς βαϊοφόρου F ‖ θρίαμβον post ἐξετέλεσε pos. U 12 ἑωρτάκει] ἑορτάκει H ἡορτάκει U 13 τὸ] τὰ ab 14 κατὰ — ἡμερῶν om. U ‖ κατὰ διαστήματα] καταστήματα H ‖ τρυχόμενός] τριχόμενος et in marg. sec. m. εἶδος βοτάνης F 15 γὰρ om. H 16 ἔπιπτεν] ἔπιπτον U 17 ὑπὸ] ἐπὶ H ‖ ἐγίνετο] ἐγένετο U 18 κατεῖχόν τε] δὲ κατεῖχον U 20 ἐπανέστρεφεν] ὑπανέστρεφεν FGU 21 δὲ om. H 23 ἤρξατο post πάνυ pos. FH

τούτῳ ἐγγίνεσθαι. σύντηξις γοῦν ἦν αὐτῷ τῶν σαρκῶν, καὶ τὸ δεινότερον, ἡ ἀτροφία τοῦτον ἐπίεζεν. 110 ed. B.

Ἐπεὶ οὖν χεῖρες ἰατρῶν εἰς τὴν νόσον ἀπέκαμον, παραμυθίαν βουλόμενος μικρὰν ἐφευρεῖν ἠθέλησεν εἰς τὴν Σμύρνην ἀπελθεῖν, ὅπως τῷ ἐκεῖσε προσκυνήσῃ Χριστῷ παράκλησίν τε ποιήσῃ καὶ ἵλεων αὐτὸν ἀπεργάσοιτο. ἀφικόμενος οὖν ταῦτα μὲν διεπράξατο, ἀνακωχὴν δὲ τοῦ πάθους οὐχ εὗρεν, ἀλλ' ἐν τοῖς Περικλύστροις Τόποις σκηνούμενος — τόπος δέ ἐστιν οὗτος ἐγγύς που τῆς Σμύρνης, διὰ τὸ πολλοῖς τοῖς ὕδασι περικλύζεσθαι οὕτω πως κατονομαζόμενος — μείζονος ἢ μᾶλλον χείρονος τοῦ πάθους ἐπῄσθετο. ἐκεῖθεν οὖν ἀπάρας πονήρως λίαν ἔχων τοῦ σώματος καταλαμβάνει τὸ Νύμφαιον. καὶ ἐν μὲν τοῖς βασιλικοῖς οὐκ ἀπῆλθεν οἰκήμασιν, ἐν δὲ τοῖς ἐγγύς που τῆς χώρας βασιλείοις κήποις τὰς ἀνακτορικὰς σκηνὰς ἐνιδρύσατο. ἔνθα καὶ τῷ χρεὼν ἐλειτούργησε τρίτῃ καλανδῶν Νοεμβρίου, ἑξήκοντα 1254 καὶ δύο, ὥς οἱ τὰ περὶ αὐτοῦ ἀκριβέστερον εἰδότες ἔφασαν, ἔτη βιώσας, ἐξ ὧν τριάκοντα καὶ τρία βεβασίλευκε καλῶς τε καὶ ἀγαθῶς. πρᾶος γὰρ ἦν καὶ πρὸς τὸ φιλανθρωπότερον ἀεὶ ἀπονεύων· δωρεαῖς μὲν πρὸς τοὺς αὐτοῦ ἧττον ἐχρᾶτο, πρὸς δὲ τοὺς ξένους καὶ μᾶλλον τοὺς ὡς πρέσβεις ἀφικομένους δαψιλεστέραν τὴν χεῖρα προύτεινεν, ἵν' ὑπ' αὐτῶν ἐπαινοῖτο. ἐρώτων δὲ θηλέων ἡττᾶτο, ἐξ ὅτου ἡ σύζυγος

---

1 ἐγγίνεσθαι] γίνεσθαι ab ‖ σαρκῶν] σαρκικῶν ab 2 τοῦτον] τοῦτο H 3 οὖν] γοῦν U ‖ εἰς om. H 4 μικρὰν] σμικρὰν G τινὰ U ‖ Σμύρνην] σμύρναν sec. m. η in α mut. G 5 προσκυνήσῃ] προσκυνήσει H προσκυνήσων F ‖ Χριστῷ ἁγίῳ U 6 ποιήσῃ] ποιήσοι BFG ‖ αὐτὸν] ἑαυτῷ U ‖ ἀπεργάσοιτο] ἀπηργάσηται U 8 ἀλλ' ἐν] ἀλλὰ U ‖ Περικλύστροις] περικλύστοις U ‖ Τόποις] τρόποις a om. b 10 τοῖς om. U 12 λίαν post ἔχων pos. H 13 ἐν om. HU ‖ οὐκ ἀπῆλθεν] μὲν οὐκ ἐπῆλθεν U 15 ἀνακτορικὰς] ἀνακτορίας G ‖ τῷ] τὸ ab 16 καλανδῶν] καλάνδων U 17 περὶ] παρ' H ‖ ἔφασαν A om. U ἔφασκον O 18 καὶ τρία om. U ‖ τρία scripsi τρεῖς O 19 πρᾶος] πράως F ‖ φιλανθρωπότερον sec. m. in φιλανθρωποτέρως mut. F 20 ἀπονεύων] ὑπονεύων B corr. ab ‖ αὐτοῦ] αὐτῷ H ‖ ἐχρᾶτο] ἐχρῆτο U 21 τοὺς ὡς] ὡς U 23 θηλέων] θήλεων Hab

αὐτοῦ καὶ βασιλὶς Εἰρήνη ἐξ ἀνθρώπων ἐγένετο· καὶ πολλαῖς μὲν καὶ ἄλλαις εἰς φανερὰν ἐχρήσατο μῖξιν, μάλιστα δὲ τῆς ἐξ Ἰταλίας ἐλθούσης ὡς θεραπαινίδος μὲν τῆς ἐξ Ἀλαμανῶν συζύγου βασιλίδος Ἄννης, ἀντιζήλου δὲ αὐτῆς γεγενημένης Μαρκεσίνης τε ὀνομαζομένης τοῦ ἔρωτος ἤτ-
111 ed. B. *τητο. καὶ ἐς τοσοῦτον τῆς ἀγάπης αὐτῆς ἐξεκρέματο, ὡς καὶ πέδιλα ὑποδεδέσθαι δοῦναι ταύτην κοκκοβαφῆ καὶ ἐφεστρίδας τοιαύτας καὶ χαλινά, ἕπεσθαί τε αὐτῇ πλείους ἢ τῇ κυρίως δεσποίνῃ, ἄλλα τε πολλὰ ἐποίει ταῖς ἐκείνης δουλεύων ὀρέξεσι. καρτερικὸς δὲ ἦν ἐν ταῖς μάχαις οὗτος ὁ βασιλεύς. καὶ τοῖς μὲν κατὰ συστάδην πολέμοις οὐκ ἔχαιρε, τὸ ἀλλοπρόσαλλον τοῦ Ἄρεως δειλιῶν καὶ τὸ περὶ ταῦτα ἄδηλον ὑπολογιζόμενος· τῇ καρτερίᾳ δὲ χρώμενος καὶ ἐνεαρίζων μὲν εἰς τὴν τῶν ἐναντίων γῆν καὶ τὴν θέρους ὥραν διαβιβάζων, ἔτι δὲ καὶ τὴν φθίνουσαν ὀπώραν διανύων, ἐνίοτε δὲ καὶ παραχειμάζων, τὴν νικῶσαν ἐλάμβανεν, ἀποκαμνόντων τῶν ἐναντίων τῇ τοῦ βασιλέως ἐνστάσει τε καὶ ὑπομονῇ.*

Ἐτεθνήκει μὲν οὖν ὁ βασιλεὺς Ἰωάννης, τῷ υἱῷ αὐτοῦ Θεοδώρῳ τὴν βασιλείαν καταλελοιπώς, τριάκοντα καὶ τρία ἔτη διανύοντι. τοσοῦτος γὰρ ὁ χρόνος αὐτῷ ὁπόσος τῆς πατρικῆς βασιλείας ἐτύγχανε· σχεδὸν γὰρ τῇ πατρικῇ ἀναρρήσει καὶ ἡ γέννησις ἐκείνου συνέδραμεν. ἐλπὶς μὲν

---

1 *καὶ πολλαῖς*—2 *μῖξιν* om. BG 2 *καὶ ἄλλαις*] *ἄλλαις* H 3 *δὲ*] *δὲ καὶ* U ‖ *ἐλθούσης ὡς* om. U ‖ *μὲν*] *μὲν οὔσης* U ‖ *ἐξ*—4 *συζύγου* om. U 4 *Ἀλαμανῶν*] *ἀλαμάνων* BH ‖ *αὐτῆς* A *ταύτη* U *ταύτης* O 7 *ταύτην*] *ταύτῃ* ab 8 *αὐτῇ*] *αὐτῆς* F 9 *κυρίως* om. U ‖ *πολλὰ* post *ἐποίει* pos. U 10 *ἐν ταῖς μάχαις οὗτος* A *οὗτος ἐν ταῖς μάχαις* O 12 *Ἄρεως* AHU *Ἄρεος* BFG ‖ *περὶ*] *παρὰ* BU 15 *θέρους*] *τοῦ θέρους* U 18 post *ὑπομονῇ* colore rubro *βασιλεία θεοδώρου τοῦ λάσκαρι τοῦ υἱοῦ βασιλέως ἰωάννου, ἔτη τρία καὶ μῆνας ἐννέα* interpos. U 19 *ἐτεθνήκει*] *τεθνήκει* F ‖ *οὖν* sec. m. add. G om. O 21 *αὐτῷ*] *αὐτοῦ* U ‖ *ὁπόσος*] *ὅσος* F 23 *συνέδραμεν*] *ξυνέδραμεν* BG ‖ *συνέδραμεν*. in marg. *βασιλεία θεοδώρου τοῦ λασκάριος* (*λάσκαρι* F) *τοῦ υἱοῦ κυροῦ* (*κυροῦ* om. F) *ἰωάννου βασιλέως τοῦ βατάτζη* (*βασ. τ. βατ.* om. A) add. AF ‖ *ἐλπὶς μὲν* — 105,18 *Θεόδωρος*] *ἀλλ' ὁ βασιλεὺς μὲν θεόδωρος* cett. om. B *ἀλλ' ὁ μὲν βασιλεὺς θεόδωρος* cett. om. G

οὖν πᾶσιν ἦν Ῥωμαίοις καὶ μάλιστα τοῖς ἐν στρατείᾳ τελοῦσι καὶ τοῖς ἐν τοῖς βασιλείοις διάγουσι πολλῶν ἀγαθῶν πρὸς τοῦ νέου ἐπιτεύξασθαι βασιλέως· καὶ εἴ τις ἦν πρὸς τοῦ πατρὸς ἐκείνου λελυπημένος ἢ στέρησιν χρημάτων πεπονθὼς ἢ καὶ κτημάτων, ἐλπίδας εἶχε λύσιν εὑρεῖν τῶν κακῶν. οὕτω μὲν οὖν οἱ πάντες ἤλπιζον. τό τε γὰρ νέον τῆς ἡλικίας καὶ τὸ πρὸς ἅπαντας χαρίεν καὶ τὸ πράως τοῖς ξυνιοῦσι προσφέρεσθαι καὶ ἱλαρῶς τοῖς συντυγχάνουσιν ὁμιλεῖν, ἃ δὴ πάντα φενάκη ἦν καὶ ὑποκριτικὸν προσωπεῖον, ταῦτα ἐποίουν φαντάζεσθαι. ἀλλ' ἥμαρτον τοῦ σκοποῦ, καὶ τὸ τῆς παροιμίας ἄνθρακες αὐτοῖς ἐκ θησαυρῶν ἀνεφάνησαν. τοιοῦτος γὰρ πρὸς τοὺς ὑπηκόους ἐφάνη καὶ οὑτωσὶ τοῖς ὑπὸ χεῖρας ἐχρήσατο, ὡς πάντας τὸν πατέρα μακαρίζειν καὶ βασιλέα· καὶ εἰ λίαν ὑπῆρξέ τις δεινὰ παρ' ἐκείνου παθών, πρὸ τῆς αὐτοῦ· τελευτῆς ἐξ ἀνθρώπων γενέσθαι ἑαυτὸν ἠγάπα καὶ ηὔχετο τὴν ζωὴν καταλῦσαι καὶ συναριθμηθῆναι τοῖς πλείοσιν.

53. Οὕτω μὲν οὖν ὁ βασιλεὺς Θεόδωρος τῶν βασιλείων 1254
ἐπείληπτο θρόνων. τὴν νενομισμένην γοῦν ὁσίαν ἀπο- Ephraem.
δοὺς τῷ βασιλεῖ καὶ πατρὶ καὶ καθεσθεὶς ἐπ' ἀσπίδος ὡς ed. B. v. 8900
ἔθος καὶ ὑπὸ πάντων φημισθεὶς αὐτοκράτωρ, τοῦ Νυμ- Nic. Greg.
φαίου ἀπάρας ἐπὶ τὴν Φιλαδέλφειαν ἀφίκετο. μεγίστη δὲ ed. B. I 53
αὕτη πόλις καὶ πολυάνθρωπος καὶ ὁπλίζεσθαι δεδυνημέ- 112 ed. B
νους οἰκήτορας ἔχουσα καὶ μάλιστα τοξείαν ἀσκοῦντας· ἀγχιτερμονοῦσα δὲ τοῖς Περσικοῖς ὁρίοις ἀεὶ διαμάχεσθαι τοῖς ὑπεναντίοις τούτους ποιεῖ καὶ ἐθάδας πολέμων ἐργάζεται.

---

1 οὖν AHU ἦν F ‖ πᾶσιν ἦν A πᾶσι FHU ‖ μάλιστα] πᾶσι U 3 ἐπιτεύξασθαι] τεύξασθαι F ἐπιτεύξεσθαι U ‖ εἴ τις] ἥτις U 5 πεπονθὼς] ἔχων U ‖ ἐλπίδας] ἐλπίδος F ‖ εἶχε—6 κακῶν] εἶχεν εὑρεῖν τι τῶν καλῶν U 6 οὖν om. U ‖ νέον om. U 7 post ἡλικίας add. ἡδὺ U ‖ ἅπαντας] ἅπαν FU 8 ξυνιοῦσι] ξυνοῦσι U ‖ προσφέρεσθαι—συντυγχάνουσιν om. U 10 ταῦτα A τοιαῦτα FH ταῦτα καὶ τὰ τοιαῦτα U 11 post παροιμίας add. ⟨εἰπεῖν⟩? ‖ ἐκ θησαυρῶν] οἱ θησαυροὶ U 13 χεῖρας A χεῖρα FHU 15 πρὸ] πρὸς F 16 γενέσθαι ἑαυτόν ἠγάπα A ἠγάπα ἑαυτὸν γενέσθαι FHU 20 καὶ ante καθεσθεὶς om. U ‖ ἐπ' Uab ὑπ' O 22 Φιλαδέλφειαν A φιλαδέλφου O 23 πόλις om. U ‖ δεδυνημένους] δεδυνημένη U 26 τούτους] τούτοις U

ἐκεῖσε οὖν διακαρτερήσας μικρὸν καὶ ὅσον πρεσβείαν στεῖλαι πρὸς τὸν σουλτάν, περὶ τὰ Βιθυνῶν κεχώρηκε μέρη καὶ τὴν τῆς χώρας ταύτης προκαθημένην πόλιν τὴν Νίκαιαν. ἐπεὶ δὲ ἐχήρευε τοῦ πατριαρχοῦντος ἡ ἐκκλησία — πέφθακε γὰρ ὁ πατριάρχης Μανουὴλ μικρόν τι τοῦ βασιλέως Ἰωάννου προτελευτῆσαι — ἔδει δὲ πρῶτον πατριάρχην προβληθῆναι, ἵν' ἐπὶ τῷ βασιλεῖ τὴν στεφηφορίαν ἐν τῷ ἱερῷ τελεσιουργήσῃ τεμένει, ἐζητεῖτο μὲν ὁ ἄξιος τοῦ τοιούτου θρόνου, ἡ δόξα δὲ τοῖς πολλοῖς ἐπὶ τῷ Βλεμμύδῃ ἐτύγχανε Νικηφόρῳ, τῷ ἐμῷ διδασκάλῳ τῶν τῆς φιλοσοφίας λόγων τε καὶ δογμάτων, ἀνδρὶ ἐκ νεότητος τὸν ζυγὸν ἀραμένῳ τοῦ μονήρους βίου καὶ περιβοήτῳ τυγχάνοντι καὶ περὶ λόγον καὶ ἀρετήν, κἂν ἐνίων ὁ φθόνος καὶ μάλιστα τῶν προυχόντων οὐ μόνον οὐκ ἐκφανῆ τούτῳ τὰ τῆς ἀρετῆς ἐποίει, ἀλλὰ καὶ κακίας τινὰς αὐτῷ προσεκόλλα. οὗτος οὖν πρὸς τὸν βασιλέα Θεόδωρον φιλίως διέκειτο καὶ παρ' αὐτοῦ ἐφιλεῖτο· τῶν γὰρ λόγων, ἐν οἷς τὰ πολλὰ ἐβρενθύετο, διδάσκαλον καὶ αὐτὸν ἐπεγράφετο. ὁ δὲ πρὸς τὸ ἦθος τοῦ βασιλέως ὁρῶν ὀκνηρότερος περὶ τὸ πρᾶγμα ἐτύγχανεν. οὐ μὴν ἀλλὰ καὶ ὁ βασιλεὺς αὐτὸς μαλακώτερον αὐτοῦ ἐπειρᾶτο· μᾶλλον γὰρ πρὸς βουλήσεως ἦν αὐτῷ τὴν προστασίαν μὴ καταδέξασθαι. ταπεινοτέρους γὰρ καὶ μετρίους εἶναι
113 ed. B. τὸ φρόνημα τοὺς πατριαρχεύοντας οἱ κρατοῦντες ἐθέλουσι καὶ προσπίπτειν εὐχερῶς τοῖς σφῶν αὐτῶν βουλήμασιν ὡς προστάγμασι. τοῦτο δὲ μᾶλλον οἱ ἀγροικότεροι πάσχουσιν,

---

1 οὖν] δὲ U 2 περὶ] ἐπὶ b 3 πόλιν om. F 4 ἐχήρευε] πέφθακε χηρεύουσα U ‖ πέφθακε — 6 προτελευτῆσαι] τοῦ πατριάρχου μανουὴλ μικρόν τι τοῦ βασιλέως προτελευτήσαντος U 9 Βλεμμύδῃ A υ ex ι G Βλεμίδῃ a βλεμμίδῃ O 11 ζυγὸν] σταυρὸν U 12 τοῦ — τυγχάνοντι om. U ‖ λόγον] λόγους ἐσχολακότι U 14 ἐκφανῆ] ἐμφανῆ U ‖ τούτῳ om. U 15 τινὰς om. U ‖ οὗτος] οὕτως F 17 τὰ om. U ‖ ἐβρενθύετο] ἐπεγάννυτο BG 18 ἐπεγράφετο] ἀπεγράφετο U ἐπεγράφετο· σοφὸς γὰρ ἦν εἰς ἄκρον ταῖς ἀληθείαις ὁ βασιλεύς BG ‖ πρὸς — 19 ὁρῶν om. BG 20 αὐτὸς] αὐτοῦ U ‖ αὐτοῦ om. U 22 καταδέξασθαι] καταδέξεσθαι ab καταδέξασθαι τοῦτον U 23 πατριαρχεύοντας] πατριαρχοῦντας F ἀρχιερατεύοντας U 25 προστάγμασι] προστάγμασιν FUab ‖ τοῦτο δὲ — 107,2 ἀντιπίπτουσιν om. U

οὐδὲ γὰρ ἔχουσι τοῖς λόγοις θαρρεῖν· οἱ δὲ περὶ λόγους ἀκαμπέστεροι φαίνονται καὶ τοῖς ἐκείνων ὁρισμοῖς ἀντιπίπτουσιν. ὁ γοῦν βασιλεὺς Θεόδωρος διὰ ταῦτα μικράν τινα πεῖραν λαβὼν τοῦ ἀνδρὸς ἐφ᾽ ἑτέρους ἐτράπετο. καὶ ἐπεὶ δυσαρεστῶν ἐτύγχανεν ἐν πολλοῖς, μοναχόν τινα εἶναι μαθὼν ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ ὀλίγων γραμμάτων πεῖραν ἔχοντα — μόνον καὶ γὰρ ἐφήψατο τῆς γραμματικῆς παιδείας — ἀνίερον τελοῦντα καὶ Ἀρσένιον ὀνομαζόμενον, ὡς εἶχε τάχους στέλλει τοὺς αὐτὸν ἄξοντας. καὶ ὃς ἀφίκετο. ἐπεὶ δὲ τὴν ἀπὸ τῆς Νικαίας ἔξοδον ἔσπευδε, διὰ τάχους τοῖς ἀρχιερεῦσι προστάττει χειροτονῆσαι πατριάρχην αὐτὸν ὁ βασιλεύς· οἳ καὶ οὑτωσὶ διεπράξαντο, ἐν μιᾷ ἡμέρᾳ διάκονον καὶ ἱερέα καὶ πατριάρχην αὐτὸν ἐκτελέσαντες.

54. *Ἡ δ᾽ αἰτία τοῦ ἐπισπεύδειν τὴν ἀπὸ τῆς Νικαίας* Ephraem. *ἔξοδον ἦν αὕτη. ὁ βουλγαράρχης Μιχαήλ, ὃς γυναικά-* ed. B. v. 8958 *δελφος τοῦ βασιλέως ἐτύγχανε Θεοδώρου, τῷ πενθερῷ αὐτοῦ Ἀσὰν Ἰωάννῃ ἐκ τῆς τοῦ Ἀγγέλου Θεοδώρου θυγατρὸς γεννηθείς, τὸν τοῦ βασιλέως Ἰωάννου πυθόμενος θάνατον, ἐπεὶ τὰ δυτικὰ μέρη γυμνὰ στρατευμάτων ἑώρα Ῥωμαϊκῶν, βουληθεὶς τὴν ἀφῃρημένην πρὸς τοῦ βασιλέως Ἰωάννου χώ-* 114 ed. B. *ραν ἐκ Βουλγάρων καὶ τὰ ἐν αὐτῇ ἄστη πρὸς Βουλγαρικὴν τὴν ἀρχὴν καὶ αὖθις ἀνακαλέσασθαι — τοῦτο γὰρ ἐκ μακροῦ τοῖς Βουλγάροις ὠδίνετο — καὶ τὸν καιρόν, ὡς ἐδόκει, κατιδὼν ἐπιτήδειον, ἐξορμήσας τοῦ Αἵμου καὶ τὸν Ἕβρον διαπεράσας ἐν οὐ πολλῷ χρόνῳ πολλήν τε χώραν*

---

1 post *λόγους* add. ⟨*δεινοί*⟩? **3** *γοῦν*] *γὰρ* A ‖ *μικράν τινα* om. F **5** *ἐτύγχανεν ἐν*] *ἐτύγχανε* U *ἐτύγχανε τοῖς* F **6** *γραμμάτων*—**7** *τῆς* om. U **7** *καὶ* om. A **9** *ἀφίκετο*] *ἀφίχετο* B corr. ab **10** *τὴν*] *τῆς* B corr. b **12** *διεπράξαντο*] *διεπράξατο* F ‖ *ἡμέρᾳ*] *οὖν ἡμέρᾳ* F *ἑβδομάδι* B **13** *διάκονον*] *διάκονος* U ‖ *καὶ πατριάρχην* om. U **14** *δ᾽* A *δὲ* O in marg. *κίνησις μιχαὴλ τοῦ βουλγάρων βασιλέως κατὰ τῶν ῥωμαίων* add. U **15** *γυναικάδελφος*] *γυναικαδελφὸς* U **16** *τοῦ βασιλέως* post *ἐτύγχανε* pos. FU ‖ *Ἀσὰν* A *τῷ Ἀσὰν* O **17** *Θεοδώρου* post *θυγατρὸς* pos. F ‖ *γεννηθείς*] *γενηθείς* ab **20** *πρὸς*—*Ἰωάννου* post *χώραν* pos. U **21** *αὐτῇ* A *τούτοις* O **22** *τὴν* om. ab **23** *καὶ* om. A ‖ *ὡς*] *ὃς* U **25** *πολλῷ*] *πολλῷ τῷ* U

ὑφ' ἑαυτὸν ἐποιήσατο πολλά τε ἄστη σὺν οὐδενὶ παρεστήσατο πόνῳ. Βούλγαροι καὶ γὰρ τυγχάνοντες οἱ οἰκήτορες τοῖς ὁμοφύλοις προσέτρεχον, τὸν ζυγὸν τῶν ἀλλογλώσσων ἀποσειόμενοι· τὰ δὲ ἄστη μετὰ τῶν Ῥωμαϊκῶν καὶ μόνων ἀπολελειμμένα φυλάξεων, οὐκ ἀξίων τοιούτοις καιροῖς ἀντιμάχεσθαι, εὐχείρωτα τοῖς Βουλγάροις ὑπῆρχε, τῶν μὲν πτοίᾳ ταραττομένων καὶ προδιδόντων τὰ ἄστη καὶ λαμβανόντων τὴν πρὸς τὰ οἴκοι ἐλευθερίαν, τῶν δὲ πρὸς τὴν ἐξαπίνης γεγενημένην τῶν Βουλγάρων ἔφοδον μηδὲν ἐχόντων ἐκ τοῦ προχείρου νοῆσαι λυσιτελοῦν ἀποδιδρασκόντων καὶ ταῦτα ἔρημα τῶν φυλαττόντων ἀπολιμπανόντων, ἄλλων δὲ ἴσως καὶ χρόνῳ ἀποκαμόντων, παραταθέντος αὐτοῖς παρὰ τὸ μέτρον τοῦ χρόνου τῆς φυλακῆς. τὰ πλείω δὲ τῶν ἄστεων καὶ ἀπεριποίητα ἦν καὶ τῶν χρειωδῶν ὅπλων ἄμοιρα. κατεσχέθη μὲν οὖν ἐκ τοῦ παραυτίκα Στενίμαχος Περιστίτζα Κρυτζιμὸς Τζέπαινα καὶ τὰ ἐν τῇ Ἀχριδῶν ξύμπαντα πλὴν Μνειάκου· τοῦτο γὰρ καὶ μόνον ὑπὸ Ῥωμαίων πεφύλακται. Οὔστρα δὲ καὶ Περπεράκιον καὶ Κρυβοῦς καὶ τὸ παρακείμενον τῇ τοῦ Ἀδριανοῦ καὶ κεκλημένον Ἐφραΐμ τοῖς Βουλγάροις κεχείρωνται. τούτων οὖν οὕτω γεγενημένων καὶ τῶν ἐν δυσμοῖς Ῥωμαϊκῶν κλονουμένων
115 ed. B. πραγμάτων, τῆς φήμης μέχρι καὶ ἐς βασιλέως ἐπιδραμούσης καὶ πλειόνων προσδοκίαν κακῶν τῶν προσόντων φαντασίαν παρεχομένης, οἱ περὶ τὰ βασίλεια οὐ μικρῶς

---

1 *ἑαυτὸν*] *ἑαυτῷ* U **5** *ἀπολελειμμένα*] *ἀπολελειμένα* B corr. ab *ἀπολελυμένα* F ‖ *οὐκ—ἀντιμάχεσθαι* om. U **6** *ὑπῆρχε*] *ὑπῆρχον* F **7** *πτοίᾳ*] *τῇ πτοίᾳ τῶν πραττομένων* U **8** pr. *πρὸς* om. A **9** *γεγενημένην—ἔφοδον* marg. praeciso om. U **10** *προχείρου*] *προχειρῶν* U **12** *χρόνῳ*] *χρόνων* B corr. ab ‖ *παραταθέντος*] *παρατεθέντος* BU **16** *Περιστίτζα*] *περιστρίτζα* U *Πριστίτζα* ab ‖ *Κρυτζιμὸς*] *κριτζιμὸς* A ‖ *Ἀχριδῶν* A *ν* sec. m. del. G *Ἀχριδῷ* BFU **18** *Οὔστρα* A *οὔστρα* O ‖ *Κρυβοῦς*] *κρυβοὺς* F *κριβοῦς* U **19** *τοῦ*] *τῆς* U ‖ sec. *καὶ* om. AU ‖ *κεκλημένον*] *κλημένον* B corr. ab **20** *κεχείρωνται* A, sec. m. *ν* add. G *κεχείρωται* O ‖ *οὖν* om. BU **21** *καὶ—κλονουμένων*] *τῶν* U ‖ *δυσμοῖς*] *δυσμαῖς* ab **23** *προσδοκίαν*] *προδοσίαν* U ‖ post *προσόντων* sec. m. *καὶ* add. G

ἐταράχθησαν. ἠπίσταντο γὰρ ὡς τὰ πλείω τῶν δυτικῶν μερῶν Βουλγάροις οἰκοῦνται, ἀποστατήσασι πάλαι Ῥωμαίων, προσφάτως δὲ χειρωθεῖσι τῷ βασιλεῖ Ἰωάννῃ καὶ οὔπω πῆξιν τῆς χειρώσεως λαβοῦσιν, ἔχθραν δὲ ἀεὶ πρὸς Ῥωμαίους ἐνδομυχοῦσι.

55. Διὰ ταῦτα καὶ αὐτὸς ὁ βασιλεὺς ἠδημόνει τοῖς Nic. Greg. ed. B. I 55 πράγμασιν, εἰ οὕτω κατ' ἀρχὰς τῆς ἐξουσίας αὐτοῦ δυστυχῶς πράττει. συναθροίσας οὖν τοὺς ἐν τέλει καὶ τοὺς εἰς στρατηγοὺς τεταγμένους, σὺν οἷς καὶ οἱ πρὸς πάππου αὐτοῦ τοῦ βασιλέως Θεοδώρου ὑπῆρχον αὐτῷ θεῖοι, ὅ τε Μανουὴλ καὶ ὁ Μιχαήλ, ἐβουλεύσατο τί ἂν ἔχοι εἰς τὰ γεγενημένα διαπράττεσθαι. οἱ μὲν οὖν πλείους διαπερᾶσαι τὸν βασιλέα τὸν Ἑλλήσποντον δέον ἔλεγον εἶναι καὶ στῆσαι τὴν τῶν Βουλγάρων φοράν. τοῦτο δὲ τοῖς τοῦ κρατοῦντος θείοις τοῖς προειρημένοις οὐκ ἤρεσκεν, οἷς καὶ προσεῖχε μᾶλλον ὁ βασιλεὺς πολλῶν ἕνεκα· ἥ τε γὰρ γνησιότης τοῦ γένους ἠνάγκαζε καὶ τὸ τῆς ἡλικίας γηραιὸν παρεβίαζεν, οὐχ ἧττον δὲ πρὸς τοῦτο καὶ τὸ πολλῶν πραγμάτων ἴδρεις αὐτοὺς γενέσθαι παρέπειθε. φυγάδες γὰρ οὗτοι γεγονότες τῆς τοῦ βασιλέως Ἰωάννου διακρατήσεως πολλοῖς προσωμίλησαν δεσπόταις καὶ εἰς διαφόρους περιεπλανήθησαν τόπους, κἀντεῦθεν κατὰ τὴν ποίησιν εἶδον ἄστεα καὶ νόον 116 ed. B. ἔγνωσαν. καὶ ἦσαν μὲν ὡς ἀληθῶς οὗτοι νοήμονες, οὐκ ὀρθὰ δὲ ἐφρόνουν τοῖς τῶν Ῥωμαίων πράγμασιν, αἰτίαν ἔχοντες τὸ παρευδοκιμηθῆναι τὰ πρῶτα παρὰ τοῦ ἀδελφοῦ καὶ βασιλέως, μηδενὸς αὐτῶν εἰς ἀξίαν ἀνηγμένου βασιλέως ἀδελφοῖς διαπρέπουσαν, εἶτα καὶ παρὰ τοῦ γαμβροῦ

---

2 ἀποστατήσασι] ἀποστατήσια G καὶ ἀποστατήσασι F ἀποστατήσουσι A καὶ ἀποστατήσουσι ab **4** λαβοῦσιν] λαβούσης ab ‖ ἔχθραν — **5** ἐνδομυχοῦσι marg. praecis. om. U ‖ ἀεὶ om. F **8** τοὺς εἰς om. U **10** θεῖοι] θεῖον U **11** ἔχοι om. U ‖ εἰς A πρὸς O **12** διαπράττεσθαι] διαπράξασθαι F **15** προσεῖχε μᾶλλον] προσεῖχεν U **16** ὁ βασιλεὺς om. A **18** πρὸς τοῦτο om. U ‖ ἴδρεις A ἴδρις O **19** γενέσθαι] γινέσθαι B γίνεσθαι ab **22** εἶδον] πολλῶν ἀνδρῶν εἶδον U **24** πράγμασιν] πράγμασι B corr. ab **25** τὰ πρῶτα — **26** βασιλέως marg. praeciso om. U **27** εἶτα καὶ] εἶτα U

καὶ βασιλέως· καὶ φυγαδίαι τῆς Ῥωμαίων γεγενημένοι πρὸς αὐτοὺς ἐδυσμέναινον. καὶ ταῦτα μὲν ἴσως ἐρεῖ τις αἴτια εἶναι, τὸ δ' ἀληθὲς τὰ τῶν ἀνθρώπων ἤθη ἀβέβαια ὄντα καὶ ἄστατα τοιούτους τυγχάνειν ἐποίουν. καὶ ταῦτα μὲν οὐ διελάνθανεν οὐδὲ τὸν βασιλέα Θεόδωρον· τέως οὖν ἐξ ἀνάγκης καὶ τῷ μὴ ἔχειν κρείττοσιν ἄλλοις βουλεύεσθαι τούτοις ἐχρᾶτο πρὸς συμβουλάς. ὑπετίθεντο γοῦν οὗτοι ὡς οὐ χρεὼν τὸν βασιλέα διαπερᾶσαι πρὸς τὴν δυσμήν, ὅτι τε κακῶς πράττει τὰ τοιαῦτα μέρη καὶ ὡς νοσεῖ σχεδὸν ἀθεράπευτα, στράτευμά τε μὴ ἔχειν τὸν βασιλέα προσῆκον πράξει βασιλικῇ· ὁ γὰρ χειμὼν ἐκώλυε τὴν συνάθροισιν τῶν δυνάμεων. καὶ τὸ ἐπιδημῆσαι κατὰ χώραν τὸν βασιλέα καὶ μὴ ἄξιον τοῦ ὀνόματος αὐτοῦ καὶ τῆς φήμης ἐργάσασθαι οὐ τῶν ἀφῃρημένων καὶ μόνων βεβαίωσιν ἐν τοῖς ἐχθροῖς ποιεῖται ἀλλὰ καὶ τῶν περιλελειμμένων ἀφαίρεσιν αὔξην τε τῶν ὑπεναντίων πολλῷ μείζονα, ὡς καὶ τῶν Ῥωμαϊκῶν πραγμάτων ἐλάττωσιν οὐ σμικράν. ταῦτα μὲν ἔφασκον οὗτοι, ἄλλοι δὲ πάντες τὴν βασιλικὴν περαίωσιν
117 ed. B. συνεβούλευον καὶ ταύτην κατήπειγον, μὴ λάθοι τὰ πάντα τῶν ἐν δυσμῇ ἢ τὰ πλείω ταῖς τῶν ἐχθρῶν χερσὶν ἁλω-

---

1 καὶ φυγαδίαι] φυγαδίαι U καὶ φυγαδίαις a ‖ γεγενημένοι] γεγενημένοις B corr. b γενόμενοι F 2 ἐδυσμέναινον] ἐδυσμένοντο U ‖ τις] τίς U ‖ αἴτια] τὰ αἴτια U 3 τὸ δ'] τὸ δὲ ab 4 τοιούτους] τοιούτους αὐτοὺς U 5 οὐ διελάνθανεν] οὐδὲ ἐλάνθανεν U ‖ ἐξ ἀνάγκης—7 τούτοις] ὡς οἰκείους τοῦ αἵματος καὶ τὸ τιμᾶν αὐτοὺς διὰ παντὸς προελόμενος BG 6 τῷ scripsi τὸ O ‖ κρείττοσιν ἄλλοις βουλεύεσθαι A κρείττοσιν ἄλλοις βεβουλεύεσθαι F ἄλλοις βουλεύεσθαι κρείττοσι U 7 τούτοις] τοιούτοις F ‖ ἐχρᾶτο] ἐχρῆτο U ‖ συμβουλάς] συμβουλήν U ‖ ὑπετίθεντο] ὑπετίθενται U 8 ὡς om. F ‖ πρὸς om. A 11 πράξει] παρατάξει U 13 αὐτοῦ om. U 14 μόνων A μόνον O ‖ ἐν om. U 16 πολλῷ—17 πραγ-] marg. praeciso om. U 18 ἔφασκον om. BG ‖ ἄλλοι—19 κατήπειγον] ὁ δὲ τὰ πλεῖστα πεποθημένος αὐτῷ (αὐτῷ om. G) Μουζάλων Γεώργιος, τὴν τοῦ μεγάλου δομεστίκου δύναμιν περιεζωσμένος, τὴν βασιλικὴν περαίωσιν συνεβούλευε καὶ ταύτην κατήπειγε BG 19 λάθοι] λάθη Uab ‖ τὰ πάντα τῶν] πάντα τὰ U 20 post ἁλωθῆναι add. καὶ ἄλλοι δὲ τῶν ἐπιφανῶν οὐκ ὀλίγοι τῇ τοῦ μεγάλου δομεστίκου συνῄνουν βουλῇ BG

θῆναι. ἡ τῶν πλειόνων γοῦν ἴσχυσε βουλή, μάλιστα δὲ τοῦ βασιλέως τὸ πρόθυμον καὶ ὁ τῆς καρδίας αὐτοῦ ζῆλος, ἐκκαὴς γεγονὼς πρὸς τὴν κίνησιν. καὶ προσλαβόμενος τοὺς ὅσοι συνακολουθεῖν ἔτυχον, εἰς μέτριον ἀριθμουμένους στράτευμα, καὶ τοὺς καθ' ὁδὸν ξυντυγχάνοντας καὶ τοὺς ἐγγύτερον τῆς φερούσης ὄντας καὶ δυναμένους αὐτοῖς ὅπλοις καὶ ἵπποις ἐφέψεσθαι, διαπεραιοῦται τὸν Ἑλλήσποντον καὶ ὡς εἶχε τάχους τὴν Ἀδριανούπολιν πέφθακε.

56. Μίαν δὲ καὶ μόνην ἡμέραν διακαρτερήσας ἐν ταύτῃ ἐξῆλθεν ἐς νέωτα. καί τις τῶν ἐκ Βουλγάρων κατοπτήρων τὸν βασιλέα τεθεαμένος τῆς Ἀδριανοῦ ἐξερχόμενον δρομαῖος περὶ τὸν βουλγάραρχον ἵκετο — περὶ τὸν Ἕβρον καὶ γὰρ οὗτος ἐστρατοπεδεύετο — καὶ τὸ δρᾶμα διασαφεῖ καὶ τὴν τοῦ βασιλέως ἐξαγγέλλει κατ' αὐτοῦ ταχεῖαν ἔφοδον, καὶ ὅρκοις ἐβεβαιοῦτο ἦ μὴν ὀφθαλμοῖς τεθεᾶσθαι τὸν βασιλέα τὴν πρὸς τῇ πόλει τυγχάνουσαν τοῦ ποταμοῦ Ἕβρου γέφυραν διαβαίνοντα. τοῦτο συνέχεε μὲν 118 ed. B.
τοὺς περὶ τὸν βουλγάραρχον, οὐ μὴν τοῦ τόπου καθ' ὃν ἔλαχον στρατοπεδεύειν ἀπέστησεν, ἀλλ' ἔμενον ἐκεῖσε μέχρις ἂν γνοῖεν τὰ τῆς φήμης ἀκριβέστερόν τε καὶ καθαρώτερον. ἀλλ' οὐδὲ τὸν βασιλέα ἡ τοῦ βουλγαράρχου κατασκήνωσις λέληθεν, ἀλλ' ἐμεμαθήκει τὸν τόπον, ὅπου δὴ τὸ στρατόπεδον εἶχε. ταχυτέραν γοῦν τὴν πορείαν ἐποιεῖτο καὶ τῶν ἵππων τὰς κινήσεις ἐπέτεινε, καὶ ηὔχετο τῷ Βουλγαρικῷ ξυντυχεῖν στρατεύματι. οὕτω γοῦν ἔχων ὁρμήματος ἔκ τινος συμβάματος ἐσφάλη τυχηρῶς τοῦ βουλεύματος. οἱ γὰρ προάγοντες τῶν Ῥωμαϊκῶν στρατευμάτων τοῖς εἰς φυλακὴν προτεταγμένοις τοῦ Βουλγαρικοῦ στρατοπέδου συμ-

---

7 sec. καὶ] καταλιπὼν εἰς τὴν ἔω τὸν μέγαν δομέστικον· ἐντεῦθεν BG 11 τῆς] τὴν BU corr. ab 12 περὶ] ἐπὶ b || βουλγάραρχον] βούλγαρον BU 13 καὶ γὰρ] γὰρ καὶ U 14 τὴν om. F || ἐξαγγέλλει] ἐξαγγέλει B corr. ab 17 συνέχεε] συνέχει ab 18 τοὺς] τοῖς A || βουλγάραρχον] βούλγαρον ABU 19 ἀπέστησεν] ἀπέστησαν Uab 21 τοῦ] τῆς F || βουλγαράρχου] βουλγάρου Uab 23 εἶχε] εἶχεν ab || ταχυτέραν] ταχύτερον ab 26 τοῦ βουλεύματος] τῷ βουλεύματι A 28 προτεταγμένοις] προστεταγμένοις U || στρατοπέδου] στρατοῦ U

πεπτώκασι, καὶ πολλοὺς μὲν ξίφους ἔργον πεποίηνται, ἄλλους δὲ ζωγρίας εἶλον, σὺν αὐτοῖς δὲ καὶ τὸν τὴν ἡγεμονίαν τῆς στρατείας ἔχοντα· οἱ δ' ἕτεροι φυγῇ χρησάμενοι νυκτὸς βαθείας εἰς τὸ Βουλγαρικὸν ἀπέδρασαν στράτευμα καὶ διηγοῦντο πάντα καὶ τὸ πλησίον αὐτῶν ἤδη τυγχάνειν τὸν βασιλέα διισχυρίζοντο. ὡς ἔτυχε γοῦν ἕκαστος τῶν Βουλγάρων καὶ αὐτὸς ὁ τούτων ἄρχων, ἐπιβὰς τοῦ ἵππου, περὶ τὰ ἐνδότερα τῶν Βουλγαρικῶν ἐφέρετο χώρων. κατεδρύπτοντο δὲ τούτων τοῖς τῶν δένδρων κλάδοις τὰ πρόσωπα, συνηρεφέσι τούτοις ἐμπίπτοντα· ὃ δὴ καὶ αὐτὸς ὁ βουλγάραρχος πέπονθεν· ἔνιοι δὲ αὐτῶν καὶ γυμνοῖς ἐφεστρίδων εἰς τὴν ὀχείαν τοῖς ἵπποις ἐχρήσαντο. οὕτω γοῦν διαδράντες τὴν Ῥωμαϊκὴν ἀπέφυγον σπάθην. ἔωθεν δὲ τὸν
19 ed. B. τόπον φθάσας ὁ βασιλεὺς καὶ ἔρημον στρατεύματος Βουλγαρικοῦ κατιδὼν λελύπηται μέν, οὐκ εἶχε δ' ὅ, τι καὶ δράσειε. βουλὴν δὲ ποιησάμενος περὶ τὴν Βερόην χωρεῖ, κἀκεῖσε δὲ ἀφιγμένος αὐτοβοεὶ τὸ φρούριον εἷλεν. ἅπαν γὰρ τὸ τεῖχος αὐτοῦ κατηρείπωτο καὶ διεξόδους εἶχε πολλάς, καταβεβλημένον καὶ τοῦτο παρὰ τῶν Βουλγάρων σὺν τοῖς λοιποῖς τῶν Ῥωμαϊκῶν ἄστεων, εἰ καὶ κάμαξι καὶ τοῖς ἐξ ἁμαξῶν ξύλοις ἐδόκουν αὐτὸ κατοχυρώσασθαι οἱ οἰκήτορες. τροφῶν γοῦν ηὐμοίρησε τὰ στρατεύματα, αὐτοί τε καὶ οἱ τούτων ἵπποι· ἐπέπληστο γὰρ τῶν χορτασμάτων τὸ ἄστυ. καὶ τάχα ἂν καὶ προσωτέρω ἐκεχωρήκει ὁ βασιλεὺς καὶ περὶ τὸν Αἷμον αὐτὸν καὶ τὰ ἐν αὐτῷ τυγχάνοντα φρούρια τὴν ἔφοδον ἐπεποίητο — πτοίαν γὰρ οὐ σμικρὰν τοῖς Βουλ-

---

2 δὲ καὶ] καὶ U ‖ τὴν] τῆς B corr. ab **3** στρατείας ABG στρατηγίας U στρατιᾶς F ‖ οἱ δ'] οἱ δὲ ab **5** πάντα] τὰ πάντα BU **8** περὶ] ἐπὶ b **10** ἐμπίπτοντα] συμπίπτοντα? ‖ βουλγάραρχος] βούλγαρος BU βουλγαράρχης coni. b **11** ἐφεστρίδων] ἐφεστρίδος U **12** διαδράντες] διαδράσαντες U **15** δ' ὅ,τι A δὲ ὅ,τι O **16** περὶ] ἐπὶ b ‖ Βερόην] βεροὴν B βερρόην U **20** ἄστεων] ἄστεσιν U ‖ κάμαξι] ἅμαξι F **21** κατοχυρώσασθαι] κατοχειρώσασθαι U **23** τῶν om. BU **24** τάχα A τάχ' O ‖ προσωτέρω—καὶ marg. praeciso om. U ‖ ἐκεχωρήκει A ἂν ἐκεχωρήκει O ‖ περὶ] ἐπὶ b **26** πτοίαν γὰρ] καὶ πτοίαν U ‖ σμικρὰν] μικρὰν B

γάροις ἐνέβαλλεν — εἰ μὴ χειμὼν βαρύτατος αἴφνης ἐπεισπεσὼν ἐκώλυσεν αὐτὸν τῆς ὁρμῆς· πολλὴ γὰρ χιὼν τὸ πρόσωπον τῆς γῆς ἐπηλύγασε, καὶ τὸ ἐπὶ ξένης καὶ πολεμίας τὰ Ῥωμαϊκὰ χρονίζειν στρατεύματα οὐ καλὸν ἐδόκει τοῖς ξυμβουλεύουσιν. ἡμέρας οὖν ἓξ ἐκεῖσε διακαρτερήσας ὁ βασιλεύς, ἐπεὶ μὴ εἶχέ τι ἕτερον δρᾶσαι, λείαν τὰ Βερόης ἅπαντα ποιησάμενος, ἄνδρας γυναῖκας νήπια πρόβατα βόας καὶ σύμπαν ἄλλο κινεῖσθαι δυνάμενον, εἰς τὴν Ἀδριανοῦ τὴν ὑποστροφὴν ἐποιήσατο.

57. Ἐκεῖθεν γοῦν ἐπιλεξάμενος ἀξιόλογον στράτευμα Ephraem. περὶ τὰ ἐν Ἀχριδῶν φρούρια ἐπεπόμφει τὰ πρὸ μικροῦ ed. B. v. 8980 τοῖς Βουλγάροις κεχειρωμένα, εἴ πως καὶ αὖθις τῇ τῶν Ῥωμαίων ὑπαχθεῖεν ἀρχῇ. ἐν αὐτοῖς γοῦν ἀφιγμένοι σὺν τοῖς 120 ed. B. στρατεύμασιν οἱ τῶν Ῥωμαίων ἡγήτορες μηχανήμασί τε καὶ ἑλεπόλεσι ῥᾷον τῶν φρουρίων περιεγένοντο· οἱ Βούλγαροι καὶ γὰρ θᾶττον τῶν ἐν ἄστεσι φυλακῶν ἀπαλλάττονται, εἰ πολεμίους ὁρῷεν καὶ μαχιμωτέροις συμπλακεῖεν τοῖς πράγμασιν. ἐν οὐ πολλῷ γοῦν τὰ πλείω αὐτῶν ἐχειρώσαντο. ἀλλὰ καὶ ὁ βασιλεὺς τὸν περὶ αὐτὸν συναθροίσας στρατὸν περὶ τὰ ἐν Ῥοδόπῃ ἄστη κεχώρηκε, καὶ εἷλε μὲν Περιστίτζαν τοῖς μηχανήμασι καὶ μετ' αὐτὴν τὸν Στενίμαχον καὶ ἐπὶ τούτοις τὸν Κρυτζιμόν, ὀχυρώτατα ταῦτα πάντα καὶ εἰς πρόσωπον κείμενα τοῦ τῆς Ῥοδόπης ὄρους καὶ τὰ ὀπίσω πάντα φυλάττοντα. ἀφίκετο δὲ καὶ εἰς Τζέπαιναν ἐν ἀκμῇ χειμῶνος, ἡ δὲ τοῦ τόπου δυσχωρία καὶ τὸ ψυχρὸν τοῦ

---

1 ἐνέβαλλεν A ἐνέβαλεν O ‖ ἐπεισπεσὼν] ἐπιπεσὼν U 2 τὸ πρόσωπον τῆς γῆς A τῆς γῆς τὸ πρόσωπον O 5 οὖν] γοῦν FU 6 μὴ om. B ‖ εἶχέ τι ἕτερον] εἶχεν ἕτερόν τι U ‖ Βερόης] βερρόης U 8 τὴν om. F 9 ὑποστροφὴν] ἀποστροφὴν F 10 στράτευμα] στρατὸν ante ἀξιόλογον pos. U 11 Ἀχριδῶν A ἀχριδῷ O 13 σὺν τοῖς στρατεύμασιν post Ῥωμαίων pos. U 17 ὁρῷεν — συμπλακεῖεν marg. praeciso om. U 18 γοῦν] γοῦν χρόνῳ U ‖ αὐτὸν] αὐτῶν B corr. ab 19 στρατὸν] λαὸν BU 20 περὶ] ἐπὶ b ‖ Ῥοδόπῃ] ῥοδότη B corr. ab ‖ καὶ — 21 μηχανήμασι om. U 21 αὐτὴν] αὐτὸν B corr. ab ‖ καὶ ἐπὶ — 22 Κρυτζιμόν om. F 22 ὀχυρώτατα] ὀχυρώματα B ‖ πάντα] πάντα ὄντα U ‖ εἰς] ἐς F 23 κείμενα om. U

καιροῦ οὐδὲ μικρόν τι εἴασεν ἐν ταύτῃ προσκαρτερῆσαι. 1255 ἐπεὶ δὲ τὸ ἔαρ ἐπέλαμψε, προστάγματα πρὸς τὸν Στρατηγόπουλον Ἀλέξιον καὶ τὸν Τορνίκην Κωνσταντῖνον, ὃν μέγαν πριμμικήριον ὁ βασιλεὺς τετίμηκεν Ἰωάννης, ἐξέπεμψεν, ἐν ταῖς Σέρραις ὄντας καὶ τὸ στρατόπεδον ἔχοντας, ἵνα τὴν στρατιὰν πᾶσαν συναγαγόντες κατὰ τῆς Τζεπαίνης ἀφίκοιντο. τοῦτο δὴ καὶ ἐποίησαν, κακοὶ δὲ ἐφάνησαν ἐν τούτῳ τῷ ἐπιχειρήματι στρατηγοί· μήτε γὰρ πολεμίων ἐγκύρσαντες στρατιαῖς μήτε ἀνδράσιν ἀξίοις τούτοις μαχέσασθαι, κτύπων δὲ καὶ μόνων καὶ ψόφων ἀκηκοότες καὶ ἤχων κερατίνων ἀκροασάμενοι, ἀκόσμως ἐχρήσαντο τῇ φυγῇ, πᾶσαν ἀποσκευὴν καὶ τοὺς πλείους τῶν 121 ed. B. ἵππων τοῖς ποιμέσι καὶ συβώταις τῶν Βουλγάρων καταλιπόντες. οὕτω μὲν οὖν ἐκεῖνοι φυγαδίαι γεγονότες τὰς Σέρρας καὶ αὖθις κατέλαβον, ἵππων καὶ ὅπλων γυμνοὶ τυγχάνοντες. ὁ μὲν οὖν βασιλεὺς διὰ ταῦτα θυμοῦ μὲν ἐπέπληστο, καὶ προσέταττεν ἐξ ὀργῆς αὐτοὺς ἐκείνους, ὅπως ἂν ἔχοιεν, περὶ τὴν αὐτὴν καὶ αὖθις μάχην χωρῆσαι· οἱ δὲ ἀδυνάτως εἶχον τῆς πράξεως.

58. Ἐπεὶ δὲ ταῦτα οὕτω συνέβη, συνεπεπτώκει καί τι τῶν βαρυτέρων καὶ πολλὴν τὴν κατὰ τῶν Ῥωμαίων βλάβην ἐπαπειλοῦν. ὁ γὰρ τοῦ Μελενικιωτικοῦ προεξάρχων στρατεύματος, Δραγωτᾶς τοὔνομα, καὶ φύσει μὲν ὡς Βούλγαρος δύσνοιαν τρέφων κατὰ Ῥωμαίων, ἔτι δὲ καὶ πλέον φέρων τοῦ φυσικοῦ διὰ τὴν πρὸς τὸν βασιλέα ἀπέχθειαν — ἤλπισε γὰρ ἐξ αὐτοῦ μεγάλων τυχεῖν· οὐδὲ γὰρ ἔκρινεν ἄξια τὰ παρὰ τοῦ βασιλέως Ἰωάννου ἐκείνῳ κεχορηγημένα

---

2 ἐπέλαμψε] ἐπέλαμψεν ab ‖ προστάγματα] πρόσταγμα U 3 τὸν ante Τορνίκην om. B 7 τοῦτο — δὲ] τότε καὶ U 10 κτύπων] κτῆπον F κτύπτων U ‖ καὶ μόνων — 11 ἤχων marg. praeciso om. U 10 μόνων] μόνον F ‖ ψόφων] ψόφον F 11 ἤχων] ἦχον F ‖ ἀκόσμως] ἀκόσμῳ U 13 καὶ συβώταις τῶν Βουλγάρων] βουλγάροις καὶ συβόταις U 17 προσέταττεν] προσέταξεν F 18 περὶ] ἐπὶ b 20 συνέβη A ξυνέβη O 21 sec. τῶν om. U 24 τρέφων] τρέχων U 25 φέρων] φέρον U ‖ τοῦ om. U 27 Ἰωάννου om. A ‖ ἐκείνῳ] ἐκεῖνα F

καὶ ταῦτα πολλὰ γεγενημένα — ἀποστασίαν φανερὰν μεμελέτηκε. καὶ δὴ πάντας τοὺς ἐν Μελενίκῳ συναγαγὼν στρατιώτας τε καὶ λοιπούς, ἔτι δὲ καὶ ἄλλους παμπόλλους ἐκ 122 ed. B
τῶν πέριξ χωρῶν, παρεκάθισε τοῦ Μελενίκου τῷ ἄστει καὶ ἐπολιόρκει τοῦτο καὶ ἐφιλονείκει πορθεῖν. ἦσαν δὲ ἐν τούτῳ τῷ ἄστει προτεταγμένοι τῶν φυλασσόντων ὅ τε Νεστόγγος Θεόδωρος καὶ ὁ Ἄγγελος Ἰωάννης, καὶ ἀμφότεροι δέξιοι ἄστη φυλάξαι καὶ πολεμίους ἐκτρέψασθαι. ἐστενοχώρει δὲ τοὺς ἔνδον τοῦ ἄστεος οὐδὲν ἄλλο — καὶ γὰρ ηὐμοίρουν τῶν χρειωδῶν — ἀλλ' ἢ ἡ τοῦ ὕδατος ἔνδεια, ἐν ὥρᾳ θέρους τὸ ἀναγκαιότατον τῶν ἄλλων κἂν τῇ σπάνει βαρύτατον. οἱ δὲ — καὶ γὰρ οὐ πάντῃ τούτους τὸ ὕδωρ ἐξέλιπε — καρτερῶς τοῖς ἐναντίοις ἐμάχοντο καὶ ἀνθίσταντο καὶ ὀϊστοῖς ἔβαλλον καὶ λίθοις ἐτίτρωσκον καὶ πᾶσιν ἄλλοις ὅπλοις ἐμάχοντο.

Τούτων ἐν ἀκροάσει γενόμενος ὁ βασιλεὺς δυσφόρως τὴν ἀκοὴν ἤνεγκε, βουλὴν δὲ βουλευσάμενος τὴν ἀρίστην, ὡς εἶχε τάχους ἅπαν ξυναγηοχὼς τὸ στρατόπεδον δωδεκαταῖος τὰς Σέρρας πέφθακεν, ἐν ὀλίγῳ χρόνῳ τοσαύτην διανύσας ὁδὸν καὶ τοσοῦτον ἐπαγόμενος στράτευμα, ταῖς κατὰ συστάδην εἰθισμένον μάχαις, ὅπλοις κατάφρακτον καὶ ἵπποις φορταγωγοῖς διοικούμενον καὶ πάσαις ἄλλαις ἀποσκευαῖς συγκροτούμενον καὶ περιφραγνύμενον. ἐπεὶ δὲ μέχρι Σερρῶν κατηντήκει, αὐτόθι διανυκτερεύσας, ἅμα πρωῒ τὰ στρατεύματα συνταξάμενος καὶ τοὺς πεζαιτέρους καὶ τοξοφόρους ἔμπροσθεν βαίνειν ἐγκελευσάμενος, ἐπείπερ ἐπέπυστο τὴν τοῦ Ῥουπελίου δυσχωρίαν, καθ' ἣν ὁ ποταμὸς Στρυμὼν ῥεῖ, δυσὶ συγκλειόμενος ὄρεσιν, ὡς

1 μεμελέτηκε] μεμελέτηκεν ab 2 συναγαγὼν — 3 λοιπούς marg. praeciso om. U 4 τῷ ἄστει A coni. b τὸ ἄστυ O 5 ἐφιλονείκει] ἐφιλονίκει ab 6 προτεταγμένοι] προτεταγμένος F προστεταγμένοι U ‖ Νεστόγγος] νεστέγγος sec. m. ο in ε mut. B corr. ab 8 ἄστη] ἄστυ B ‖ πολεμίους sec. m. -ίοις in -ίους corr. G 9 ἄστεος] ἄστεως ab 11 κἂν] καὶ F 12 πάντῃ] πάνυ F 13 ἐμάχοντο καὶ A om. O 16 γενόμενος A γεγενημένος O ‖ ὁ om. U 18 ὡς εἶχε τάχους] ὡσεὶ τάχος U 21 ὅπλοις] καὶ ὅπλοις U 27 Ῥουπελίου] ῥοπελίου B

μόγις ἅμαξαν διὰ ταύτης ἔρχεσθαι, τοῦ ποταμοῦ στενωτάτην ἀπεργαζομένου τὴν δίοδον, — κλεισούρας τοὺς τοιούτους τόπους ὁ πολὺς κατονομάζει λαός — Βουλγαρικῇ 23 ed. B. *φυλάττεσθαι στρατιᾷ ἱππέων μὲν ὀλίγων πεζῶν δὲ πολλῶν, — οἱ γὰρ Βούλγαροι καὶ πύλας ἐν αὐταῖς κατεσκεύασαν μοχλοῖς καὶ κλείθροις ἠσφαλισμένας, ὡς ἄμαχα τούτοις ἐξ ἀμφοτέρων τυγχάνειν τῆς τε δυσκολίας τοῦ τόπου καὶ τῆς γεγενημένης παρ' αὐτῶν προμηθείας καὶ τῆς λοιπῆς ὀχυρώσεως — ἐπεὶ ταῦτα οὕτως ἔχειν ἐμεμαθήκει ὁ βασιλεύς, σπουδῇ περὶ τὸν ἐκεῖσε χῶρον ἀφῖκτο, εὗρε δὲ τὰ ἐν αὐτῷ καθάπερ ἐπέπυστο. ἀποκόψας οὖν τῆς τῶν πεζαιτέρων στρατιᾶς ὅσον ἦν εἰκὸς σύνταγμα, ὑπὲρ κεφαλῆς τῶν Βουλγάρων βαδίζειν εἰς τὸ ὄρος προστέταχεν, ὡς ἂν ἐξ ὑπερδεξίων τοὺς Βουλγάρους βάλλωσιν ἐξ ὑψηλοτέρων τῶν τόπων ἐν τοῖς χθαμαλοῖς ἐκείνους τυγχάνοντας. οἱ δὲ θᾶττον ἐποίουν τὰ προσταττόμενα· ἦν γὰρ τὸ ὄρος δένδροις μὲν συνηρεφές, βάσιμον δὲ ποσὶ πεζαιτέρων· ἱππεῦσι δὲ κατευθὺ τῶν πυλῶν τὴν μάχην ποιεῖν ἐκέλευσεν.*

Ἐπεὶ γοῦν κατεῖδον οἱ Βούλγαροι ἄνωθεν μὲν ἐκ τῶν βουνῶν ὀϊστοῖς αὐτοὺς βαλλομένους, σταδαίαν δὲ τὴν μάχην κατεναντίον κεκτημένους, καὶ ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτοὺς καθορῶντες εἰς φυγὴν ἐτράποντο, καὶ τὸ βασιλικὸν αὐτοῖς ἐφείπετο στράτευμα. πολλοὺς οὖν ἐκεῖσε σπάθης ἔργον πεποίηνται, οἱ δ' ἄλλοι μέχρι καὶ τῶν Βουλγαρικῶν στρατευμάτων διασωθέντες ἀπέδρασαν καὶ τούτοις τὰ περὶ τοῦ βασιλέως ἀπήγγειλαν καὶ ὅσα δὴ ἐπεπόνθεισαν. οἱ δὲ

---

5 *γὰρ* om. U **6** *ἠσφαλισμένας*] *ἠσφαλισμέναις* FG **7** *δυσκολίας*] *τῆς δυσκολίας* U **8** *γεγενημένης*] *γενομένης* F ‖ *προμηθείας — λοιπῆς* om. F ‖ *καὶ* om. BU ‖ post *ὀχυρώσεως* ⟨*τὰ ἐκεῖ*⟩ suppl. ex s? **9** *ἐπεὶ*] *ἐπεὶ δὲ* F **10** *περὶ*] *ἐπὶ* b ‖ *χῶρον*] *τόπον* B ‖ *ἀφῖκτο*] *ἀφίκετο* F **12** *σύνταγμα — Βουλγάρων* marg. praeciso om. U **14** *τοὺς Βουλ-* particula fol. abscissa om. B ‖ *βάλλωσιν*] *βάλωσιν* F ‖ *τῶν* om. A **19** *γοῦν*] *οὖν* U **20** *αὐτοὺς* A *ἑαυτοὺς* O ‖ *σταδαίαν δὲ*] *σταδαίαν* B *σταδιαίαν* ab **21** *κατεναντίον κεκτημένους* GU *κατ' ἐναντίον κεκτημένους* AF *κεκτημένους κατεναντίον* B ‖ *κατ' αὐτοὺς*] *καθ' αὐτοὺς* B **23** *ἐκεῖσε*] *ἐκεῖθεν* B **24** *οἱ δ'*] *οἱ δὲ* ab **25** *τούτοις* post *βασιλέως* pos. B ‖ *περὶ*] *παρὰ* F

τῷ ἀθρόῳ διαταραχθέντες τῆς ἀκοῆς, καὶ ὡς αἴφνης αὐτοῖς ἐπεισπέπτωκε τὰ δεινά, ἕκαστος ὡς εἶχεν ἵππου τοῦ ἐφευρεθέντος αὐτῷ σχεδὸν ἐπιβάς, φεύγειν ὥρμησαν. ἐπεὶ δὲ καὶ νὺξ ὑπῆρχεν ἀσέληνος, καθ' ἣν ἡ φυγή, καὶ δυσχερὴς ὁ τόπος καὶ τὰ τῶν ὁδῶν δυσδιάγνωστα, ἔπιπτον μὲν ἐξ ἵππων ἔνιοι, ἕτεροι δὲ αὐτοὺς κατεπάτουν καὶ 124 ed. I *ἔφθειραν, καὶ ἄλλοι μὲν τῶν ἐφεστρίδων ἀπεσφενδονοῦντο κατὰ κρημνῶν, ἄλλοι δὲ ἄλλως τέλος δύστηνον ἀπελάμβανον, ὡς ὀλίγους ἐξ αὐτῶν διασωθέντας εἰς τὴν Βουλγάρων ἀφῖχθαι. τότε δὴ καὶ ὁ προϊστάμενος αὐτῶν Δραγωτᾶς, ὁ καὶ προεξάρχων τῆς ἀπιστίας, ἵππων ποσὶν ἅπαν τὸ σῶμα συντέθλασται καὶ τριταῖος τὴν αὑτοῦ ψυχὴν ἐξεφύσησεν. ὁ μὲν οὖν βασιλεὺς τῆς νυκτὸς ἐκείνης τὸ ἄστυ καταλαβὼν τοῖς ἐκεῖσε φυλάττουσι ξυνωμίλησε, κἀκεῖνοι ἀσπασίως τε τὸν αὐτοκράτορα ὑπεδέξαντο καὶ κρότοις ἐπῄνουν καὶ εὐφήμοις λόγοις ἐκύδαινον καὶ ἀετὸν ταχὺν κατωνόμαζον.*

59. *Τὰ ἐκεῖσε μὲν οὖν, ὡς ἦν εἰκός, οἰκονομήσας ὁ* Ephraem. *βασιλεύς, καὶ τὰς γυναῖκας καὶ τοὺς παῖδας τῶν ἀποστη-* ed. B. v. 901 *σάντων ἐξορίσας τοῦ ἄστεος, πάντα δὲ τὰ αὐτῶν χρήματα δημοσιευθῆναι κελεύσας, ἀπάρας τοῦ Μελενίκου ἐς τὴν Θεσσαλονίκην ἀφίκετο, κἀκεῖθεν τὸν Βαρδάρειον διαπεράσας καὶ τὰ Βοδηνὰ παραμείψας ὀλίγον ἐκεῖσε τὰς σκηνὰς* 125 ed. I *ἔπηξεν. ἐνόσησε δὲ νόσημα ἑδρικόν· τοῦτο δὲ καὶ ἐπιδήμιον τοῖς ἐκεῖσε στρατεύμασιν ἐγεγόνει. διακαρτερήσας οὖν ἐκεῖσε μικρὸν ὅσον ῥαῖσαι τὴν νόσον, περὶ τὸν Πρίλαπον ὥρμησεν. ἐκεῖσε γοῦν προσηκόντως συσκευασάμενος καὶ μηχανήματα προσλαβόμενος καὶ ἁμάξαις τὰς ἑλεπόλεις*

---

1 *τῷ ἀθρόῳ*] *τὸ ἀθρόον* A **5** *δυσχερὴς—ὁδῶν δυσ-*] marg. praeciso om. U **7** *ἔφθειραν*] *ἔφθειρον* em.? ‖ *μὲν* om. A **9** *εἰς* A *ἐς* O **10** *ἀφῖχθαι* A *χωρῆσαι* O ‖ *δὴ*] *δὲ* F ‖ *ὁ προϊστάμενος*] *προϊστάμενος* ab **12** *συντέ-* particula fol. abscissa om. B **15** *τε* om. A *μὲν* F **16** *ἐπῄνουν*] *ἐποίουν* U ‖ *εὐφήμοις*] *ἐφήμοις* U *εὐφήμουν* F **18** *μὲν* om. B
20 *ἄστεος*] *ἄστεως* ab **22** *Βαρδάρειον* scripsi *βαρδάριον* O
24 *ἑδρικόν—τοῖς* marg. praeciso om. U **26** *περὶ*] *ἐπὶ* b
27 *γοῦν*] *οὖν* B *δὲ* U ‖ *προσηκόντως*] *προσηκότως* U

συγκομισάμενος ἐς τὸν Βελεσὸν ἐχώρει πολιορκῆσαι τοῦτον καὶ τῆς τῶν ἐχθρῶν χειρὸς ἐξελεῖν. οἱ δὲ καὶ μόνον τῇ τοῦ βασιλέως ἐφόδῳ καταβροντηθέντες καὶ μηδὲ ἀναμείναντες ἀναστῆναι μηχανήματα, εἰς συνθήκας ἐλθόντες ἐφ' ᾧ μηδέν τι παθεῖν δεινόν, αὐτοῖς δὲ ὅπλοις καὶ πράγμασι τοῦ ἄστεος ἐξελθεῖν, τοὺς ὅρκους πρὸς τοῦ βασιλέως λαβόντες ἐξῄεσαν τοῦ φρουρίου. ὁ δὲ βασιλεὺς ἐπείπερ αὐτοὺς ἐθεάσατο παμπόλλους μὲν τὸν ἀριθμὸν — εἰς γὰρ πεντακοσίους ἠρίθμηντο — εὐμεγέθη δὲ κεκτημένους τὰ σώματα καὶ ἀγαθοὺς τὰς μορφάς, ἐπὶ τῇ πράξει μεταμεμέληται, εἰ τοσούτους καὶ τοιούτους ἐάσει πρὸς τὴν τῶν ἐχθρῶν ἀφικέσθαι καὶ ἐναντίους γενέσθαι Ῥωμαίοις· ὑπὸ δὲ τῶν ὅρκων ἀναγκασθεὶς ἀπέλυσε σφᾶς αὐτοὺς ἀποδοὺς τὴν ἐλευθερίαν.

Ἐκεῖθεν οὖν μετὰ πάσης τῆς στρατιᾶς ὁρμήσας διὰ τῆς Νευσταπόλεως τὴν πορείαν ἐποιεῖτο. ἄνυδρος δέ ἐστιν ὁ τόπος καὶ ἄοικος καὶ πλήθει στρατευμάτων δυσβάδιστος. ἄρτου γοῦν ἐν ἐνδείᾳ ἐν οὐ μετρίαις ἡμέραις διῆγεν ἡ στρατιά, καὶ δυσὶν ἡμέραις οἱ πλείους τῶν ἵππων ὑπῆρξαν ὕδατος ἄγευστοι. τὸ γοῦν τῆς Στρουμμίτζης παραμείψαντες ἄστυ καὶ διὰ τῶν τοῦ Μελενίκου χώρων βαδίσαντες εἰς τὰς Σέρρας καὶ αὖθις ἀπῄειμεν. ἔνθα καὶ γραφὰς ὁ αὐτοκράτωρ δεξάμενος ἐκ τῶν τῆς ἀνατολῆς
126 ed. B. μερῶν πρὸς τοῦ προσφιλοῦς αὐτοῦ πεμφθείσας Μουζάλω-

---

1 πολιορκῆσαι] πολιορκήσων F ‖ τοῦτον om. B 3 καταβροντηθέντες] καταβροντηθέντες ταῖς ἀκοαῖς F 4 ἀναστῆναι] ἀναστῆσαι F ‖ μηχανήματα A μηχάνημα O 5 πράγμασι] πράγμασιν ab 6 ἄστεος] ἄστεως ab 9 εὐμεγέθη — 122,7 μάλιστα fol. amisso des. F 10 -τα καὶ ἀγα- particula fol. abscissa om. B corr. ab ‖ ἀγαθοὺς] ἀγαθὰς H 12 post ἐχθρῶν add. χώραν H 13 ἀποδοὺς om. B 15 ἐκεῖθεν — 119,26 προσκοπήσας fol. amisso des. U 16 Νευσταπόλεως] in εὐτζαπόλεως mut. sec. m. G εὐτζαπόλεως H 17 ἄοικος] ἄνοικος ab ‖ πλήθει] πλήθους A 18 pr. ἐν om. H ‖ οὐ] οὕτω A 20 ὕδατος post ἄγευστοι pos. B 21 καὶ — βαδίσαντες in marg. sec. m. add. H ‖ τῶν] τὴν B corr. ab 22 εἰς A ἐς O 23 ἐκ om. A 24 πεμφθείσας] πεφθείσας H ‖ post πεμφθείσας add. μεγάλου δομεστίκου τοῦ BG

νος, ὡς τὰ τῶν Μουσουλμάνων πρὸς τῶν Ταχαρίων κυμαίνεται, ἐπέτεινε τὴν ὁδὸν καὶ μακροτέρας τὰς ἡμερησίους ἐποιεῖτο πορείας. ἐπεὶ δὲ τὸν Ἕβρον ἐπεφθάκει, ὃν καὶ Μαρίτζαν ὁ χυδαῖος κατονομάζει λαός, καὶ μὴ οὕτως ἔχειν τὰ ἐν τῇ ἕῳ μεμαθηκὼς πράγματα, τῆς ταχυτῆτος ἀνιεὶς σχολαιότερον ἐπορεύετο καὶ τοὺς συνήθεις βασιλικοὺς ἐποιεῖτο σταθμούς· παρεκκλίνας δὲ τῆς πρὸς ἕω κατ᾽ εὐθεῖαν ἐς τὸ Διδυμότειχον ἀφίκετο κἀκεῖθεν εἰς τὴν Ἀδριανοῦ.

Καὶ ἐπεὶ μηδὲν ἐναπολέλειπτο τῶν παρὰ τῶν Βουλγάρων κατασχεθέντων φρουρίων καὶ ἄστεων — πάντα γὰρ ὁ βασιλεὺς ἐχειρώσατο — πλὴν δυοῖν, ἑνὸς μὲν φρουρίου πάνυ σμικροτάτου ἐν τοῖς βουνοῖς κειμένου τῆς Ἀχριδοῦ καὶ καλουμένου Πάτμου, ὃ καὶ εὐχερῶς πάνυ ὁ Φιλανθρωπηνὸς Ἀλέξιος εἷλεν ὁ Δούκας, καταλειφθεὶς πρὸς τοῦ βασιλέως εἰς φυλακὴν τῶν ἐν Ἀχριδῷ, καὶ ἄστεος ἄλλου Τζεπαίνης ὀνομαζομένου, λίαν τυγχάνοντος ὀχυροῦ καὶ περὶ τὴν ξυμβολὴν τελοῦντος τῶν δύο μεγίστων ὀρῶν, τοῦ τε Αἵμου καὶ τῆς Ῥοδόπης, καθ᾽ ὧν μέσον ὁ Ἕβρος ῥεῖ ποταμός, ἐν δεινῷ μὲν ἐποιεῖτο ὁ αὐτοκράτωρ, ὅτι μὴ καὶ αὐτῶν ὡς τῶν ἑτέρων ἐκράτησεν, ἀλλ᾽ ἔτι τῆς χειρὸς αὐτοῦ κρείττω φανέντα ἔξω τυγχάνουσι· μάλιστα δὲ ὑπὲρ τῆς Τζεπαίνης ἐδυσφόρει τὰ μέγιστα. ἔσπευδε μὲν οὖν καὶ κατὰ ταύτης στρατεῦσαι καὶ ὡς εἶχεν ἰσχύος ἀποπειράσασθαι. ἡ μὲν οὖν ὥρα τοῦ θέρους ἤδη παρῄει, καὶ τὸ μετόπωρον ἐγγὺς ἦν καὶ τοῦτο παραδραμεῖν. ὁ δὲ μηδέν τι τοῦ καιροῦ φροντίσας μηδὲ τὸ τοῦ χειμῶνος προσκο- 127 ed. B.

---

4 κατονομάζει] ὀνομάζει GH post λαὸς pos. G 5 τῆς] τῇ G 7 παρεκκλίνας] παρακλίνας B 8 Διδυμότειχον H διδυμότοιχον O ‖ εἰς] ἐς Gab 9 ἐναπολέλειπτο] ἀπολέλειπτο H 10 -τασχεθέν- particula fol. abscissa om. B add. ab ‖ γὰρ om. a coni. b 11 δυοῖν om. H ‖ μὲν particula fol. abscissa om. B add. ab ‖ πάνυ — 11 βουνοῖς om. H 12 Ἀχριδοῦ] ἀχριδὼ πάνυ σμικροτάτου H 14 καταλειφθεὶς] καταληφθεὶς H 15 ἄστεος] ἄστεως ab 16 ὀνομαζομένου AH ὠνομασμένου BG ‖ ὀχυροῦ AH ἐχυροῦ BG 21 τυγχάνουσι] τυγχάνουσιν ab ‖ δὲ] δ᾽ sec. m. δὲ G 22 ἔσπευδε AH ἔσπευσε BG 23 ἀποπειράσασθαι] ἀποπειρᾶσθαι B 24 οὖν om. A ‖ ἤδη] ἤδει H 25 μηδέν] μηδέ A 26 προσκοπήσας] προσωπήσας ab

πήσας δριμύ — ἑνὸς γὰρ καὶ μόνου τοῦ τὸ οἰκεῖον ἀποπλῆσαι βούλημα ἐστοχάζετο — τὴν στρατιὰν πᾶσαν ἐκ τῆς Ἀδριανοῦ κινήσας ἁμάξας τε παμπόλλας συλλεγῆναι προστάξας ἁπανταχόθεν τῆς τῶν Μακεδόνων χώρας, τὰς μὲν ἐπὶ τῷ τὰ μηχανήματα καὶ τὰς ἑλεπόλεις φέρειν, τὰς δὲ ἐπὶ τῷ διακομίζειν τὰ ζωαρκῆ τοῦ στρατεύματος, καὶ συναθροισθῆναι κελεύσας πληθὺν ἀνδρῶν πεζῶν τοξοτῶν καὶ κορυνοφόρων οὐκ εὐαρίθμητον, ἐπεὶ πάντα καλῶς αὐτῷ καὶ ὡς ἔδοξε κατηρτίσατο, τῆς Ἀδριανοῦ ἀπάρας κατὰ τῆς Τζεπαίνης ἐχώρει. τέσσαρας δὲ σταθμοὺς παρήμειψεν ὁ στρατός, καὶ κατὰ τὸν τόπον, ὃν Μακρολιβάδα κατονομάζουσιν, ἐτητύμως πρὸς τὸ σχῆμα τὴν κλῆσιν οἱ πρώτως ἰδόντες θέμενοι, δεινὸς συμπίπτει σφίσι χειμών. ἐξ ἑσπέρας γοῦν ἀρξάμενος, δι' ὅλης τῆς νυκτὸς τὴν σφοδρότητα τοῦ ψύχους καὶ τοῦ ἀνέμου προσεπιτείνας τὸ βίαιον, πολλῇ τε χιόνι τῆς γῆς ἐπηλυγάσας τὴν ἐπιφάνειαν, ἕωθεν τῷ βασιλεῖ πολλὴν προυξένησε τὴν δυσχέρειαν. ὅ τε γὰρ τόπος ἄοικος ἦν καὶ ἐγγύτερον ἐτύγχανον οἱ πολέμιοι, καὶ ἡ προσδοκωμένη σπάνις τῶν ἀναγκαίων οὐχ ἧττον τὴν ψυχὴν ἐπίεζε· τοῦτο γὰρ καὶ μᾶλλον δεινότερον καθέστηκεν ἐν στρατεύμασιν. ἐς τοσαύτην γοῦν τὴν δυσφορίαν συνελαθεὶς τοὺς ἡγεμόνας συνηθροίκει τῶν στρατευμάτων, οὐ τῶν Ῥωμαϊκῶν μόνων ἀλλ' ἤδη καὶ τῶν ἐξ ἔθνους Λατίνων τε καὶ Σκυθῶν, καὶ τούτους τί δεῖ ποιεῖν ἠρωτήκει. πάντες γοῦν σχεδὸν ἐβουλεύσαντο ἐς τὴν Ἀδριανοῦ τὴν ἐπιστροφὴν ποιήσασθαι. ὁ δὲ τὴν μὲν βουλὴν αὐτῶν οὐκ ἀπέπεμψεν, ἀλλὰ πρὸς αὐτοὺς εἰρήκει ὡς 'ὑμεῖς μὲν ὅπερ

---

1 μόνου] μόνον H ‖ ἀποπλῆσαι] ἀποπληρῶσαι H 4 ἁπανταχόθεν] ἀπὸ πανταχόθεν B 6 τῷ om. H ‖ τὰ] τὸ τὸ U 7 ἀνδρῶν post πεζῶν pos. BG 8 αὐτῷ] αὐτοῦ G 10 ἐχώρει] χωρεῖ U ‖ τέσσαρας A τέτταρας O 12 ἐτητύμως om. in rasura H 13 συμπίπτει] ἐμπίπτει U nescio an recte 14 γοῦν] οὖν B γὰρ U 15 τοῦ om. U ‖ προσεπιτείνας post βίαιον pos. U 20 μᾶλλον] μόνον H 23 μόνων A μόνον O 25 γοῦν] δὲ A οὖν U ‖ ἐπιστροφὴν A ὑποστροφὴν O 27 ἀπέπεμψεν in ἀπέπεμψαν pr. m. H ‖ ὑμεῖς] ἡμεῖς Ha

κρεῖττον καὶ συμφέρον ἔδοξε καλῶς ἐβουλεύσασθε· εἰ δὲ καὶ αὐτὸς ἕτερόν τι σὺν θεῷ νοήσαιμι, οὐκ ἂν δέξησθε 128 ed. B. *τοῦτο ὡς ἀπὸ δεσπότου νουνεχοῦς εἰρημένον καὶ ὑμῶν ὡς δέον προνοουμένου;' ξυνέφησαν ἅπαντες ὡς 'ὅπερ ἂν τῷ σῷ δόξειε κράτει, στερκτὸν αὐτὸ καὶ ἀσπαστὸν λογισαίμεθα.' τούτους μὲν οὖν πάντας ἀπέλυσεν ὁ βασιλεὺς εἰς τὰς σφετέρας ἐπιέναι σκηνὰς ἐφ' ᾧ καὶ τροφῇ διὰ τὸν χειμῶνα χρήσασθαι, αὐτὸς δὲ εἰς τὸν αὐτοῦ κοιτῶνα εἰσιὼν μετὰ τῶν περὶ αὐτὸν ἐβουλεύετο τί μᾶλλον χρὴ ποιεῖν. τινὲς μὲν τὴν τῶν ἔξωθεν βουλευσαμένων βουλὴν εἰς ἔργον ἐβουλεύοντο θεῖναι, ἄλλοι δέ, οἷς καὶ τὸ κρεῖττον διανοηθῆναι τῷ βασιλεῖ διακέκριται, τοὐναντίον εἰρήκασιν. ἔφησαν καὶ γὰρ 'ὅση μὲν ὁδός ἐστιν ἡμῖν ὄπισθεν εἰς τὴν Ἀδριανοῦ, τοσαύτη καὶ ἔμπροσθεν εἰς τὸ τοῦ Στενιμάχου ἄστυ καθέστηκε· καὶ ὥσπερ ἐκεῖ τῶν χρειωδῶν εὐμοιρῆσαι ἔχομεν, οὕτω δὴ καὶ εἰς τὸν Στενίμαχον. οὕτω γοῦν πράξαντες οὐ δόξαιμεν τοῖς πολεμίοις οὔτε δειλίᾳ τῇ πρὸς αὐτοὺς οὔτε μὴν τῇ τοῦ χειμῶνος δυσχερείᾳ τὴν ὑποστροφὴν ποιήσασθαι.' ἀρεστὸν γοῦν ἔδοξε τοῦτο τῷ βασιλεῖ, καὶ ἐπεὶ τῆς δριμύτητος καὶ ὁ χειμὼν ἔληγε καὶ ἡ τῆς χιόνος ἔστη φορά, τὴν ἐπιοῦσαν τὸ ἀνακλητικὸν ἠχῆσαι προσέταξεν. ἐκεῖθεν οὖν τὰς συντάξεις τῶν στρατευμάτων λαβὼν ἀπῄει ἐς τὸν Στενίμαχον. κἀντεῦθεν οὖν τὸ σύμπαν ἐνσιτίσασθαι κελεύσας στράτευμα κατευθὺ τῆς Τζεπαίνης ἐχώρει.*

Κατηντήκει γοῦν ἐς πόλιν ἐπικεκλημένην Βατκούνιον, ἱκανὰς ἡμέρας μεγίστη ἐξαρκέσαι δυναμένην εἰς ζωάρκειαν

---

3 *νουνεχοῦς*] *νουνεχῶς* G **4** *ὡς ὅπερ*] *ὥσπερ* Ba corr. b **5** *δόξειε*] *δόξει* U ‖ *κράτει*] *ἐκράττει* U **6** *οὖν* om. H **7** *ἐπιέναι*] *ἀπιέναι* ab recte? **10** *μὲν*] *μὲν οὖν*? ‖ *τῶν* om. a ‖ *βουλευσαμένων βουλὴν* om. H ‖ *ἐβουλεύοντο*] *ἐβούλοντο* B **11** *ἄλλοι*] *ἕτεροι* ab ‖ *καὶ τὸ*—137,11 *ληϊσάμενοι* om. U **13** *ὁδός ἐστιν ἡμῖν* A *ὁδὸς ἡμῖν ἐστιν* G *ἡμῖν ὁδός ἐστιν* B *ἡμῖν ἐστιν* H **14** *τὸ* om. H ‖ *καθέστηκε*] *καθέστηκεν* G **16** *εἰς*] *ἐς* G ‖ *τὸν*] *τὸ* H ‖ *γοῦν* om. B *γὰρ* H **19** *τοῦτο* om. B **22** *τὰς*—**23** *οὖν*] *αὐτὸν* H **23** *ἐς*] *εἰς* B **25** *ἐπικεκλημένην*] *ἐπικαλουμένην* H ‖ *Βατκούνιον*] *βακτούνιον* G *βακτάνιον* H **26** μεγίστη b μεγίστην O

στρατιᾷ. ἐκεῖθεν οὖν ἀπεστάλκει τὸν θεῖον αὐτοῦ τὸν 129 ed. B. Λάσκαριν Μανουήλ, μοναχὸν ὄντα καὶ Μάξιμον ὀνομαζόμενον, καὶ τὸν τοῦ ἀλλαγίου αὐτοῦ ἄρχοντα τὸν Μαργαρίτην Κωνσταντῖνον, κατοπτεῦσαι τὸν τόπον καὶ εἰ εὐχερεστέραν τὴν εἰς αὐτὸν πορείαν σχοίη τὸ στράτευμα. οἱ δὲ ἀπιόντες καὶ τὰ περὶ τοῦ τόπου κατασκοπήσαντες εὐχερῆ τὴν ἄνοδον τυγχάνειν τῷ βασιλεῖ κατήγγελλον, καὶ μάλιστα ὁ Μαργαρίτης Κωνσταντῖνος, καίτοι γε πολλῶν τῶν εἰδότων ἀντιλεγόντων. τοῖς γοῦν τούτων λόγοις πεισθεὶς ὁ βασιλεὺς μετὰ πάσης τῆς στρατιᾶς ἀνῄει. καὶ ἦν μὲν πάντῃ ἀνάντης ὁ χῶρος τὴν ἄνοδον, καὶ παγετὸς τὴν ὁδὸν πᾶσαν παχύτερός τε καὶ λεῖος βαδίσαι δυσχερεστέραν ἐποίει, συνηρεφῆ τε καὶ λάσια δένδρα περὶ τὴν ἀκρώρειαν ἦν. ἡ μὲν οὖν στρατιὰ τὴν νύκτα πᾶσαν ἐκείνην πυρκαϊὰς ἀνάψαντες ἐθερμαίνοντο· τῶν γὰρ πλειόνων οἱ ὑπηρέται μετὰ τῶν σκηνῶν αὐτῶν οὐκ ἠδυνήθησαν τοὺς σφῶν κυρίους εὑρεῖν. ἔκλαιον δὲ μικροῦ δεῖν κλαυθμὸν ἄπαυστον, εἰ καὶ ἄλυπον· ὁ γὰρ ἐκ τῶν πυρκαϊῶν καπνὸς ὑπὸ τῆς τῶν δένδρων πυκνότητος συνεχόμενος καὶ διέξοδον εἰς ἐλεύθερον ἀέρα μὴ εὑρίσκειν δυνάμενος, κάτω ὑπενόστει καὶ τοὺς ὀφθαλμοὺς εἰς ἄκρον ἔδακνε καὶ τῶν ὀφθαλμῶν ἐκπιέζειν κατηνάγκαζε δάκρυον. τοῦτο καὶ ὁ βασιλεὺς ἐπεπόνθει. ὡς δὲ ἡ νὺξ παρῄει καὶ ἡμέρα ἐπέλαμψεν, ἀνεπιχείρητον εἰς πολιορκίαν εἶναι τὸ ἄστυ γνωρίσας, κατιέναι προσετετάχει ἐς τὸ πεδίον τὴν στρατιάν. καὶ οἱ μὲν ἀπῄεσαν, ὁ δὲ φύλαξ ὄπισθεν μετὰ μετρίων ἐναπελείφθη στρατιωτῶν καὶ τούτων τῶν περὶ αὐτόν τε καὶ νεωτέρων. κατόπισθεν δὲ καὶ αὐτὸς κατῄει πεζὸς ὡς καὶ οἱ λοιποί· οὐδὲ γὰρ ἦν δυνατὸν ἱππότην βαδίσαι περὶ τὸ κάταντες τοῦ βουνοῦ.

---

1 στρατιᾷ b στρατιάν O 5 εἰς] πρὸς B 6 τοῦ τόπου] τὸν τόπον B τούτου H 7 τυγχάνειν ante τὴν pos. BFG om. H ‖ κατήγελλον] κατήγγελον H 9 τούτων] τούτου B 11 χῶρος] τόπος F 12 παχύτερός] πολύτερός ab rect. coni. b ‖ δυσχερεστέραν] δυσχερέστερον A 14 νύκτα] νύκταν F 20 ὑπενόστει] ὑπερενόστει G 25 ἐς] εἰς F 27 τῶν περὶ αὐτόν] περὶ αὐτόν B περὶ αὐτῶν ab ‖ κατόπισθεν] κατόπισθε F 29 ἱππότην] ἱππίτην B corr. ab

60. Ἐκεῖσε γοῦν ἡμέρας διανύσας δύο καὶ λείαν τὴν 130 ed. B. κώμην πεποιηκὼς τὸ Βατκούνιον, ἐς τὴν Ἀδριανοῦ καὶ αὖθις ὑπέστρεψε κἀκεῖθεν εἰς τὸ Διδυμότειχον. αὐτόθι γοῦν εἰς ἡγεμόνας τάξας τόν τε Λάσκαριν Μανουήλ, ὃν καὶ πρωτοσεβαστὸν κατωνόμασεν, ἀνθρώπιον ἀφελέστατον καὶ κακῶς εἰδὸς στρατηγεῖν, καὶ τὸν Μαργαρίτην Κωνσταντῖνον, ὃν προφθάσας ὁ λόγος ἐδήλωσεν, ἄνδρα ἀγροῖκον καὶ ἐξ ἀγροίκων γεγενημένον, μάζῃ καὶ πιτύροις ἀνατεθραμμένον καὶ λαρυγγίζειν μόνον εἰδότα — ἐκ Νεοκάστρων δὲ οὗτος ὥρμητο, καὶ ἐτέλει τὰ πρῶτα ἐν τῇ τοῦ θέματος τουτουὶ στρατιᾷ, εἶτα καὶ τζαούσιος γέγονε. δόξαν δὲ παρασχὼν τῷ βασιλεῖ Ἰωάννῃ ὡς ἐντρεχής ἐστι καὶ ὑπηρετεῖν ἱκανὸς ἐν τοῖς ἀνακτόροις, ἐκεῖθεν ἐκβαλὼν τζαούσιον τῆς αὐτοῦ πεποίηκε τάξεως, εἶτα αὐτῷ καὶ τὸ μέγας προσέθετο. ὁ δὲ βασιλεὺς Θεόδωρος ἄρχοντα τῆς αὐτοῦ κατωνόμακε τάξεως, οὔπω μέχρις αὐτοῦ τὸ τοιοῦτον ἔν τινι γεγονός, ὁ δὲ καὶ τὸ μέγας προσεπέγραφε τῷ ὀνόματι — τούτους εἰς φυλακὴν τῆς χώρας εἴασε καὶ ἑτέρους ἡγεμόνας οὐκ ὀλίγους. καταλελοίπει δὲ μετ' αὐτῶν καὶ ἀξιόλογον στράτευμα, προσετετάχει δὲ αὐτοῖς μηδ' ὅλως εἰς μάχην ἐγκαταστῆναι τοῖς πολεμίοις, εἴπερ κατὰ τούτων ὁρμήσαιεν, Σκύθας προσλαβόντες εἰς συμμαχίαν· τοῦτο γὰρ ἡ φήμη προύλεγε· καὶ εἰς σκύλευσιν δὲ εἰ κινηθεῖεν τῆς 131 ed. B. χώρας, αὐτοὺς ἀτρεμεῖν, ἔκ τε τοῦ Διδυμοτείχου τὴν ἀσφάλειαν ἔχοντας — ἐχυρὸν γὰρ τὸ ἄστυ — καὶ ἐκ τοῦ ποταμοῦ Ἕβρου — μέσον γὰρ αὐτῶν στρατοπεδεύειν τούτους ἐκέλευσεν — εἰ μή που ὀλίγη τις κατὰ τῆς χώρας ἐπεισφρήσειε στρατιά· κατὰ ταύτης γὰρ ποιήσασθαι θαρρούντως τὴν ἔφοδον.

---

2 Βατκούνιον] βασκούνιον F 3 Διδυμότειχον scripsi διδυμότοιχον O 5 κατωνόμασεν] ἐπωνόμασεν B ‖ ἀνθρώπιον] ἄνθρωπον F 6 pr. καὶ om. B ‖ εἰδὸς] εἰδότα F 7 ἀγροῖκον AG ἄγροικον B ἄδικον F 8 γεγενημένον] γεγεννημένον ab 9 λαρυγγίζειν] λαρυγκίζειν B corr. b 10 τὰ πρῶτα φέρων? 11 γέγονε] γέγονεν ab 13 ἐκβαλὼν] ἐκλαβὼν? 17 μέγας] μέγα G ‖ προσεπέγραφε] προσέγραφε ab προσεπέφθακε F 19 μετ' αὐτῶν om. F 20 εἰς] ἐς ab 24 Διδυμοτείχου F διδυμοτοίχου O 25 ἐχυρὸν] ὀχυρὸν o ex ε mut. F

Οὑτωσὶ γοῦν ταῦτα πάντα καταρτίσας ὁ βασιλεὺς τὸν Ἑλλήσποντον διαπεραιωθεὶς περὶ τὴν Λάμψακον τὴν σκηνὴν ἔπηξε, κἀκεῖσε τοὺς αὐτοῦ ὀφφικίοις τετιμήκει καὶ ἀξιώμασι. καὶ τὸν μὲν Μουζάλωνα Γεώργιον τὸν ὑπὲρ πάντας ἄλλους τούτῳ φιλούμενον, ὄντα μέγαν δομέστικον, πρωτοσεβαστόν τε καὶ πρωτοβεστιάριον καὶ μέγαν στρατοπεδάρχην τετίμηκε, τὸν δὲ αὐτοῦ ἀδελφὸν Ἀνδρόνικον, πρωτοβεστιαρίτην ὄντα, μέγαν δομέστικον κατωνόμασε, τὸν δὲ Ἄγγελον Ἰωάννην, μέγαν πριμμικήριον τελοῦντα, τετίμηκε πρωτοστράτορα, ἀνδράρια μηδενὸς ἢ τριῶν ὀβολῶν ἄξια, παιδιαῖς ἀνατεθραμμένα καὶ κυμβάλων μέλεσί τε καὶ ᾄσμασι, πρὸς οὓς τὸ Ὁμηρικὸν εὐστόχως ἂν ἀπετόξευσε· ʽψεῦσταί τ᾽ ὀρχησταί τε χοροτυπίῃσιν ἄριστοι,ʼ πρωτοβεστιαρίτην δὲ τὸν Καρυανίτην πεποίηκε. ταύταις ταῖς παιδιαῖς συμπέπλεγμαι καὶ αὐτός, ἄκων νὴ τὴν Θέμιν καὶ ὡς οὐκ ἐχρῆν βιασθείς, καὶ συνεφάνην τοῖς παίζουσι δυστυχέστερον παίγνιον. ἠλλοίωσε γὰρ ὁ κρατῶν κἀμοὶ τοὔνομα, καὶ οὐκ εἴασεν ἀσυνάπτως Ἀκροπολίτην κατονομάζεσθαι. ἀλλὰ ταῦτα μὲν παρῆλθε, διεξήει δὲ τὰ περὶ τούτων ὁ τῆς ἱστορίας λόγος, ἵνα τὰ μετὰ ταῦτα σαφέστερον ἀπαγγείλῃ. ἐν τῇ Λαμψάκῳ γοῦν μικρὸν διὰ ταῦτα προσκαρτερήσας ὁ αὐτοκράτωρ, καὶ τὰς τοῦ Χριστοῦ πανηγύρεις τῆς τε γέννας καὶ τῶν φώτων ἀποπληρώσας, διὰ μετρίων πάνυ τῶν
Ephraem. ἡμερῶν ἐπεφθάκει τὸ Νύμφαιον.

ed. B. v. 9064 61. Ἐκεῖσε γοῦν παραχειμάσας, ἐπεὶ τὸ ἔαρ ἐπέλαμψε,
1256 πολλὴν συλλεξάμενος στρατιὰν — οὐ γὰρ μόνους τοὺς τεταγμένους ὀπηδεῖν προσέταττεν, ἀλλὰ καὶ τοὺς μηδ᾽ ὅλως

---

3 τετιμήκει] τετίμηκε B 5 πάντας A τοὺς O ‖ ὄντα post δομέστικον pos. F 6 τε καὶ om. A 9 τελοῦντα] ὄντα F 10 πρωτοστράτορα] πρωτοστράτωρα AB ‖ ἀνδράρια — 12 ᾄσμασι om. BG 11 παιδιαῖς] παιδειαῖς H ‖ κυμβάλων] σκυμβάλων FH 12 πρὸς οὓς — 13 ἄριστοι A om. O 14 Καρυανίτην] καριανίτην A ‖ πεποίηκε AG πεποίηκεν FH τετίμηκεν B ‖ ταύταις — 18 κατονομάζεσθαι A om. O 18 ἀλλὰ — 19 παρῆλθε om. G ἀλλὰ — 20 ἀπαγγείλῃ om. FH 19 παρῆλθε] οὕτως B 22 τῆς τε γέννας] τῆς γέννας A 26 μόνους A μόνον O 27 ὀπηδεῖν] ὀπαδεῖν ab, α ex η *sec. m. B*

ἐν τάξει ποτὲ τελοῦντας τῆς στρατιᾶς· αὐτίκα γὰρ τοὺς ἐξυπηρετοῦντας τοῖς βασιλεῦσιν ἐν θήραις ταῖς τε τῶν 132 ed. B. θηρῶν ἄγραις, ἐλάφων τε καὶ χοίρων, καὶ τοὺς δι' ἱεράκων θηρεύοντας, πάντας ἀπαξαπλῶς στρατιωτικοῖς συντέταχε τάγμασι. καὶ ἦν τὸ συνηγμένον πλῆθος πολύ, καὶ ἡ τοῦ κρατοῦντος δὲ ἀρχὴ ἠνάγκαζε τοὺς πλείους τῶν εἰωθότων φέρειν τι περιττότερον. οὕτω γοῦν πᾶσαν συναγηοχήκει τὴν στρατιάν. ὡς δὲ καὶ τὸν περσάρχην μὴ πράγματα ἔχειν παρὰ τῶν Ταχαρίων πρεσβείαν ἐξαποστείλας ἐμεμαθήκει, κατευθὺ πρὸς τὴν δυσμὴν ἐκ τῆς ἕω χωρεῖ· καλῶς γὰρ ἔχειν τὸν περσάρχην τῶν ἐκείνου πραγμάτων οἰόμενος καὶ ἀσφαλῶς μένειν, οὐδ' ὅλως περὶ τῇ ἑαυτοῦ κατὰ τὴν ἕω ἐδεδίει ἀρχῇ. τὴν πᾶσαν γοῦν συνηθροικὼς στρατιὰν μείζονα τῶν ποτὲ παρά τε πατρὸς αὐτοῦ βασιλέως καὶ τούτου συνειλεγμένων εἰς τὸ διαπεραιωθῆναι τὸν Ἑλλήσποντον, ἀφίκετο εἰς τὴν Λάμψακον, ἐλπίσας καὶ τοὺς κατὰ τὸ Διδυμότειχον καταλελειμμένους σώους τε εὑρεῖν κατὰ τὰ προστεταγμένα τούτοις καὶ οὐ σμικρὰν προσθήκην τῇ ἀμφ' αὐτὸν στρατιᾷ ἐμποιήσασθαι. τοὺς δὲ κακοβουλία καὶ τὸ παρακοῦσαι τῆς βασιλικῆς κελεύσεως ἔσφηλεν.

Ἐπεὶ γὰρ ὁ τῶν Βουλγάρων ἄρχων μακρότερον διάγειν τὸν βασιλέα ἐγίνωσκε, Σκυθικὸν στράτευμα εἰς σφετέραν 133 ed. B. συμμαχίαν προσκαλεσάμενος κατὰ τῶν τῆς Μακεδονίας χώρων ἐκπέπομφε κέρδους τε χάριν καὶ τῆς πρὸς Ῥωμαίους τινὸς ἐκφοβήσεως. ἠρίθμηντο δὲ περί που τὰς τέσσαρας χιλιάδας, ὡς οἱ εἰδότες ἔφασκον Σκύθαι· τινὲς μὲν οὖν καὶ πλείους, οἱ δὲ καὶ ἐλάττους ἔλεγον. οἱ μὲν οὖν Σκύθαι τὴν Ἀδριανοῦ παραμείψαντες τὰ περὶ τὸν ποταμὸν οὗ Ῥηγίνα τοὔνομα λείαν ἐποιοῦντο καὶ τὰ πέριξ τοῦ Διδυ-

---

2 ταῖς—3 χοίρων] θηρῶν F 2 τε om. B 4 θηρεύοντας—ἀπαξαπλῶς om. F 7 γοῦν] μὲν οὖν F 10 χωρεῖ A ἐχώρει O 12 περὶ] παρὰ AG ‖ ἑαυτοῦ] αὐτοῦ B 13 ἀρχῇ in ἀρχῆς sec. m. F ‖ συνηθροικὼς] συνηλικῶς F 15 συνειλεγμένων em. b συνειλεγμένην O Διδυμότειχον scripsi διδυμότοιχον O 18 σμικρὰν AG μικρὰν BF 26 μὲν om. A 28 οὗ eras. F 29 Ῥηγίνα] ῥιγήνα F ‖ τὰ om. F ‖ Διδυμοτείχου scripsi διδυμοτοίχου O

μοτείχου χωρία ἐσκύλευον. οἱ δὲ προλελεγμένοι στρατάρχαι τοῦ εἰς τὸ Διδυμότειχον καταλελειμμένου στρατεύματος, τῶν βασιλικῶν ἐπιλελησμένοι προστάξεων, καθοπλισθέντες κατὰ τῶν Σκυθῶν ἐφώρμησαν. οἱ μὲν οὖν Ῥωμαῖοι, οἷα ἔθος αὐτοῖς, δυσαχθέσιν ὅπλοις κατάφρακτοι ἦσαν, οἱ δὲ Σκύθαι κοῦφοι ὁπλῖται καὶ τόξοις χρώμενοι. μακρόθεν οὖν οὗτοι τοῖς βέλεσι τοὺς Ῥωμαίους ἔβαλλον καὶ τοὺς ἵππους ἐτίτρωσκον καὶ πεζοὺς τοὺς ἱππότας ῥᾳδίως ἐποίουν καὶ τέλος τρέπουσιν. ὁ μὲν οὖν Λάσκαρις Μανουὴλ ταχύτατον ἔχων τὸν ἵππον, ὃν καὶ Χρυσοπόδην ἐκάλεσε, φυγὰς εἰς τὴν Ἀδριανοῦ ᾤχετο· ὁ δὲ Μαργαρίτης Κωνσταντῖνος ἑάλω καὶ ἄλλοι πολλοὶ μετ' αὐτοῦ τῶν εἰς κεφαλὰς τεταγμένων τῆς στρατιᾶς, οὓς καὶ ἀπημπόλησαν τοῖς Βουλγάροις οἱ Σκύθαι. ὁ μὲν οὖν βασιλεὺς τὰ περὶ τούτου μαθὼν ἠνιάθη, ἔσπευδε δὲ διὰ τάχους περὶ τὸν τοῦ Βουλγαροφύγου χῶρον ἐλθεῖν, καὶ ἐπιτείνας τὸν δρόμον ὀξυτέραν ἐποίει τὴν κίνησιν. ἐπεὶ δὲ καὶ οἱ πευστῆρες ἔφασκον ἐγγὺς τυγχάνειν τὸ Σκυθικὸν στράτευμα, ἔνθα ἂν αὐτοὺς περιπολεῖν ἔλεγον, ἐκεῖσε καὶ πᾶσαν ἐκίνει τὴν στρατιάν. καὶ ἡμέρας μὲν μιᾶς πλείους τῶν τετρακοσίων διεξῄει σταδίων σταθ-
134 ed. B. μούς, οὐκ ἐνέκυρσε δὲ τούτοις· ἐμεμαθήκεσαν γὰρ καὶ οὗτοι τὴν ταχεῖαν τοῦ βασιλέως ἔφοδον, καὶ ὡς εἶχον ποδῶν ἔφυγον, καὶ πλείους δὲ αὐτῶν καὶ περιφανέστεροι τοῦ ἔθνους περί που τὰ μέρη τῆς Βιζύης ξίφους ἔργον ἐγένοντο. ἀποτυχὼν γοῦν τῆς ἐγχειρήσεως ταύτης ὁ βασιλεὺς περὶ τὸν ποταμὸν ὃς Ῥηγίνα καλεῖται τὴν σκηνὴν ἔπηξε, καὶ πᾶσαν ἐκεῖσε συνῆξε τὴν στρατιὰν εἰς πλῆθος οὖσαν πολύ.

Ephraem. ed. B. v. 9095 62. Ὁ μὲν οὖν τῶν Βουλγάρων ἄρχων, ἐπειδὴ μὴ διαπράξασθαί τι κατὰ Ῥωμαίων ἐδεδύνητο, τοῦ βασιλέως ἐπιδεδημηκότος μετὰ τοσούτων στρατευμάτων ἐν τῇ δυσμῇ

---

2 *Διδυμότειχον* scripsi *διδυμότοιχον* O ‖ *καταλελειμμένου*] *καταλελεγμένου* F 4 *ἐφώρμησαν*] *ἐξώρμησαν* F 9 *Λάσκαρις Μανουὴλ* A *μανουὴλ ὁ λάσκαρις* O 10 *εἰς*] *ἐς* G 14 *τούτου*] *τούτων*? 14 *ἔσπευδε* A *ἔσπευσε* O ‖ *περὶ*] *ἐπὶ* b 18 *ἂν* om. ab 20 *σταδίων* om. ab 23 *αὐτῶν* A *ἐξ αὐτῶν* O 27 *εἰς*—28 *πολύ* om. F 29 *οὖν* om. ab ‖ *ἐπειδὴ*] *ἐπεὶ* F

καὶ πεπλησιακότος τῇ ἑαυτοῦ, εἰς σπονδὰς ἐτράπετο, καὶ τὸν πενθερὸν αὐτοῦ τὸν Ῥῶσον Οὗρον, τοῦ ῥηγὸς Οὐγγρίας ἐπὶ θυγατρὶ τελοῦντα γαμβρόν, μεσιτεῦσαι τὰ εἰς εἰρήνην βεβούλευται. καὶ πρῶτα μὲν ἔστειλε πρέσβεις πρὸς τὸν βασιλέα προοικονομήσοντας τὴν εἰς αὐτὸν τοῦ Οὔρου ἄφιξιν ἔξω πτοίας τε εἶναι καὶ ἐντίμως πρὸς τοῦ βασιλέως δεχθῆναι. καὶ γέγονε ταῦτα, καὶ ὁ Οὗρος εἰς τὸν βασιλέα ἀφίκετο. ἐδέχθη οὖν παρὰ τοῦ αὐτοκράτορος ἀσμένως τε καὶ μετὰ τῆς προσηκούσης φιλοτιμήσεως καὶ οὗτός τε καὶ οἱ μετ' αὐτοῦ, καὶ τὴν εἰρήνην πεποίηκεν ἐπομοσάμενος δικαίῳ τε αὐτοῦ καὶ τοῦ γαμβροῦ αὐτοῦ τοῦ τῶν Βουλγάρων ἄρχοντος, ἀπολυθῆναι μὲν πρὸς τὸν βασιλέα τὸ 135 ed. B. τῆς Τζεπαίνης ἄστυ — τοῦτο γὰρ καὶ μόνον παρὰ τῶν Βουλγάρων κατείχετο ἀφ' ὧν ὁ βασιλεὺς Ἰωάννης ἐκράτει — εἰρήνην τε πρὸς Βουλγάρους ἔχειν τὸν βασιλέα, καὶ ἑκάτερα τὰ μέρη τοῖς παλαιτέροις ὁρίοις ἀρκεῖσθαι. ἐπεὶ γοῦν οὑτωσὶ ταυτὶ κατὰ γνώμην τετέλεσται τῷ κρατοῦντι, ὁ μὲν Οὗρος τοὺς τῆς ἀποχωρήσεως εἰπὼν λόγους ἐξήει βασιλικῶν χαρισμάτων τυχών· τὰ δ' ἦσαν εἰς εἴκοσι χιλιάδας ἀπαριθμούμενα ἁπάντων συνεισαγομένων εἰδῶν ἵππων τε καὶ ὑφασμάτων καὶ λοιπῶν· ὁ δὲ βασιλεὺς διεκαρτέρει ἐν τῷ τῆς Ῥηγίνης τόπῳ, τὴν τῆς Τζεπαίνης περιμένων ἀπόλυσιν.

63. Συμβέβηκε δέ τι ἐν τούτοις τῷ τότε πρᾶγμα θαυμάσιον, μνήμης καὶ ἱστορίας ἄξιον. ἡμέρα ἦν τῶν ἐπιφανῶν τε καὶ ἑορτασίμων, καθ' ἣν τὴν Χριστοῦ μεταμόρφωσιν οἱ εὐσεβεῖς ἑορτάζομεν· καὶ ἐπεὶ ἔδει καὶ ἀμφὶ τὴν ἱερὰν μυσταγωγίαν, ὡς τὸ εἰωθός, παρεῖναι τὸν βασιλέα, εἰς ἀργίαν ὁ τοῦ ἀρίστου παρετάθη καιρός. ἠριστήσαμεν οὖν καὶ αὐτοί, καὶ μικρόν τι καθευδήσαντες ἀνηγέρθημεν· ἤδη δὲ ὁ ἥλιος τῷ ὁρίζοντι προσήγγισε τῆς δυσμῆς. ἔθος

---

2 *Οὐγγρίας*] *οὐγκρίας* B corr. ab **5** *προοικονομήσοντας*] *προοικονομήσαντας* B corr. ab **8** *οὖν* AF *γοῦν* BU **12** *τὸν*] *αὐτὸν* ab **15** *Βουλγάρους*] *τοὺς Βουλγάρους* B **16** *παλαιτέροις*] *παλαιοτέροις* F **17** *ταυτὶ* om. A **19** *τὰ δ'*] *τάδ'* G **21** *λοιπῶν*] *εἰδῶν λοιπῶν* A **24** *τῷ τότε* del.? **30** *οὖν* A *γοῦν* O **31** *προσήγγισε* A *προσήγγικε* F *προσήγγιζε* [illegible]

δὲ ὑπῆρχε τῷ βασιλεῖ περὶ δείλην ἑσπέραν ἐποχεῖσθαι καὶ σύμπαν διέρχεσθαι τὸ στρατόπεδον, καὶ ἀμφὶ τὸ τούτου τέρμα εἰς τόπον ἀγχώμαλόν πως τελοῦντα καὶ μικρὸν ὑπερανεστηκότα τῆς πεδιάδος ἀνέρχεσθαι καὶ τὴν ὅλην καθορᾶν στρατιάν, ἣν καὶ πόλιν κινουμένην ὠνόμαζε, πάσας τὰς Ῥωμαϊκὰς ἄλλας πόλεις φυλάττουσαν. τοῦτο δὲ οὕτως
136 ed. B. ἐποίει διηνεκῶς, καὶ ὁ φωσφόρος δὲ εἴπερ τὸν δυτικὸν εἰσδῦναι ὁρίζοντα ἔμελλεν, οὐ κατώκνει τοῦτο ἐργάσασθαι. τὸ δὲ τοῦ στρατοπέδου διάστημα ἀμφί που τὰ τεσσαράκοντα στάδια ἦν, εἰ μή γε καὶ πρός. ἔγωγε οὖν οὐκ ἀγαθῇ τύχῃ τότε χρησάμενος ὁ φιλοβασιλεύς τε καὶ μάταιος, πεπυσμένος ἱππότην εἶναι τὸν βασιλέα, τῆς ἡμιόνου ὡς εἶχον τάχους ἐπιβὰς δρομαῖος ἐφειπόμην αὐτῷ, οὐ τὸ τῆς ὥρας ἄωρον κατοπτεύσας, ὅπερ ἔδει. ἐφ' ἵππου δὲ ὁ βασιλεὺς ἐπιβὰς ταχύτερον ἐπορεύετο, ὡς δὲ εἶδέ με κατόπιν αὐτοῦ μὴ δυνάμενον ἐκείνῳ συνέπεσθαι, ὑπολαβὼν μή πως μακρύνας οὐχ ἕψομαι, εἰρήκει μοι· 'μηδ' ὅλως ἀπολειφθῇς, ἀλλὰ καὶ σχολαιότερον ἔρχου.'

Ἀπῄει γοῦν εἰς τὸν συνήθη τόπον, καὶ σὺν αὐτῷ οἱ ἀμφ' αὐτὸν λογάδες συνέστησαν, καὶ αὐτὸς σφίσι ξυνῆλθον ἑπόμενος, καὶ περιέστημεν κατὰ κύκλον πάντες. καὶ ὁ βασιλεὺς 'μεμαθήκατέ' φησι 'τῶν προσφάτως ἀπηγγελμένων ἡμῖν;' καὶ ἡμεῖς 'οὔκουν, ὦ βασιλεῦ.' καὶ ὁ βασιλεύς· 'ἄνθρωπός τις πρό τινος βραχείας ὥρας ἐλθὼν ἀπήγγειλέ τι τῶν ἀβουλήτων. τὸ δ' ἦν, ὡς ὁ Ῥῶσος Οὖρος ἡμᾶς ἐξηπάτηκε· χάριν γὰρ κέρδους ἐνταυθοῖ ἀφιγμένος τὴν μεσιτείαν τῆς εἰρήνης ἐψεύσατο καὶ ἐπίορκον ὤμοσε. φενάκη γοῦν ὑπῆρχε τὰ πάντα ἐκείνῳ ὅσα πεποίηκε, καὶ ἀπολογίαν εὐάφορμον ἔχει, ὥς φασι, πρὸς τὴν τῶν ὅρκων

---

1 ἐποχεῖσθαι] ἵππῳ ἐποχεῖσθαι? 3 ἀγχώμαλόν] ἀγχόμαλόν FG ‖ ὑπερανεστηκότα] ὑπανεστηκότι A ὑπανεστηκότα F 6 τοῦτο] τούτω B corr. ab 8 ἐργάσασθαι] ἐργάζεσθαι B 9 τεσσαράκοντα] τετταράκοντα G 11 τύχῃ τότε A τότε τύχῃ O 13 τάχους] τάχος F 14 ἄωρον om. F 16 πως] τι F 17 εἰρήκει μοι] εἰρήκε F 20 ξυνῆλθον] συνῆλθον B 25 τὸ δ'] τόδ' G 26 ἐνταυθοῖ] ἐνταυθὶ ab 27 ἐψεύσατο] διεψεύσατο F 28 ἐκείνῳ] ἐκεῖνα ab 29 εὐάφορμον] εὐάμορφον F ‖ πρὸς] περὶ F

διάλυσιν, ὅτιπερ ὁ τῶν Βουλγάρων ἄρχων ὁ τούτου γαμβρὸς τὴν ἐπὶ συμφωνίαις τοιαύταις εἰρήνην οὐ καταδέχεται. τί οὖν ὑμῖν δοκεῖ; ἆρ' ἀληθές ἐστι τοῦτο ἢ ῥῆμα πεπλασμένον πρὸς ψευδολόγου;' καὶ ἡμεῖς· 'οὐδ' ὅλως δοκεῖ πως' ἔφημεν 'ἀληθείας τὸν λόγον ἔχεσθαι· πάνυ γὰρ τυγχάνει 137 ed. B. οὗτος ψευδὴς καὶ ἀβέβαιος, ὅτιπερ ὁ 'Ρῶσος Οὗρος οὐ μόνον ὑπὲρ ἑαυτοῦ ἀλλὰ καὶ ὑπὲρ τοῦ γαμβροῦ αὐτοῦ τοῦ τῶν Βουλγάρων ἄρχοντος ἐπωμόσατο. πῶς οὖν ἐστὶ πεφυκὸς ἄνθρωπον ὄντα Χριστιανὸν ἐπιορκίᾳ τοιαύτῃ περιπεσεῖν;' καὶ ὁ βασιλεύς· 'ἡ τῶν χρημάτων ἴσως ἐπιθυμία παρέπεισεν ἂν αὐτὸν εἰς τοιαύτην ἐξολισθῆσαι κακίαν, καὶ ἡμεῖς οὐ μόνον τὴν τῶν Βουλγάρων ἀγάπην οὐκ ἔχομεν, ἀλλὰ καὶ τοσαῦτα ἐπὶ κενῆς καταναλώκαμεν χρήματα.' 'οὐμενοῦν' ἡμεῖς ἔφημεν 'ἀληθὲς τουτὶ καθέστηκε, βασιλεῦ.' καὶ ὁ βασιλεὺς ἰδίᾳ καὶ πρὸς ἐμέ· 'σὺ δὲ τί φάσκεις πρὸς ταῦτα;' καὶ αὐτός· 'οὑτωσί πως ἐν τούτοις ὡς καὶ οἱ ἄλλοι διάκειμαι, καὶ ἐπὶ πολὺ μᾶλλον ψεύδεσθαι τὸ λελεγμένον ἢ ἀληθεύειν οἴομαι. εἰ δέ, οἷα συμβαίνει ποτὲ καὶ ἐν ἐνίοις, καὶ ὁ Οὗρος οὑτοσὶ τοὺς ὅρκους ἠθετηκέναι βεβούληται, δόξας ἡμᾶς ἐξηπατηκέναι, ἀλλ' ἕξει μὲν οὗτος τὸ θεῖον καθ' ἑαυτοῦ πολέμιον, ἡμεῖς δὲ ὑπὲρ ἑαυτῶν τῆς ἀληθείας καὶ τοῦ δικαίου ὑπερμαχόμενον.' ταῦτ' εἴπομεν, καὶ ὁ βασιλεὺς τοῖς λελεγμένοις συνήνεσε, καὶ ὑποστρέφειν πρὸς τὰς σκηνὰς ἐφωρμήκαμεν· νὺξ γὰρ ἤδη, ἀλλ' ἡ σελήνη πανσέληνος οὖσα φῶς ἡμῖν παρεῖχεν ὁρᾶν.

Καὶ ὁ βασιλεὺς διερχόμενος 'τί ὑμῖν δοκεῖ περὶ τῶν λελεγμένων;' αὖθις ἠρώτα. καὶ ἡμεῖς 'ψευδὲς τοῦτο, ὦ βασιλεῦ.' τοῦτο δὲ οὐχ ἅπαξ οὐδὲ δὶς ἢ καὶ τρίς, ἀλλὰ καὶ πολλάκις πυθόμενος ἦν, οἷα ἐκεῖνος μικρόψυχος ἐν τοιαύταις ὢν περιστάσεσι. καὶ ἡμεῖς τὰς ἀποκρίσεις ἐξ ἴσου πρὸς τὰς πεύ-

---

3 ὑμῖν] ἡμῖν A 5 ἔφημεν] ἔφαμεν ab 8 ἐστὶ BF ἔστι A ἔστιν G 13 καταναλώκαμεν A κατηναλώκαμεν O 14 τουτὶ] τοῦτο F 15 ἰδίᾳ] ἰδίως F 16 post πως supr. l. sec. m. add. ἔφην F 19 οὑτοσὶ] οὑτωσὶ? ‖ βεβούληται] βεβούλευται ab 20 δόξας—ἐξηπατηκέναι om. F 23 λελεγμένοις] λεγομένοις F 26 ὑμῖν] ἡμῖν A ‖ λελεγμένων] λεγομένων A 29 οἷα—30 περιστάσεσι om. BG

σεις πεποιηκότες ἐσιωπῶμεν. ὁ δὲ καὶ πάλιν ἠρώτα. ἐπεὶ 138 ed. B. *δὲ τοὺς ἄλλους σιγῶντας ἑώρα, πρὸς μὲ τὸν λόγον ἀποστρέψας ἠρώτηκε· ʻσὺ δὲ τί φῄς πρὸς ταῦτα;ʼ τὴν τοῦ ὀφφικίου κλῆσιν προσθείς· ʻἡ τοιαύτη γὰρ ὑπόθεσις σοὶ ἁρμόττει καὶ ὡς σὴ καθέστηκε μάλιστα.ʼ ταυτὶ δὲ ἔλεγε πρόφασιν ὀργῆς ζητῶν ἐφευρεῖν. ἦν δʼ ἐγώ· ʻτίνος χάριν ἐστὶν ἐμή; εἰ γὰρ μὴ καλῶς πεποίηκα τὰς γραφὰς καὶ τοὺς ὅρκους τετέλεκα μηδὲ προσηκόντως αὐτόν τε καὶ τοὺς ἀμφʼ αὐτὸν ᾠκονόμηκα, σφάλμα τοῦτο ἐμὸν καὶ πταῖσμα μακρόν· εἰ δὲ πρεπόντως ταῦτα γεγένηται καὶ ὡς οὐκ ἄλλως ἐχρῆν, τί πρὸς ἐμὲ τὰ παρʼ ἐκείνου πρὸς ἀνατροπὴν τῶν γεγενημένων τελούμενα;ʼ καὶ ὁ βασιλεὺς — οὐκ οἶδʼ ὅπως· τὴν γὰρ αἰτίαν εἰρήκειν — πάλιν λέγει· ʻτί φῄς περὶ τῶν τοιούτων;ʼ καὶ αὐτός· ʻπολλάκις εἰρήκειν, ὦ βασιλεῦ, ὡς ἐπὶ πλέον μοι δοκεῖ τὸ εἰρημένον ψευδές, ἐπʼ ἔλαττον δὲ ἀληθές· τὸ δὲ ἐπὶ τοῖς ἀδήλοις ἀκριβῶς ἀποφαίνεσθαι οὔ μοι δοκεῖ ῥᾷον εἶναι.ʼ ἦ δʼ ἐκεῖνος· ʻἐν τοῖς ἀδήλοις ἐστὶ χάρις βεβαίως καὶ ἀκριβῶς ἀποφαίνεσθαι· ἐπὶ γὰρ τοῖς δήλοις καὶ οἱ ἀείδαροι λέγουσιν.ʼ ἦν δὲ ἐγώ· ʻἰδοὺ μετὰ τῶν ἀειδάρων καὶ ἡμεῖς συντετάγμεθα.ʼ καὶ ὁ βασιλεὺς χόλου πλησθείς· ʻσὺ πάντοτε ἦσθαʼ ἔφη ʻμωρὸς καὶ ἀρτίως πάλιν μωρός.ʼ καὶ αὐτὸς οὐδέν τι πλέον μὰ τοὺς λόγους ἀνταπεκρίθην ἀλλʼ ἤ· ʻἐγὼ μέν εἰμι μωρὸς καὶ ἵνα σιωπῶ, οἱ δὲ φρονοῦντες λαλείτωσαν.ʼ*

Ταῦτʼ εἶπον, καὶ ὀργῆς ὁ βασιλεὺς ἀπλέτου καὶ μανίας πλησθεὶς καὶ οἷον ἐκβακχευθεὶς τῷ θυμῷ ἑλκύσαι μὲν ὥρμησε τὴν σπάθην τοῦ κουλεοῦ, τῆς κώπης ἐπιλαβόμενος. ἀλλὰ τοῦτο μὲν κατέσχε· μικρὸν γὰρ ταύτην 139 ed. B. *ἀπογυμνώσας πάλιν εἰσῆξε· τῷ μεγάλῳ δὲ δομεστίκῳ αὐτοῦ τῷ Μουζάλωνι Ἀνδρονίκῳ καταβαλεῖν με τοῦ ἵππου προσέταξε. καὶ ὃς ἐβούλετο μέν, οὐκ ἠδύνατο δέ· λεπτὸν*

---

4 *γὰρ* om. ab **5** *ἔλεγε*] *ἔλεγεν* ab **7** *ἐμή*] *ἐμοὶ* F **16** *ἦ δʼ*] *ἦν δʼ* sec. m. *ν* add. F *ἦν* in *ἦ* mut. et *ἔφη* supra lin. add. A **17** *ἀκριβῶς*] *ἀληθῶς* B **18** *οἱ* om. F **19** *δὲ* A *δʼ* O **25** *καὶ μανίας* om. BG **26** *καὶ οἷον — θυμῷ* om. BG **28** *γὰρ* om. F **30** *με* om. F **31** *προσέταξε*] *προσέταξεν* ab ‖ *καὶ ὃς — σωμάτιον* om. BG

γὰρ εἶχε καὶ ἀδρανὲς τὸ σωμάτιον. ἠρέμα δέ πως ἔφη· 'ἔκστηθι τῆς ἐφεστρίδος.' καὶ αὐτὸς ἀπέβην τῆς ἡμιόνου. ὁ δὲ χρηστότατος περὶ ἡμᾶς βασιλεὺς τοὺς πολλὰ πρὸς τοῦ πατρὸς αὐτοῦ δι' αὐτὸν πεπονθότας, ὃς ἐν πολλῷ πλήθει καὶ πολλάκις διαπρυσίῳ ἔλεξε τῇ φωνῇ ὡς 'πολλῶν μοι αἴτιος ἀγαθῶν οὑτοσὶ ὁ ἄνθρωπος γέγονε' — περὶ τῆς λογικῆς φάσκων παιδείας — 'καὶ πολλῶν ὀφειλέτης τούτῳ τυγχάνω,' ὁ τὴν κλῆσίν μοι προθέμενος ἐν πολλοῖς καὶ γλυκὺ ταύτην κατονομάζων καὶ πρᾶγμα καὶ ὄνομα, δυοῖν κορυνοφόροιν προσέταξε τύπτειν με, χθιζὰ καὶ πρὸ τρίτης τούτους χειροτονήσας, ὡς εἴκοσι τέσσαρας πάντας τὸν ἀριθμόν, οὐκ οἶδα εἰ μὴ δι' ἐμέ, ἵν' εἴη καὶ σκηνὴ τοῦ δράματος εἰς τραγῳδίαν ἀξίαν μεμορφωμένη. καὶ οἱ μὲν ἔτυπτον, ἐγὼ δὲ σιγῇ τὰς τύψεις ἐλάμβανον. ὃ καὶ μᾶλλον τοῦτον ἐξέμαινεν, ὅτι μηδ' ὅλως πρὸς διήσεις κάμπτομαι καὶ πληττόμενος. ἐπεὶ δὲ πολλὰς κατὰ παντὸς ἐδεξάμην τοῦ σώματος, μόγις ἰσχνῇ καὶ ἠρεμαίᾳ φωνῇ 'ὦ Χριστὲ βασιλεῦ,' ἔφην, 'πόσας νενόσηκα νόσους, καὶ διὰ τί ἐν οὐδεμιᾷ τούτων κατέλυσα τὴν ζωήν, ἀλλ' ἐν τοιούτοις με καιροῖς ἐταμίευες;' ταῦτ' εἶπον, καὶ ὁ βασιλεὺς οἷον αἰδεσθεὶς ἀπηλλάγη, ἑνὶ τῶν ἀκολούθων αὐτοῦ εἰρηκώς· 'λάβε τοῦτον αὐτός.' καὶ ὃς ἔφιππόν με λαβὼν ἠρώτα, ποῦ ἂν καὶ ἀπέλθοιμεν, ἐγὼ δέ· 'ὅπου ἂν αὐτὸς βούλει, ἐφέπομαι.' καὶ πάλιν οὗτος διὰ τῶν ἐρωτήσεων κατηνάγκαζε· τότε γοῦν καὶ αὐτὸς πρὸς τοῦτον ἀντέφην ὡς 'δεῖ ἡμᾶς τὴν πρὸς τοὺς Βαρδαρειώτας βαδίσαι· τοῦτο γάρ μοι δοκεῖ καὶ μᾶλλον συμφέρον σοι.' καὶ γέγονεν οὕτως, καὶ ἐς τῶν Βαρδαρειωτῶν ἀπῄειμεν τὰς σκηνάς. ἰδὼν δέ με ὁ αὐτῶν πριμμικήριος θαυμάσας ἠρώτα, τί ἂν 140 ed. B
βουλόμενος περὶ τὴν αὐτοῦ σκηνὴν ἀφικόμην· καὶ ἔγωγε

---

1 ἠρέμα δέ] ἠρέμα F καὶ ὃς ἠρέμα BG 4 ὃς] ὡς ab 6 οὑτοσὶ A οὗτος O 8 ὁ τὴν—9 ὄνομα om. BG 9 καὶ πρᾶγμα A πρᾶγμα F 10 προσέταξε] προσέταξεν ab 11 τούτους] τούτοις F 12 οἶδα] οἶδ' ab 13 ἀξίαν om. B 21 ἀκολούθων] ἀκολουθούντων F 26 Βαρδαρειώτας] Βαρδαριώτας ab 28 Βαρδαρειωτῶν] Βαρδαριωτῶν b 30 περὶ] ἐπὶ b ‖ αὐτοῦ om. F

'μικρᾶς' ἔφην 'ἀναπαύσεως χάριν.' βραχὺ γοῦν τι προσεκαρτέρησα τοῖς ἐκεῖσε· ἤδη γὰρ καὶ ὁ πριμμικήριος ἐμεμαθήκει τὰ κατ' ἐμέ. ὁ δὲ βασιλεὺς οὐδ' εἰς πολὺ μελλήσας διεμηνύσατο εἰς τὴν σκηνὴν ἀφικέσθαι με. δεδιὼς δὲ μή πως τῇ λύπῃ κατασχεθεὶς φυγῇ χρήσωμαι, προσέταξε μοῖράν τινα στρατιωτικὴν περιστοιχίσαι μου τὴν σκηνὴν καὶ λεληθότως φυλάττειν με.

Ἐγὼ μὲν οὖν εἰς τὴν οἰκείαν ἀφιγμένος σκηνὴν ἡσύχως ἐν αὐτῇ τὸν καιρὸν διεβίβαζον, οὐκ ἐν ἀνακτόροις βαδίζων οὐδέ τινι τῶν συνήθων καὶ ἐπιτηδείων προσομιλῶν, ἀλλ' ἢ ταῖς βίβλοις προσανέχων καὶ ἀναγνώσει χρώμενος καὶ τροφῆς μεταλαμβάνων κατὰ καιρόν. ἱκαναὶ γοῦν ἡμέραι οὑτωσί πώς μου ἔχοντος παρῳχήκεσαν, καὶ ὁ βασιλεὺς ἠγανάκτει τὸ σκληρόν μου καθορῶν τοῦ φρονήματος. παρῄει γοῦν ὅλος ὁ Αὔγουστος, καὶ οὐδ' ὅλως ἐνδοῦναι εἶχον τῆς ἧς ἔστερξα γνώμης μικρόν. πολλοὶ γοῦν τῶν ἀρχιερέων ἀφίκοντο πρὸς ἐμέ, βασιλικῇ μέν, ὡς ἠπιστάμην, τῇ προσταγῇ, εἰ καὶ ἐκεῖνοι λανθάνειν ἤθελον, οἴκοθεν λέγοντες ἀφικέσθαι πρὸς ἐμὲ φιλίας χάριν καὶ χρηστῆς διαθέσεως· πολλά τε λέγοντες τὸ ἀπόκροτον καταλιπεῖν με τῆς γνώμης καὶ τῷ βασιλεῖ ξυνελθεῖν καὶ αὖθις αὐτῷ πρὸς τὸν τῆς δουλείας συνελαθῆναι ζυγόν, οὐχ εὕρισκον ὅλως πειθήνιον· ἔφασκον γὰρ ὡς 'εἴπερ μοι τὰ χρηστότατα ὁ βασιλεὺς ἐπιδείξαιτο, ὁποῖα οὐδεὶς ἄλλος τῶν βεβασιλευκότων ἐπί τινι τῶν ὑπηρετη-
141 ed. B. σάντων αὐτῷ ἐπιδέδειχεν, ἢ τὰ χείρω καὶ κάκιστα ἐν ἐμοὶ κατεργάσαιτο, οἷα οὐδεὶς ἄλλος τῶν ἐπὶ κακίᾳ περιβοήτων ἐν οὐδενὶ τῶν ἁπάντων πεποίηκεν, οὐδ' οὕτως οὔτ' ἐκείνως τῷ βασιλεῖ κατά τι δουλεύσαιμι.' ἐγὼ μὲν οὖν οὕτως
Ephraem. εἶχον γνώμης καὶ ἀμεταθέτου σκοποῦ.
ed. B. v. 9105 Ἐπεὶ δὲ καὶ ὁ Σεπτέβριος ἐφεστήκει μὴν καὶ ἡ τοῦ

---

1 ἀναπαύσεως] ἀναπάσεως G 3 μελλήσας ab μελήσας O 5 χρήσωμαι] χρήσομαι BG corr. ab 6 περιστοιχίσαι] περιστοιχῆσαι A 9 αὐτῇ] σιωπῇ F 10 συνήθων καὶ ἐπιτηθείων A ἐπιτηδείων καὶ συνήθων O ‖ ἢ] ἐν F 13 ὁ om. F 20 ξυνελθεῖν] συνελθεῖν F 21 συνελαθῆναι] ἐλαθῆναι F 24 ἄλλος om. B 25 χείρω] χεῖρα a χείριστα b 28 οὖν om. F 30 ἐφεστήκει AB ἐφειστήκει FG

δεσπότου Μιχαὴλ σύζυγος Θεοδώρα παρὰ τὸν βασιλέα ἀφίκετο μετὰ τοῦ υἱοῦ αὐτῆς Νικηφόρου, τὸ πρὸς τὸν βασιλέα κῆδος ἀποπληρώσοντες, ὅπερ ὁ βασιλεὺς Ἰωάννης ὁ τοῦ βασιλεύοντος πατὴρ πρὸ χρόνων τινῶν συμπεφώνηκεν, ὁ μὲν βασιλεὺς ἔσπευδε τὴν Θεσσαλονίκην καταλαβεῖν, ἔνθα καὶ τοὺς γάμους ποιῆσαι βεβούληται. καὶ δήπερ ἀπάρας ἐξ οὗπερ ἔκειτο τόπου τῆς εἰς τὴν Θεσσαλονίκην φερούσης ἥπτετο· καθ᾽ ὁδὸν δὲ μετὰ τῆς τοῦ δεσπότου συζύγου τὰς συμβιβάσεις ἐποίει. ἡ μὲν οὖν τοῦ δεσπότου σύζυγος Θεοδώρα καὶ ἄκουσα τοῖς τοῦ βασιλέως λόγοις συνήρχετο· ἐντὸς γὰρ τῶν ἐκείνου χειρῶν οὖσα καὶ μικροῦ δεῖν ὡς ἐν εἱρκτῇ τυγχάνουσα οὐκ εἶχέ τι ἄλλο δρᾶσαι. συμπεφώνηκε γοῦν δοῦναι πρὸς τὸν βασιλέα τὸ κάστρον τὰ Σέρβια καὶ σὺν αὐτῷ καὶ τὸ Δυρράχιον. ἐπὶ τούτοις καὶ ὅρκοι ἐγγράφως προέβησαν καὶ ἀπεστάλησαν πρὸς τὸν δεσπότην Μιχαήλ. ὁ δέ, ὅ φησιν ἡ ποίησις, ἑκὼν ἀέκοντί γε θυμῷ τοῖς ὁμωμοσμένοις συνῆλθεν· ηὔχετο γὰρ ἐλευθερωθῆναι καὶ παρ᾽ αὐ- 142 ed.] *τὸν γενέσθαι καὶ τὸν υἱὸν καὶ τὴν σύζυγον.*

Ἐν τοῖς τοιούτοις τῶν λόγων ὁ βασιλεὺς κἀμὲ τῆς ἧς εἶχον ἐκμοχλεύσας στερρότητος ἐχειρώσατο. ἐξαποστείλας γὰρ τὸν πρὸς πάππου αὐτοῦ θεῖον τὸν Λάσκαριν Μανουὴλ καὶ τὸν πρωτοβεστιάριον αὐτοῦ τὸν Μουζάλωνα Γεώργιον ἱλαροῖς καὶ ἁπλοῖς τισιν ἐχρήσατο λόγοις, καί με εἷλε, καὶ πρὸς αὐτὸν οἱ ἀποσταλέντες ἀπήγαγον. καὶ γοῦν προσιὼν τῷ βασιλεῖ καὶ ὡς ἔθος κλίνας τὴν κεφαλὴν μακρότερον ἔστην. καὶ ὁ βασιλεύς· ‛οὐκ οἶδας ὅπῃ εἰώθεις ἵστασθαι; τὸν τόπον σου γινώσκεις, καὶ πρόσιθι.᾽ τῇ προσταγῇ γοῦν ὑπείξας τοῦ βασιλέως ἀπελθὼν ἔστην ἐκ πλαγίου αὐτοῦ καθώσπερ εἶχον καὶ ἔθος. τότε γοῦν μοι ὁ βασιλεὺς τὰς τοῦ δεσπότου Μιχαὴλ ὑποθέσεις πάσας ἀνεκοινώσατο καὶ ἐξ ἀρχῆς ὅπως προέβησαν διηγήσατο. ταῦτα μὲν οὖν ἐν τοῖς τοῦ

---

3 *ἀποπληρώσοντες*] *ἀποπληρώσαντες* F **7** *τῆς*] *τὴν* G || *τὴν* om. F **14** *καὶ τὸ*] *τὸ* F || *Δυρράχιον*] *διρράχιον* F *δηρράχιον* G **16** *ὁμωμοσμένοις* AG *ὠμοσμένοις* Fb *ὁμοσμένοις* B **17** *συνῆλθεν* A *ξυνῆλθεν* O **22** *αὐτοῦ* A om. O **23** *τισιν* om. F || *ἐχρήσατο* post *λόγοις* pos. F **27** *πρόσιθι*] *πρόστηθι* F

Λαγκαδᾶ — τόπος δέ ἐστιν οὗτος ἐγγύς που τυγχάνων τῆς Θεσσαλονίκης — ἐγένετο.

64. *Ἐπεὶ δὲ ὁ βασιλεὺς τὴν Θεσσαλονίκην κατείληφε, τοὺς ἐπὶ τῇ θυγατρὶ Μαρίᾳ γάμους μετὰ τοῦ υἱοῦ τοῦ δεσπότου Μιχαὴλ Νικηφόρου, ὃν καὶ δεσπότην τετίμηκεν, ἐκπεπλήρωκεν.*

Ephraem. *Ἐν τούτοις δὲ ὄντος τοῦ βασιλέως γραφή τις πρὸς* ed. B. v. 9116 *αὐτὸν ἐξεπέμφθη παρὰ τῶν ἐν τοῖς Βιθυνίας μέρεσιν* Nic. Greg. *ὄντων καὶ εἰς φυλακὴν εἶναι τοῦ τόπου προστεταγμέ-* ed. B. I 57 *νων, ὡς ὁ Μιχαὴλ Κομνηνὸς ὁ Παλαιολόγος, ὃν καὶ μέγαν κονοστάβλον πρὸς τοῦ βασιλέως Ἰωάννου ὁ λόγος* 143 ed. B. *φθάσας τετιμῆσθαι δεδήλωκε καὶ τὴν τῆς ἁπάσης ταύτης* Georg. Pach. *χώρας ἡγεμονίαν ἐμπεπιστεῦσθαι, φυγὰς ᾤχετο καὶ περὶ* ed. B. I 24 *τὸν τῶν Μουσουλμάνων ἀπῄει χῶρον. ἐταράχθη γοῦν ἐπὶ τούτοις ὁ βασιλεὺς οὐ μικρῶς, καί με προσκαλεσάμενος 'ἔγνως,' ἔφη, 'τί γέγονε καὶ αὐτός;' 'οὐδαμῶς' ἔφην, 'ὦ βασιλεῦ· τί δέ ἐστι τὸ προσφάτως γεγενημένον;' ὁ δέ φησιν· 'ὁ μέγας κονοστάβλος ἀπέδρα καὶ περὶ τὰ τῶν Μουσουλμάνων κεχώρηκε. τί γοῦν ἄρα περὶ τοῦ τοιούτου διανοῇ; μῶν πρὸς Μουσουλμάνων προσλαβόμενος στράτευμα καθ' ἡμετέρας χωρήσει χώρας;' 'οὐδαμῶς μοι δοκεῖ τοιοῦτον, ὦ βασιλεῦ,' ἔφην, 'αὐτὸν διαπράξασθαι· τὴν γὰρ γνώμην τοῦ ἀνδρὸς ἐπέγνων καὶ τὸ τοῦ φρονήματος ἐπίσταμαι φιλορώμαιον.' καὶ ὁ βασιλεύς· 'τίνος οὖν χάριν φυγὰς τῶν ἡμετέρων ἐγένετο;' 'ὅτιπερ,' ἔφην, 'ὡς οἶσθα, ὦ βασιλεῦ, οὐχ ἅπαξ οὐδὲ δὶς ἀλλὰ καὶ μυριάκις ἠπείλεις αὐτῷ τὰ δεινότατα καὶ ὠργίζου κατ' αὐτοῦ χαλεπῶς, καὶ ἐν πλήθει παρόντι πολλῷ ἔφασκες ἐκπέμψαι καὶ ἐξορύξαι οἱ τοὺς ὀφθαλμούς. ταῦτ' ἐκεῖνος ἐμάνθανε καὶ παρὰ πολλῶν τῶν λεγομένων ἤκουε, καὶ ἐδάκνετο τὴν ψυχὴν καὶ ἐδειλία τὴν*

---

1 *Λαγκαδᾶ*] *λαγγαδᾶ* BG **3** *δὲ*] *δ'* ab **8** *τοῖς*] *τῆς* a *τοῖς τῆς* b **10** *ὁ* om. ab **13** *χώρας*] *χώραν* GF *-αν* in *-ας* pr. m. A ‖ *περὶ*] *ἐπὶ* b **16** *γέγονε*] *γέγονεν* ab ‖ *γέγονε καὶ αὐτός;* A *γέγονε; καὶ αὐτὸς* O **18** *περὶ*] *ἐπὶ* b **21** *τοιοῦτον*] *τὸ τοιοῦτον* F **23** *ἐπέγνων*] *ἐπέγνω* B corr. ab **24** *καὶ ὁ βασιλεὺς* om. A **28** *πολλῷ*] *πολλῶν* Fab **29** *ταῦτ'*] *ταῦτα* ab ‖ *τῶν* om. F

τιμωρίαν καὶ ἀποφυγεῖν ἐπέσπευσε τὴν ποινήν.' 'καὶ διὰ τί,' ἔφη ὁ βασιλεύς, 'οὐκ ἐν τοῖς ἡμετέροις προσεκαρτέρει, καὶ εἰ παθεῖν ἔμελλε τὰ δεινὰ ταῦτα, τῆς ἐπὶ τῆς ἀλλοδαπῆς εὐπραγίας τὴν ἐν τοῖς ἰθαγενέσι προτιμῶν δυσπραγίαν;' 'οὐκ ἔστι τοῦτο ψυχῆς ἀνθρωπίνης,' ἔφην, 'ὦ βασιλεῦ. δεινὰ μὲν γὰρ παθεῖν καὶ περιπεσεῖν συμφοραῖς ἔνιοι ἂν ἱκανοὶ φανῶσι, στερροτέρου γεγενημένοι φρονήματος καὶ 144 ed. B οἷον εἰπεῖν ἀπροσπαθοῦς ἐν τοῖς τοῦ βίου πράγμασι· τὸ δὲ περὶ αὐτῇ τῇ ζωῇ δεδιέναι καὶ ἀκρωτηριασμὸν τῶν καιριωτέρων σωματικῶν μερῶν προσδοκᾶν, οὐμενοῦν δοκεῖ τινα ἐν τούτοις προσκαρτερεῖν, ἀλλὰ τὸν περὶ ψυχῆς τρέχων ἀποφυγγάνει τῶν δεινῶν ὅση δύναμις.' ταῦτ' εἰπόντες σεσιωπήκαμεν. καὶ μετὰ βραχὺ 'τί δὲ οἴει' ὁ βασιλεὺς ἔφη 'τοῦτον ποιῆσαι;' ἐγὼ δὲ ἔφην ὡς 'μικρὸν ὑπολαμβάνω παρὰ τὸν περσάρχην προσκαρτερήσας ἀποστελεῖ συμπαθείας πρὸς τοῦ σοῦ κράτους ἀξιωθῆναι, ἔχων καὶ τὸν περσάρχην ἐπὶ τῇ ὑποθέσει μεσολαβοῦντα, ζητήσει δέ σε ὅρκον εἰς τὴν τῆς ἀληθείας βεβαίωσιν, οὗ ἄνευ οὐκέτι μοι δοκεῖ παρὰ σὲ ἀφικέσθαι.' ἐν τούτοις ἦν τεταραγμένος ὁ βασιλεύς, ἐν ἀμφιβόλοις τυγχάνων τοῖς πράγμασιν. ὡς δὲ μετ' ὀλίγας τινὰς ἡμέρας γραφαὶ πρὸς τὸν βασιλέα ἐπέμφθησαν πρὸς τῶν στραταρχούντων ἐν Βιθυνίᾳ καὶ Μεσοθυνίᾳ — αἱ δὲ γραφαὶ τοῦ μεγάλου κονοστάβλου ἐτύγχανον πρὸς αὐτούς, περιλήψεως ἔχουσαι οὕτως — πρὸς ἕνα δὲ ἕκαστον τῶν τοιούτων ἐγεγραφήκει — ὡς 'ἐγὼ τὸν ἐκ τοῦ βασιλέως φόβον ἐν τῇ καρδίᾳ μου σχὼν καὶ δεδιὼς μή πού τι πάθω δεινόν, φυγῇ ἐχρησάμην· ὑμεῖς δὲ φρονίμως καὶ ἀνδρικῶς τῶν στρατιωτικῶν ὑμῖν πραγμάτων ἀντέχεσθε, καὶ αἱ φυλα-

---

1 ἐπέσπευσε AB ἐπέσπευδε G ἔσπευσε F 2 οὐκ om. A 5 ἔφην om. B 8 ἀπροσπαθοῦς] ἀπροσπαθεῖς F ‖ πράγμασι] πράγμασιν b προστάγμασιν a 9 τῶν om. F 10 μερῶν] σφῶν F 14 μικρὸν ὑπολαμβάνω] ὑπολαμβάνω μικρὸν A 15 ἀποστελεῖ] ἀποσταλεῖ B ἀποστελλεῖ F ἐπισταλεῖ coni. b 19 σὲ] σοὶ F 22 Βιθυνίᾳ καὶ Μεσοθυνίᾳ] μεσοθινίᾳ καὶ βιθυνίᾳ F ‖ Μεσοθυνίᾳ ab Μεσοθινίᾳ O 26 τῇ καρδίᾳ AB καρδίᾳ FG ‖ σχὼν] ἔχων ab ‖ πού τι] τί που BG 27 δὲ om. a 28 ὑμῖν O ὑμῖν ἐγχειρισθέντων ab ἐν ὑμῖν?

καὶ τῶν πολιχνίων καὶ ἄστεων ἀσφαλεῖς ἔστωσαν, καὶ ἡ
τῆς ἁπάσης χώρας προσοχὴ καὶ συντήρησις παρ' ὑμῶν ὡς
ἔθος γινέσθω, καὶ καθὼς ἐπράττετε μετ' ἐμοῦ, καὶ αὖ-
145 ed. B. θις ποιεῖτε.' καὶ ἡ ἐπιγραφὴ τὸν μέγαν κονοστάβλον
ἐσήμαινε. ταύτας ὁ βασιλεὺς θεασάμενος τὰς γραφὰς ἱλα-
ρῶς διετέθη πρὸς τὴν ὑπόθεσιν καὶ τοῖς λόγοις μου ἐμπε-
πίστευκεν.

65. Ἐνταῦθα δὲ τοῦ λόγου γενόμενοι τὰ τῆς ἱστορίας,
ὡς δέον ἐστίν, ἐμπλατύνομεν· πολλῶν γὰρ λόγων ἄξια τὰ
ἐν τῇ φυγῇ γεγενημένα τοῦ Κομνηνοῦ Μιχαήλ. ἐπεὶ γὰρ
οὗτος ἐν τοῖς οἰκήμασι τῶν Τουρκομάνων ἀφίκετο — ἔθνος
δὲ τοῦτο τοῖς ἄκροις ὁρίοις τῶν Περσῶν ἐφεδρεῦον, καὶ
ἀσπόνδῳ μίσει κατὰ Ῥωμαίων χρώμενον καὶ ἁρπαγαῖς
ταῖς ἐκ τούτων χαῖρον καὶ τοῖς ἐκ πολέμων σκύλοις εὐφραι-
νόμενον, καὶ τότε δὴ μᾶλλον, ὁπότε τὰ τῶν Περσῶν ἐκυ-
μαίνετο καὶ ταῖς ἐκ τῶν Ταχαρίων ἐφόδοις συνεταράττετο
— τῷ Κομνηνῷ Μιχαὴλ ὡς ἑρμαίῳ ἐντυχόντες τινὲς καὶ
λίχνον ὄμμα τοῖς αὐτοῦ ἐπιβαλόντες πράγμασι, πάντα τὰ
146 ed. B. αὐτοῦ διηρπάκασι, χρυσὸν ἄργυρον ἵππους ὑφάσματα καὶ
αὐτὰ δὴ τὰ ἐνδύματα, οἷς οἱ αὐτοῦ ἐνεδέδυντο. διαμερί-
σαντες δὲ καὶ πάντας τοὺς ἐφεπομένους αὐτῷ, ἕκαστος τὸν
κατισχημένον εἰς οἰκείαν δουλείαν ἠγάγετο. ὁ δὲ Κομνη-
νὸς Μιχαὴλ μόγις τὰς χεῖρας τούτων διεκφυγὼν καὶ θεοῦ
προνοίᾳ διασωθεὶς γυμνὸς ἁπάντων παρὰ τὸν περσάρχην
ἀφίκετο. ὁ δὲ οὐ κατὰ νέηλυν φυγάδα τοῦτον ἐδέξατο,
ἀλλ' ἀσμένως λίαν προσήκατο. τό τε γὰρ εὐγενὲς τοῦ ἀν-
δρὸς ἐμεμαθήκει, καὶ πάντες οἱ μετὰ τοῦ περσάρχου μεγι-
στᾶνες τελοῦντες τὸ εἶδος αὐτοῦ καὶ τὸ φρόνημα τεθαυ-
μάκασι, καὶ ὅ φησί τις τῶν παλαιῶν, τυραννίδος ἄξιον

---

1 ἡ om. F 3 ἔθος] ἔστιν ἔθος F ‖ γινέσθω] γενέσθω Aab 4 ἐπιγραφὴ] ὑπογραφὴ coni. b 9 ἐμπλατύνομεν] ἐμπλατύνωμεν ab 10 post Μιχαὴλ add. ἐγεγόνει BFG 13 ἀσπόνδῳ μίσει] ἀσπόνδων μέγα F ‖ χρώμενον] χρωμένων F 14 χαῖρον] χαίρων F ‖ εὐφραινόμενον A ἐπευφραινόμενον BFG 16 ταῖς] τοῖς ABG 18 ἐπιβαλόντες] ἐπιβάλλοντες F 21 ἐφεπομένους] συνεπομένους F ‖ τὸν κατισχημένον em. b τῶν κατισχημένων O corr. sec. m. G

ἔκριναν. εἰς ὀλίγους γὰρ αὐτῷ ξυνιόντες λόγους ἐκ βραχέων τὴν τοῦ ἀνδρὸς ἐπεγνώκεισαν σταθηρότητα· τήν τε γὰρ αὐτοῦ στρατιωτικὴν ἐτεκμήραντο τέχνην καὶ τὴν ἐν τοῖς πολέμοις ἀκρίβειαν καὶ ὡς οὐκ ἀδαὴς ἂν εἴη τῶν προσηκόντων ἐν μάχαις. χάριν μὲν οὖν τῶν ἐσκυλευμένων αὐτῷ πραγμάτων καὶ τῶν διαμεμερισμένων ὑπηρετῶν γραφαὶ τοῦ σουλτάνου, εἰ καὶ εἰς μάτην, γεγένηνται, ἵν' ἐπισυναχθεῖεν τὰ πάντα καὶ πάντες καὶ ἐπικομισθεῖεν αὐτῷ.

Ἐπεὶ δὲ ἐπὶ ξυροῦ ἀκμῆς τὰ τῆς μάχης σφίσιν ἐφίστατο — οἵ τε γὰρ Ταχάριοι τὰ πλείω τῆς χώρας τῶν Μουσουλμάνων ληϊσάμενοι περὶ τὰ Ἄξαρα ἐστρατοπεδεύσαντο, πᾶσα δὲ ἀνάγκη ἦν καὶ πρὸς μάχην τοὺς Πέρσας ἀντιστῆναι τοῖς Ταχαρίοις — τὸν μὲν Κομνηνὸν Μιχαὴλ εἰς ἡγεμόνα τῶν Χριστιανικῶν στρατευμάτων οἱ Πέρσαι εἶναι διετάξαντο. ὁ δὲ ἐπεὶ ἐν ἀλλοδαπῇ ἐτύγχανεν ὤν, συμμαχεῖν μὲν Μουσουλμάνοις ἀπευκταῖον ἡγεῖτο, μή ποτε, ὡς ἔφασκεν οὗτος, ἐν μάχῃ πεσόντος εὐσεβὲς αἷμα αἵμασι συγκραθείη ἀνοσίοις καὶ ἀσεβέσι, χάριτι δὲ θείᾳ ἀναρρωσθεὶς καὶ γενναῖον ἀνα- 147 ed. B
λαβὼν φρόνημα πρὸς τὴν μάχην ἐξώρμησε. τὸ μὲν οὖν μέρος τοῦ στρατεύματος τὸ παρὰ τοῦ Κομνηνοῦ Μιχαὴλ τεταγμένον τοὺς ἀντιτεταγμένους αὐτῷ Ταχαρίους κατὰ κράτος νενίκηκε, τοῦ Μιχαὴλ αὐτοῦ πρώτως δόρατι παρὰ μαζὸν βαλόντος τὸν τοῦ στρατεύματος προηγούμενον, ὅς, καθάπερ ἔφησαν οἱ γινώσκοντες, μετὰ μικρὸν ἐκ τῆς βολῆς ἐτεθνήκει. καὶ ἦσαν μὲν ἐκ τοῦ κρατουμένου μέρους τοῦ Κομνηνοῦ ἐκνενικημένοι οἱ Ταχάριοι καὶ πρὸς φυγὴν ἤδη

---

1 εἰς] καὶ εἰς F 6 αὐτῷ] αὐτοῦ ab ‖ ὑπηρετῶν] οἰκετῶν F 7 μάτην] μάχην F 13 μὲν] μὲν οὖν ab 14 Χριστιανικῶν] Χριστιανῶν ab ‖ στρατευμάτων] ταγμάτων F ‖ οἱ Πέρσαι post εἶναι pos. F 15 συμμαχεῖν] συμμαχίαν U 16 ὡς—17 αἵμασι om. U 17 πεσόντος] πεσὸν τὸ ab ‖ αἵμασι] αἵμασιν F ‖ συγκραθείη A συνανακραθείη BGU ἀνακραθείη F 20 τὸ παρὰ] τῷ παρὰ U ‖ τοῦ Κομνηνοῦ] τῷ κομνηνῷ U ‖ Κομνηνοῦ post Μιχαὴλ pos. BG 22 πρώτως] πρώτον U 24 ἐκ—25 μὲν marg. praeciso om. U 25 ἦσαν ab ἦν O 26 ⟨ὑπὸ⟩ vel ⟨παρὰ⟩ τοῦ Κομνηνοῦ coni. b, sed excidisse plura videntur

ἐχώρουν. ἀνὴρ δέ τις τῶν ἐν Πέρσαις περιωνύμων, τὴν ἀξίαν ἀμυραχούρης — μέγα δὲ τοῦτο παρὰ Πέρσαις — ἀπιστίαν περὶ τὸ αὐτοῦ γένος ἐγκυμονῶν ἐκ μακροῦ τότε ταύτην ἐξώδινε, καὶ τὸ ὑφ' αὐτὸν ἅπαν συλλαβὼν στράτευμα τοῖς Ταχαρίοις προσώρμησε. καὶ τὸ ἐντεῦθεν τἀναντία ἦν ἰδεῖν· οἱ γὰρ πρὸ μικροῦ διώκοντες ἔφευγον καὶ νῶτα ἐδίδουν τοῖς ἐναντίοις πλήττεσθαι. ἔπιπτον γοῦν οἱ Πέρσαι συχνοὶ τοῖς τῶν Ταχαρίων πληττόμενοι βέλεσι. μέχρι μὲν οὖν μακρῶν διαστημάτων τὴν δίωξιν οἱ νενικηκότες πεποίηνται. ὁ γοῦν Κομνηνὸς Μιχαὴλ συμβὰν οὕτω τῷ μεγίστῳ στρατοπεδάρχῃ τῶν Περσικῶν στρατευμάτων, ὃν πεκλάρπακιν οἴδασιν οἱ Πέρσαι καλεῖν, ξυνήει κατὰ τὴν ὁδόν, καὶ ἐπορεύοντο πάνυ πλείους ἡμέρας ἐφεπομένους ἑαυτοῖς τοὺς πολεμίους ἔχοντες καὶ καθ' ὥραν μαχόμενοι. ἐπεὶ δὲ ἡ τοῦ λεγομένου οἰκία πεκλάρπακι περὶ τὴν Κασταμοναν ἐτύγχανεν οὖσα, ἐκεῖσε σπεύσαντες ἐγεγόνεισαν. τὸ δὲ Ταχαρίων γένος πᾶσαν τὴν ὑπὸ τοὺς Μουσουλμάνους
143 ed. B. κατέδραμε χώραν. ἀλλ' ἐνταῦθα μὲν ὁ περὶ τούτων λόγος ἀναμεινάτω, ἐχέσθω δὲ τῶν προτέρων, ἵνα καὶ καθ' εἱρμὸν τὰ τῆς ἱστορίας προΐοι.

Ephraem. 66. Ὁ μὲν οὖν βασιλεὺς Θεόδωρος ἐπεὶ περὶ τῶν
ed. B. v. 9131 γεγενημένων ἐν τῇ τῶν Μουσουλμάνων ἐπύθετο χώρᾳ, οὐ περὶ τούτων μᾶλλον ἔχων φροντίδα ἢ περὶ τῶν αὐτοῦ — κίνδυνον γὰρ οὐ σμικρὸν τοῖς Ῥωμαΐκοῖς ἐπισυμβαίνειν ὑπετόπασε χώροις — ἔσπευσε πρὸς τὴν ἕω παλινοστῆσαι·

---

2 ἀμυραχούρης] ἀμηραχούρης F ‖ παρὰ om. U 3 περὶ] παρὰ F ‖ γένος] μέρος A | ἐγκυμονῶν] ἐγγυμονῶν A 4 ὑφ' αὐτὸν] ὑπ' αὐτὸν U 5 προσώρμησε A προσώρμηκε O 7 ἔπιπτον] ἔτυπτον U 8 τῶν om. F 12 πεκλάρπακιν] πεκλάρπεκιν U ‖ καλεῖν—13 ἐπο- marg. praeciso om. U 14 ἔχοντες] ἔχοντας sec. m. α in ε corr. G 15 λεγομένου AF λελεγμένου BGU ‖ πεκλάρπακι] πεκλάρπεκι U ‖ Κασταμοναν ABG κασταμόνα U κασταμονα F 17 τοὺς Μουσουλμάνους] τῶν μουσουλμάνων U 18 τούτων] τούτου B corr. ab 20 προΐοι] προΐοι ex προήει A προΐῃσιν ab προΐῃ vel προΐωσιν coni. b 22 ἐν] ἐπὶ F 23 ἢ—αὐτοῦ om. F 24 σμικρὸν AG μικρὸν BFU ‖ τοῖς Ῥωμαΐκοῖς ἐπισυμβαίνειν A ἐπισυμβαίνειν τοῖς Ῥωμαΐκοῖς O

καὶ δὴ πᾶσαν τὴν Ῥωμαϊκὴν στρατιὰν μεθ' ἑαυτοῦ προσλαβὼν τῆς πρὸς τὴν ἕω φερούσης ἐφήπτετο. καταλελοίπει δὲ ἔν τε τῇ Θεσσαλονίκῃ καὶ τοῖς κατὰ δυσμὴν μέρεσιν ὡς πρὸς φύλαξιν δῆθεν τῆς χώρας τὸν πρὸς πάππου θεῖον αὐτοῦ τὸν Λάσκαριν Μιχαήλ, μικρόν τι καὶ εὐσύνοπτον ἐκ Παφλαγόνων στράτευμα ἐπιδοὺς αὐτῷ κἀκ τοῦ Σκυθικοῦ ὅσον εἰς τριακοσίους ἠριθμημένον, τοῦ δὲ Πριλάπου καὶ τῶν περὶ αὐτὸν στρατευμάτων τὸν ὃν εἶχε σκουτέριον Ξυλέαν ὠνομασμένον, φερωνύμως τὴν κλῆσιν νὴ τὴν Θέμιν ἔχοντα, εἰς δὲ τὸν Βελεσὸν καὶ τὰ περὶ αὐτὸν τὸν Καλαμπάκην Θεόδωρον, ὃν καὶ τατᾶν τῆς αὐλῆς κατωνόμαζον, τὸν δὲ Χαβάρωνα Κωνσταντῖνον εἰς ἡγεμονίαν τοῦ Ἀλβάνου κατέστησεν, ἐμὲ δὲ πραίτορα χειροτονήσας πάντων αὐτῶν ἀφῆκε προΐστασθαι. τοῦτο δέ, ὡς οἶμαι, πεποίηκεν, ἵνα τῇ ἐξ αὐτοῦ μακροτέρᾳ ἀποδημίᾳ εἰς λήθην ὧν ἐπεπόνθειν γενοίμην. οὐδὲ γὰρ εἶδέ με πώποτε μετὰ τὰς πληγὰς 149 ed. B. ἐλευθεριάσαντα καὶ λόγοις χαροπωτέροις ὡς εἰώθειν πρὸς αὐτὸν χρήσασθαι. ἵνα γοῦν τῇ χρονίῳ ταύτῃ διατριβῇ τῆς ψυχῆς ἡ σκυθρωπότης διαλυθείη μοι, πέπραχε τοῦτο, τάχα δὲ καὶ ὡς δυσχεραίνων ἣν τὴν ξυναυλίαν μου βαρυνόμενος· προσέκρουον γὰρ αὐτῷ πολλάκις ἐφ' οἷς ᾔδειν οὐ κατὰ λόγον οὐδὲ κατὰ δίκαιον διαπράττεσθαι θέλοντα.

67. Ὁ μὲν οὖν βασιλεὺς πρὸς τὴν ἕω ἀπῄει, ἐγὼ δὲ καταλελείμμην τοῖς ἐν δυσμῇ. τῆς γοῦν Θεσσαλονίκης ἐξιὼν ἀφικόμην περὶ τὴν Βέρροιαν· ἐκεῖσε γὰρ ὑπῆρχον καὶ οἱ τοῦ πάπα πρέσβεις, οὓς ἀπεκβαλεῖν βασιλικῷ προσ-

2 ἐφήπτετο] ἥπτετο F 4 τὸν πρὸς] τὴν πρὸς U 6 κἀκ] καὶ G 7 ἠριθμημένον] ἠριθμ̄ένον U 8 σκουτέριον] Σκουτέριον ab 10 Βελεσὸν AB βαλεσὸν U βελεσσὸν FG ‖ Καλαμπάκην] καλαμπάκιν F 13 πραίτορα] πραίτωρα BF 14 πεποίηκεν—15 αὐτοῦ marg. praeciso om. U 16 εἶδέ] οἶδέ U ‖ πώποτε] ποτε BU 17 χαροπωτέροις] χαρωποτέροις BU 18 χρονίῳ] χρονίᾳ ab ‖ τῆς ψυχῆς om. A 20 τὴν ξυναυλίαν] τῇ ξυναυλίᾳ U ‖ βαρυνόμενος] καὶ βαρυνόμενος U 22 λόγον οὐδὲ κατὰ δίκαιον] λόγον F τὸν δίκαιον λόγον BG ‖ διαπράττεσθαι θέλοντα om. F 24 καταλελείμμην] κατελελείμμην BG 25 περὶ] πρὸς U ἐπὶ b 26 πάπα] πάππα AG

τάγματι ἔμελλον. κἀκεῖσε μικρὸν προσκαρτερήσας διὰ τὴν τῶν πρέσβεων ἀπεκβολὴν καὶ δι' ἑτέρας τινὰς ὑποθέσεις, ἐκεῖθεν ἐξιὼν τῆς πρὸς τὸ Ἄλβανον φερούσης ἡπτόμην. καὶ δὴ τὰ Σέρβια παρελθὼν καὶ παραμείψας τὴν Καστορίαν καὶ τὰ ἀμφὶ τὴν Ἀχρίδαν παραγγείλας ἀφικόμην περὶ τὸ Ἄλβανον, κἀκ τούτου μετὰ τῶν τῆς χώρας ἐκκρίτων κατείληφα τὸ Δυρράχιον. κἀκεῖσε διακαρτερήσας ἡμέρας ὀκτὼ ἐξήειν, πάντα τὰ καθ' ὁδὸν οἰκονομήσας καὶ καταρτίσας ὡς ἔμοιγε δέον ἐδόκει, κατὰ ταῦτα δὲ καὶ τὰ τοῦ Δυρραχίου. ἐξορμήσας γοῦν τοῦ Δυρραχίου καὶ διελθὼν τὰ τῆς Χουναβίας καὶ τὸ ὄρος ὑπερβὰς ὃ δὴ Κακὴν Πέτραν κατονομάζουσιν, εἰς τὰ περὶ τὴν Μάτην ἀπήειν κἀντεῦθεν περὶ τὴν Δέβρην ἀφῖγμαι. πᾶσι δὲ τοῖς καθ' ὁδὸν ξυντυχών, τοῖς ἀμφὶ τὰ
150 ed. B. ἄστη καὶ τοῖς ἀμφὶ τὰ τοπικὰ στρατόπεδα καὶ τοῖς τὰ δημόσια διενεργουμένοις πράγματα, διὰ τῆς Κυτζάβεως παριὼν ἐπὶ τὸν Πρίλαπον ἐγενόμην. ταύτην γοῦν τὴν πορείαν τὴν ἐκ Θεσσαλονίκης μέχρι καὶ αὐτοῦ τοῦ Πριλάπου διὰ τριῶν πεποίηκα τῶν μηνῶν χειμῶνος ὥρᾳ· Δεκέβριος γὰρ ἦν ὁπότε τῆς Βερροίας ἐξώρμων, καὶ τὸ Φεβρουαρίου τέλος ἐπὶ τὸν Πρίλαπον εἶχέ με.

1257 68. Ἐκεῖσε γοῦν ἀφιγμένου μου φήμη πάμπαν δεινὴ τοῖς ὠσὶν ἐπεισέφρησε. τὰ δὲ τῆς φήμης, ὅτιπερ ὁ τὴν ἡγεμονίαν τοῦ Ἀλβάνου πρὸς τοῦ βασιλέως λαβὼν ὁ Χαβάρων Κωνσταντῖνος πρὸς τοῦ δεσπότου Μιχαὴλ ἑάλω μηχαναῖς τῆς γυναικαδέλφης αὐτοῦ Μαρίας, ἥτις προεῖχε μὲν ἄνδρα Σφραντζῆν τοὐπίκλην, τότε δὲ ὑπῆρχε χήρα· δόλοις

---

1 προσκαρτερήσας—2 πρέσ-] marg. praeciso om. U 5 ἀμφὶ] περὶ BU 6 Ἀχρίδαν] ἀχρίδα BFU ‖ περὶ] ἐπὶ b 7 κἀκεῖσε — 9 Δυρραχίου om. F 8 τὰ om. U ‖ οἰκονομήσας—9 Δυρραχίου] ὡς ἔμοιγε δέον οἰκονομήσας καὶ διακαρτερήσας ὡς ἐδόκει U 9 ταῦτα] ταὐτὰ? 10 γοῦν] οὖν U ‖ τὰ om. U 12 περὶ τὴν Δέβρην] παρὰ τὴν δεύρην F περὶ τὴν δεύβριν U ἐπὶ τὴν Δέρβην ab 14 στρατόπεδα] στρατεύματα BU 18 Δεκέβριος] δεκέμβριος G 19 Φεβρουαρίου AUab τοῦ φεβρουαρίου BFG 20 Πρίλαπον] πρίλαβον U 22 τὰ] τὸ U ‖ ὁ om. ab 23 ὁ Χαβάρων post Κωνσταντῖνος pos. U 25 γυναικαδέλφης] γυναικαδελφῆς FU

γὰρ αὕτη τὸν Χαβάρωνα μετελθοῦσα καὶ γράμμασιν ἐρωτικοῖς δελεάσασα τούτου τὸ φρόνημα — κουφότερος γὰρ οὗτος περὶ τὰ τοιαῦτα τυγχάνων ἦν, εἰ καὶ ἄλλως καλὸς ἐτύγχανε στρατιώτης — ταῖς πάγαις ταύτης ἁλώσιμος ἐγεγόνει. τοὐντεῦθεν εἰς ἀποστασίαν φανερὰν ὁ Μιχαὴλ ἐξωρμήκει. ἔγωγε μὲν οὖν διάγων περὶ τὸν Πρίλαπον περὶ τοῦ γεγενημένου δράματος ἐπεπύσμην. ὡς εἶχον γοῦν σπουδῆς πρὸς τὸν Λάσκαριν Μιχαὴλ ἐπιστολὴν ἐπεπόμφειν, τὰ ξυμβεβηκότα τούτῳ διὰ ταύτης δηλοποιῶν, καὶ περὶ τὴν Πελαγονίαν ἀφῖχθαι τοῦτον γεγράφηκα, ὡς ἂν καὶ αὐτὸς ἀφιγμένος ἐκεῖσε καὶ ἄμφω εἰς ἓν γεγονότες περὶ τῶν ἀνὰ χεῖρας ἡμῖν πραγμάτων τὴν ξυμβουλὴν ποιησαίμεθα· ξυνήλθομεν γοῦν καὶ ἄμφω ἐν τῇ Πελαγονίᾳ καὶ μεθ' ἡμῶν καὶ ὁ Ξυλέας σκουτέριος. ὑπελαμβάνομεν γὰρ αὐτὸν ἄν- 151 ed. B.
θρωπον στρατιωτικὸν εἶναι ἢ κἂν ῥωμαιόφρονα· καὶ γὰρ καὶ ὁ βασιλεὺς Θεόδωρος πολλὴν περὶ αὐτοῦ εἶχε ὑπόληψιν, στρατιωτικήν τε αὐτὸν αὐχεῖν ἐμπειρίαν καὶ περὶ αὐτὸν καὶ τὰ τῶν Ῥωμαίων εὔνοιαν κεκτῆσθαι τὴν ἀκροτάτην.

Ἐπεὶ γοῦν ξυνήειμεν, ἐβουλευσάμεθα οὑτωσί, τὸν μὲν Λάσκαριν Μιχαὴλ λαβεῖν τὸ ὑπ' αὐτὸν ὅλον στρατόπεδον, τό τε Ῥωμαϊκὸν καὶ τὸ Σκυθικόν, καὶ ἀποχωρῆσαι τῶν περὶ τὴν Βέρροιαν χώρων — ἐκεῖσε γὰρ ἐποιεῖτο τὰς σκηνάς — καὶ περὶ τὴν Πελαγονίαν ὁρμῆσαι κἀκεῖσε στρατοπεδεῦσαι, ὡσαύτως καὶ ὁ Ξυλέας σκουτέριος ἵνα λάβῃ τὸ ὑπ' αὐτὸν ἅπαν στρατιωτικὸν σύνταγμα — ἐκεῖνο γὰρ μᾶλλον εἰς πλῆθος

---

1 αὕτη] αὐτὴ BU 2 γάρ] γὰρ ἦν U 3 τυγχάνων ἦν om. U 4 ταύτης] ταύταις G 6 ἐξωρμήκει] ἐξώρμησε F ἔγωγε] ἐγὼ FU ‖ οὖν om. U 7 ἐπεπύσμην] ἐπεπείσμην U 8 πρὸς] περὶ U 9 περὶ] ἐπὶ b 10 τοῦτον] πρὸς τοῦτον U 11 εἰς om. U 12 ξυμβουλὴν] ξυμβολὴν B corr. b 13 γοῦν] οὖν F ‖ καὶ ἄμφω om. A ‖ ἐν τῇ Πελαγονίᾳ] εἰς τὴν Πελαγονίαν U 14 σκουτέριος] Σκουτέριος ab 15 στρατιωτικὸν] στρατιώτην U ‖ κἂν] καὶ U ‖ καὶ om. FU 17 στρατιωτικὴν] στρατικὴν B στρατηγικήν ab ‖ αὐτὸν αὐχεῖν] αὐχεῖν U 18 τά] περὶ τά U ‖ τῶν om. A 19 γοῦν] οὖν ab ‖ ξυνήειμεν] ξυνείημεν U 20 λαβεῖν] λαβὼν F ‖ ὅλον A ἅπαν O ‖ στρατόπεδον] στράτευμα U 21 τὸ om. U 22 γὰρ A καὶ γάρ O 23 περὶ] ἐπὶ b 24 σκουτέριος] Σκουτέριος ab ‖ λάβῃ] ἀναλάβῃ F 25 εἰς πλῆθος om. U

ἠρίθμητο — καὶ συνέλθοι τῷ Λάσκαρι Μιχαήλ, καὶ ἡνωμένως ἐν τοῖς τῆς Πελαγονίας μέρεσι στρατοπεδεύσασθαι. ἐν ἐπικαίρῳ γὰρ ἦν ὁ τόπος περὶ τὴν τοῦ δεσπότου Μιχαὴλ μάχην καὶ περὶ τὴν τῶν Σέρβων, ὡς ἐπυθόμεθα ὅτι καὶ οὗτοι συμφώνους λόγους πρὸς τὸν Μιχαὴλ ἐπεποίηντο. ἐκείνους μὲν οὖν ἐκπληρῶσαι τὰ βεβουλευμένα ὑπεσχημένους κατέλιπον, ἐγὼ δὲ μετὰ τῆς προσηκούσης ὑπηρεσίας μου τὴν Ἀχρίδα κατέλαβον, εἴ πως ἂν δυνηθείην τὰ τῶν Ἀλβανιτῶν διορθώσασθαι. προύλαβον δὲ ἐξαποστεῖλαι περὶ τὸ Ἄλβανον τὸν ἐπὶ τῆς βασιλικῆς τραπέζης Ἰσαάκιον τὸν Νεστόγγον, ἔνταλμα δοὺς αὐτῷ κατ' ἔθος περιλαμβάνον τὴν τῆς ἡγεμονίας περίληψιν. ὥριστό μοι καὶ γὰρ ἐπ' ἀδείας ἔχειν με τοιαῦτα ποιεῖν, ἐνεργοῦντας καὶ δημόσια διαπραττομένους καὶ στρατευμάτων προϊσταμένους καὶ χωρῶν ἡγεμονίαν κεκτημένους ἀνταλλάττειν ὡς ἂν βουλοίμην. εἱλόμην
152 ed. B. *οὖν ἀπελθεῖν περὶ τὸ Ἄλβανον καὶ τῆς τῆς χώρας ἕνεκεν διορθώσεως καὶ τοῦ μαθεῖν με τί ἂν ὁ ἐπὶ τῆς βασιλικῆς τραπέζης πεποίηκεν. ἀπελθὼν γοῦν τὸν μὲν ἐπὶ τῆς τραπέζης, καθὼς ἂν εἶχον ἰσχύος, τοῦ Ἀλβάνου ἐξήγαγον. προύφθασαν γὰρ τὸ τῶν Ἀλβανιτῶν ἔθνος καὶ τὰ τῆς ἀνταρσίας ἐκπεπληρώκασιν· ἅπαντες γὰρ ξυνῆλθον τῷ ἀποστάτῃ δεσπότῃ Μιχαήλ. ἐπεὶ γοῦν αὐτὸς ἑώρων τὰ πάντα κυκώμενα, ἐκ τῶν Δεβρῶν ἀπάρας — πλείους γὰρ ἐκεῖσε ἡμέρας ἢ ἔδει διήνυσα· καὶ γὰρ κύκλῳ τοὺς πολεμίους*

---

1 *συνέλθοι*] *συνέλθῃ* F ‖ *ἡνωμένως* U *ἡνωμένος* O *ἡνωμένους* an *ἡνωμένοι — στρατοπεδεύσαιντο* coni. b 2 *ἐν τοῖς*] *τοῖς* F ‖ *τῆς Πελαγονίας* AU *περὶ τὴν πελαγονίαν* BFG 3 *ἦν* om. F ‖ *περὶ*] *ἐπὶ* b 4 *μάχην* om. BU ‖ *καὶ — 5 Μιχαὴλ* om. U 4 *περὶ*] *ἐπὶ* b 5 *Μιχαὴλ* A *δεσπότην μιχαὴλ* O ‖ *ἐπεποίηντο*] *πεποίηντο* F 6 *ἐκπληρῶσαι*] *πληρῶσαι* A ‖ *βεβουλευμένα*] *βεβουλημένα* U 8 *Ἀχρίδα*] *ἀχρίδαν* G 9 *περὶ*] *ἐπὶ* b 11 *Νεστόγγον*] *νοστόγγον* U ‖ *τὴν* om. B 13 *ἔχειν — ποιεῖν*] *ποιεῖν ἔχειν με* U ‖ *διαπραττομένους — 14 προϊσταμένους*] *διαπράττοντας* cett. om. U 16 *περὶ*] *ἐπὶ* b ‖ *ἕνεκεν*] *ἕνεκε* ab 17 *ἐπὶ* om. U 19 *ἂν* om. U 20 *προύφθασαν — Ἀλβανιτῶν* marg. praeciso om. U 22 *δεσπότῃ Μιχαήλ*] *δεσπότῃ τῷ Μιχαὴλ* G *μιχαὴλ τῷ δεσπότῃ* U 23 *γὰρ ἐκεῖσε* om. U 24 *καὶ γὰρ κύκλῳ* A *κύκλῳ γὰρ* O ‖ *τοὺς πολεμίους εἶχον* A *εἶχον τοὺς*

εἶχον — μετὰ μετρίων τινῶν ἀνδρῶν τῶν ἐξυπηρετούντων
μοι μεθ' ὅπλων κατείληφα τὴν Ἀχρίδα. κἀκεῖσε γοῦν τὸν
ἐπὶ τῆς τραπέζης εἰς φυλακὴν τοῦ κάστρου ἀφείς, διαβὰς
τὴν Πρέσπαν καὶ τὸ οὕτω πως ἐπονομαζόμενον Σιδηρό-
καστρον, τῷ Πριλάπῳ προσέσχον, καὶ οἷον ἐδόκουν ὡς εἰς
λιμένα τινὰ προσοκεῖλαί με ἄκλυστον.
Ὑπῆρξε δὲ καὶ ἐμοὶ καὶ τοῖς ἐκεῖσε οὖσιν ἡμετέροις τὰ
ἐναντία. τῶν γὰρ πέριξ χωρῶν καὶ κάστρων ὁ ἀντάρτης
ἐπιδραξάμενος Μιχαὴλ ἑνὸς καὶ μόνου τοῦ Πριλάπου ἐλεί-
πετο, καὶ ἔσπευδεν, ὅσον ἦν αὐτῷ δυνατόν, ὑφ' ἑαυτὸν
ποιῆσαι τὸν Πρίλαπον· οὕτω γὰρ ἦν ἐξὸν αὐτῷ καὶ ἀσφα-
λῶς τῶν πέριξ κρατεῖν. ἐπῆλθε γοῦν καὶ ἡμῖν μετ' οὐ
πολὺ τὸ πρῶτον ὁ ἀποστάτης Μιχαὴλ μετὰ τοῦ περὶ αὐ-
τὸν στρατεύματος ἅπαντος, καὶ ἀπεπειράσατο στρατιωτι-
καῖς μεθοδίαις τοῦ ἄστεος. τὸ δὲ ἦν ἀσφαλὲς καὶ οὐ
ῥᾴδιον χειρωθῆναι, ἐθάρρει δὲ οὗτος μᾶλλον ταῖς τῶν
οἰκητόρων ἐπιβουλαῖς. τῷ τότε μὲν οὖν ἀπεκρούσθη, καὶ
τὸν στρατὸν αὐτοῦ λαβὼν ἐπανέζευξε καὶ τοῖς γύρωθεν τό-
ποις περιεπόλευεν, ἡμεῖς δ' ἐγκεκλεισμένοι τῷ τοῦ Πριλά- 1257
που ἄστει καὶ ὡς ἐν εἱρκτῇ καθειργμένοι γεγόναμεν. καὶ 153 ed. B.
τὰ μὲν ἐν ἡμῖν οὕτω ξυνέβη, ὁ δὲ τῆς ἱστορίας λόγος τῶν
ἐπὶ τὴν ἔξω γεγενημένων ἐχέσθω.

69. Ὁ μὲν οὖν βασιλεὺς διαπεραιωθεὶς τὸν Ἑλλήσπον- 1256
τον, ὡς εἶχε τάχους περὶ τοὺς τῆς Λυδίας τόπους κεχώ-
ρηκε καὶ περὶ τὰς Σάρδεις τὰς σκηνὰς ἔπηξεν. ὁ δὲ
περσάρχης σουλτάν, ὁ φυζακινῆς ἐλάφου κραδίην ἔχων,
εἶπεν ἂν ποιητής, τὴν χώραν τούτου καταλιπών, ἐπείπερ

πολεμίους O 1 μετὰ] καὶ μετὰ U 2 Ἀχρίδα] ἀχρίδαν G 4 ἐπονομαζόμενον] ὀνομαζόμενον U 5 καὶ A om. O 9 μόνου—10 καὶ marg. praeciso om. U 10 ὅσον] ὅσα F 12 κρατεῖν] κρατεῖν χώρων U ‖ καὶ ἡμῖν om. U 15 μεθοδίαις A μεθόδοις O ‖ ἄστεος] ἄστεως ab 16 μὲν om. U 18 τὸν στρατὸν] τοὺς U 19 περιεπόλευεν] περιεπόλευσεν U ‖ δ' ἐγκεκλεισμένοι] δὲ ἐγκλεισάμενοι ab 20 εἱρκτῇ] εἰρκτῇ ab 23 -σποντον — Λυδίας marg. praeciso om. U 24 περὶ] ἐπὶ Fb ‖ τόπους] χώρους G ‖ κεχώρηκε] κεχώρηκεν F 26 σουλτάν, ὁ A σουλτάνος O σουλτᾶ U 27 ἐπείπερ — 144,1 φυγὰς om. U

καὶ τὸ τούτου στράτευμα καταλέλυται, φυγὰς πρὸς τὸν βασιλέα χωρεῖ. ὁ δὲ ἐδέξατο τοῦτον καὶ δωρήμασιν αὐτόν τε καὶ τοὺς ἀμφ᾽ αὐτὸν φιλοτίμως ἐδεξιώσατο, καὶ πρὸς τὴν αὐτῶν ἐπαναζεῦξαι τούτους πεποίηκε, δοὺς αὐτοῖς στράτευμα μέτριον· εἰς τετρακοσίους γὰρ καὶ μόνον ἠρίθμητο. ἡγεμόνα δὲ τοῦ στρατεύματος τὸν Ἰσαάκιον Δούκαν κατέστησεν, ὃν καὶ Μούρτζουφλον ὠνόμαζον, τῷ γένει τούτου τοὐπίκλην τινῶν ἐπιθέντων τῶν παίζειν εἰωθότων ἐπὶ τὰς κλήσεις, πριμμικήριον ὄντα τότε τῆς βασιλικῆς αὐλῆς. ὁ δὲ περσάρχης ἀντίχαριν ἀντιδοῦναι θέλων τῷ βασιλεῖ τὸ ἄστυ τῆς Λαοδικείας ἀπεχαρίσατο, καὶ εἰσῆλθεν ἐν αὐτῷ καὶ Ῥωμαϊκὴ φυλακή. ἀλλ᾽ ἐπ᾽ ὀλίγον τοῦτο προσεκαρτέρησε, καὶ πάλιν ὑπὸ τοὺς Μουσουλ-
154 ed. B. *μάνους τὸ ἄστυ τοῦτο γεγένηται· οὐδὲ γὰρ ἦν δυνατὸν ὑπὸ Ῥωμαίων φυλάττεσθαι. ὁ μὲν οὖν σουλτὰν ἐπεὶ μὴ ἐξίσχυε τοῖς Ταχαρίοις ἀνθίστασθαι, μετὰ τῶν αὐτοῦ λογάδων βουλευσάμενος εἰς ξυμβιβάσεις καὶ συμφωνίας τοῖς Ταχαρίοις συνῆλθε· καὶ ὑπόφοροι τούτοις ἐγένοντο, καὶ ἔκτοτε τυγχάνουσι σφίσιν αὐτοῖς οἱ Μουσουλμάνοι φορολογούμενοι.*

Ephraem. ed. B. v. 9175 Nic. Greg. ed. B. I 59 *Ὁ δὲ Κομνηνὸς Μιχαὴλ ὁ Παλαιολόγος, οὗ πολλάκις ἐμνήσθημεν, ὅρκον πρὸς τοῦ βασιλέως λαβὼν εἰς ἀσφάλειαν πρὸς αὐτὸν ἐπανέζευξε καὶ τοῖς οἰκείοις αὖθις ἀποκατέστη καὶ τῶν ἰδίων ἀπήλαυσεν.*

70. *Οὔπω πάνυ πολλαὶ παρῆλθον ἡμέραι, καὶ ἐπεὶ τὰ περὶ τὴν δυσμὴν ταραττόμενα λίαν ἐπεγνώκει ὁ βασι-*

---

1 *καταλέλυται*] *καταλέλοιπε* F 3 *ἐδεξιώσατο*] *ἐδέξατο* U 4 *πεποίηκε*] *πεποίηκεν* U 7 *κατέστησεν*] *κατέστησαν* U ‖ *ὠνόμαζον* A *ἐπωνόμαζον* O 8 *τινῶν ἐπιθέντων* A *ἐπιθέντων τινῶν* O 9 *ἐπὶ*] *περὶ* ab ‖ *ὄντα τότε* A om. U *τότε* O 10 post *αὐλῆς* add. *τελοῦντα* BFGU 12 *εἰσῆλθεν — καὶ Ῥω-*] marg. praeciso om. U ‖ *φυλακή* om. U 14 *τὸ ἄστυ τοῦτο* post *γεγένηται* pos. U 15 *σουλτὰν* A *σουλτάνος* O ‖ *μὴ*] *μοι* U 16 *ἐξίσχυε*] *ἐξίσχυσε* U 17 *συμφωνίας*] *ξυμφωνίας* F 18 *συνῆλθε* AU *ξυνῆλθε* BF *ξυνῆλθον* G 19 *τυγχάνουσι*] *τυγχάνουσιν* BF om. U ‖ *αὐτοῖς*] *εἰσὶν* U ‖ *οἱ Μουσουλμάνοι φορολογούμενοι*] *φορολογίας οἱ μουσουλμάνοι τελοῦντες* F 21 *λαβὼν* ante *πρὸς* pos. U 23 *ἀποκατέστη*] *ἀπεκατέστη* *Fab* 24 *ἐπεὶ* om. F 25 *τὴν* A om. O

λεὺς καὶ τὰ πλείω πρὸς τοῦ ἀντάρτου Μιχαὴλ ἁλισκόμενα, καὶ ἔδει στρατηγὸν ἄνδρα μετὰ στρατεύματος εἰς ἀντιπαράταξιν στεῖλαι, τὸν εἰρημένον Κομνηνὸν Μιχαὴλ ἐξελέξατο, Ephraem. δοὺς αὐτῷ καὶ στράτευμα ἐκ Μακεδονίας, πάνυ δὲ τῷ ed. B. v. 9181 ποσῷ ὀλίγον καὶ ἀνωφελέστατον τῇ ποιότητι. ὁ δέ — καὶ γὰρ οὐκ εἶχεν ἀντιλέγειν τοῖς αὐτῷ προσταττομένοις — λαβὼν τὸ σμικροπρεπὲς ἐκεῖνο καὶ ἀπόλεμον στράτευμα τὴν Θεσσαλονίκην καταλαμβάνει, κἀκεῖθεν διαβὰς τὸν Βαρδάρειον, ὃν οἱ παλαιοὶ Ναξειὸν ὀνομάζουσι, καὶ τῷ Λάσκαρι Μιχαὴλ ἑνωθείς, καὶ ἄμφω βουλὴν ποιησάμενοι κατὰ τῆς Βερροίας ὡρμήκασιν, οὐχ ἵνα μαχέσωνται ταύτην — οὐδὲ γὰρ ἐξῆν αὐτοῖς τοιοῦτόν τι διαπράττεσθαι — ἀλλ' ἵνα λείαν τὰ περὶ ταύτην ποιήσωνται. καὶ ἐσκύλευσαν πολλά· 155 ed. B. ζώων γὰρ πληθὺν οὐκ εὐχερῶς ἀριθμουμένην οἱ ἀμφ' αὐτοὺς ἐληΐσαντο.

Ἐν οἷς δὲ οὗτοι ταῦτα ἐποίουν, ὁ τῶν Σέρβων ἄρχων τὴν τοῦ ἀποστάτου Μιχαὴλ ἀνταρσίαν μαθών, γένος ἔκσπονδον καὶ μηδέποτε εἰδὸς χάριν τοῖς εἰς αὐτὸ ἐπιδειξαμένοις χρηστόν, ἀλλὰ διὰ μικρόν τι κέρδος τὸ φιλίας ἀπορρῖπτον καὶ καταπατοῦν κύπελλον, στράτευμα συναθροίσας ὡς εἰς χιλίους ἠριθμημένον κατὰ τῶν Ῥωμαϊκῶν ἐκπέπομφε χώρων. οὗτοι μὲν οὖν τὴν Κύτζαβιν παραμείψαντες τὰ πέριξ τοῦ Πριλάπου ἐσκύλευον. ὁ δὲ σκουτέριος Ξυλέας μετὰ τοῦ ὑπ' αὐτὸν στρατεύματος ἐγγύς που τοῦ ἄστεος κείμενος, ὡς εἶδε τὸ τῶν Σέρβων στράτευμα τὴν χώραν ληΐζον καὶ πυρὰ πανταχοῦ ἀναπτόμενα, ἄνθρωπος ἀδαὴς τὰ πολεμικὰ καὶ μηδ' ὅλως ἐμπειρίαν ἔχων στρατιωτικήν — οὔτε γὰρ σκοποὺς εἶχε μακρὰν

3 Κομνηνὸν om. U 4 καὶ om. U ‖ δὲ A, τε O 5 ποσῷ] σῷ U 6 προσταττομένοις] προστεταγμένοις F 8 Βαρδάρειον] Βαρδάριον Fb 9 Ναξειὸν] Ναξιὸν b ἀξιὸν U 10 ἑνωθείς] ἡνωθείς F 11 ταύτην] ταύτῃ BU 12 ἐξῆν] ἐξῆναι U ‖ διαπράττεσθαι] διαπράξασθαι U 13 περὶ — ἐσκύ- marg. praeciso om. U ‖ ποιήσωνται] ποιήσονται B corr. ab 14 ζώων γάρ] καὶ ζώων U 18 μηδέποτε] μηδέπω F ‖ εἰδὸς] εἰδὼς FU 22 Κύτζαβιν ab κότζαβιν F κίτζαβιν O 23 σκουτέριος] σκουτέρης A Σκουτέριος ab 24 ἄστεος] ἄστεως ab ‖ εἶδε] οἶδε U 26 ἀδαὴς] ἀΐδρις U ‖ πολεμικὰ] πολεμικὰ U

ὡς πόρρωθεν μαθεῖν τὴν τῶν πολεμίων ἔφοδον, οὔτε ξυντάξαι στράτευμα ἐπεγνώκει — ἀπέλυσεν ἕκαστον κατὰ τῶν Σέρβων ὁρμᾶν ὡς ἐβούλετο. διαλυθέντες γοῦν τῆς συντάξεως καὶ ὀλίγοι τοῖς Σέρβοις πλείοσιν οὖσιν ἡλίσκοντο συμπλεκόμενοι, καὶ οἱ μὲν ἔργον μαχαίρας ἐγένοντο, οἱ δὲ ἐξωγροῦντο καὶ δεσμῶται ἀπήγοντο. ὕστερον δὲ καὶ αὐτὸς ὁ Ξυλέας σκουτέριος μετὰ τῶν ὑπολειφθέντων στρατιωτῶν κατὰ τῶν Σέρβων ὁρμήσας μόγις που διεσώθη, ὄρη διελθὼν καὶ βουνοὺς καὶ κρημνώδεις τόπους ὑπὸ τῶν ἐχθρῶν διωκόμενος. οὕτω μὲν οὖν τὸ ἐν τῷ Πριλάπῳ καταλέλυται στράτευμα, καὶ ἡμεῖς ἐγκεκλεισμένοι τῷ τοῦ Πριλάπῳ ἄστει γεγόναμεν καὶ οἷον ἐγκαθειργμένοι.

156 ed. B. 71. Οἱ δὲ περὶ τὸν Κομνηνὸν Μιχαὴλ τὸν Παλαιολόγον καὶ οἱ περὶ τὸν Λάσκαριν Μιχαὴλ τοιάδε πεπόνθασιν. ἐπεὶ τὴν λείαν ἐν τῇ Βερροίᾳ πεποίηνται, περὶ τὸν ἐν τοῖς Βοδηνοῖς χῶρον ἐσκήνωσαν, ὁμαλόν τε ὄντα καὶ εἰς τροφὴν ἵππων χρήσιμον. ὁ ἀποστάτης δὲ Μιχαὴλ ὁ δεσπότης τὰ τοῦ Ῥωμαϊκοῦ στρατεύματος ἀκριβῶς ἐγνωκώς, καὶ εἰς ὁπόσον τοῦτο ἠρίθμηται καὶ ὡς πλὴν ὀλίγου τὸ πᾶν ἐστὶν ἀνωφελὲς καὶ ἀχρήσιμον, ἐκλογὴν ποιησάμενος ἀπὸ παντὸς αὐτοῦ τοῦ στρατεύματος καὶ οἷον ἐξ ἁπάντων τοὺς κρείττους χωρίσας καὶ ὡς εἰς πεντακοσίους αὐτοὺς ἀριθμήσας, καὶ στρατηγὸν χειροτονήσας τὸν νόθον υἱὸν αὐτοῦ τὸν Θεόδωρον, κατὰ τοῦ Ῥωμαϊκοῦ στρατεύματος πέπομφεν.

Ἔτυχε δὲ τῷ τότε καὶ ὁ Λαπαρδᾶς Μανουὴλ μετὰ στρατεύματος συρφετώδους καὶ ξύγκλυδος πρὸς τοῦ βασι-

1 ὡς A ὥστε O || ὡς—ἔφοδον om. U || ξυντάξαι A συντάξαι U συνάξαι BFG 4 καὶ om. U 5 καὶ ras. del. A 7 Σκουτέριος ab || ὑπολειφθέντων A ἐναπολειφθέντων O 8 τῶν Σέρβων] Σέρβων U 11 τῷ—12 ἐγκαθ-] marg. praeciso om. U 12 γεγόναμεν post ἐγκαθειργμένοι pos. BFGU 13 τὸν Παλαιολόγον] παλαιολόγον U 16 τοῖς om. BU || χῶρον] τόπων U 18 ἐγνωκώς] εἰδὼς U 19 ὀλίγου A ὀλίγον FU pr. m. G ὀλίγων B sec. m. G 21 αὐτοῦ post στρατεύματος pos. U 22 κρείττους χωρίσας] κρείττονας χωρήσας U || ὡς εἰς] ὡσεὶ U 23 υἱὸν αὐτοῦ A αὐτοῦ υἱὸν O 25 -πομφεν — Λαπαρ- marg. praeciso om. U || τῷ om. A || Λαπαρδᾶς] λαπαδᾶς A Λαμπαρδᾶς ab 26 συρφετώδους] ξυρφετώδους F

λέως ἀποσταλεὶς τοῖς προσιοῦσιν ἡγεμόσι συγκῦρσαι, καὶ κατεμέμφετο αὐτοὺς ὡς προλαβόντας καὶ τὴν λείαν ἐργασαμένους, κἀκεῖνον δὲ ἄμοιρον γενέσθαι τοῦ κέρδους. ἐν οἷς γοῦν τὰ τοιαῦτα ξυνωμιλοῦντο οἱ τοῦ στρατεύματος ἡγεμόνες, τὸ ὑπὸ τὸν Λαπαρδᾶν Μανουὴλ συρφετῶδες στράτευμα, ὧν οἱ πλείους ἐπωχοῦντο φορβάσι καὶ εἶχον αὐτὰς τὰ χρειώδη πεφορτισμένας, μὴ τῶν ἄλλων ἡγεμόνων εἰδότων εἴχοντο τῆς ὁδοῦ τῆς παραμειβούσης τὸ ἄστυ τῶν Βοδηνῶν, ἵνα πρότερον τῶν ἄλλων διελθόντες λείαν καὶ οὗτοι ποιήσαιντο. ξυνηντήκει γοῦν αὐτοῖς ἐν τῇ κλείσει 157 ed. B *τῶν ἐν τοῖς Βοδηνοῖς ὁρῶν τὸ ἀποσταλὲν πρὸς τοῦ ἀποστάτου Μιχαὴλ στράτευμα πρὸς τὴν τῶν Ῥωμαίων καταπολέμησιν. ἄνδρες γοῦν στρατιῶται γενναῖοι ὑψαύχεσιν ἵπποις ἐποχούμενοι καὶ τοῖς ὅπλοις κατάφρακτοι ἀνθρωπίσκοις ξυντυχόντες ἀόπλοις καὶ ἀγεννέσι καὶ θηλείαις ἵπποις ἐφεζομένοις ἐν ἀκαρεῖ πάντας τούτους ἐτρέψαντο. φυγάδες γοῦν ἔνιοι ἐκ τούτων γεγενημένοι καὶ πρὸς τὸν Κομνηνὸν Μιχαὴλ ἀφιγμένοι ἀπήγγειλαν αὐτῷ τὰ ξυμβάντα. ὁ δὲ οὐκ ἐθροήθη τῷ αἰφνιδίῳ, ἰσχυρὸς δὲ ὢν τὴν χεῖρα καὶ τὴν γνώμην ἀνδρεῖος καὶ τὰ μάχιμα ἔμπειρος — πολλοῖς γὰρ καὶ πρότερον τοῖς πολεμικοῖς ἐγγεγύμναστο — ὁπλισθεὶς καὶ δόρυ λαβὼν καὶ τὸ στρατιωτικόν, ὅπερ ἦν ὑπὸ τὸν Λάσκαριν Μιχαήλ, ἐκ Παφλαγονίας ὡρμημένον, — ἐκεῖνο καὶ γὰρ μόνον ἐτύγχανε τῶν ἄλλων κρεῖττον καὶ πολεμῆσαι δυνάμενον, εἰς πεντήκοντα ἄνδρας ἠριθμημένον*

---

1 *προσιοῦσιν* A *προϊοῦσιν* F *προσοῦσιν* BU *προοῦσιν* G **3** *γενέσθαι*] *ἐάσαν γενέσθαι* U **4** *τὰ τοιαῦτα*] *ταῦτα* U ‖ *ξυνωμιλοῦντο*] *συνωμιλοῦντο* B *συνημιλλῶντο* coni. b **5** *ὑπὸ τὸν*] *ὑπ' αὐτὸν τοῦ* pr. m. U ‖ *Λαπαρδᾶν*] *Λαμπαρδᾶν* ab **6** *φορβάσι*] *βορβάσι* B corr. ab **10** *ξυνηντήκει*—**11** *τῶν* marg. praeciso om. U **11** *πρὸς τοῦ* ABG *παρὰ τοῦ* FU **15** *ἀγεννέσι*] *ἀγενέσι* FU **16** *ἐφεζομένοις*] *ἐφεπομένοις* U *ἐφ' ἱππαζομένοις* F ‖ *τούτους* post *ἐτρέψαντο* pos. BU **17** *γοῦν*] *οὖν* U ‖ *ἔνιοι* post *τούτων* pos. U ‖ *γεγενημένοι*] *γενόμενοι* U **18** *αὐτῷ*] *αὐτοῦ* F **20** *ἀνδρεῖος*] *ἀνδρείως* B corr. ab **22** *τὸ* om. U **23** post *ὡρμημένον* add. *καὶ* BFGU **24** *κρεῖττον*] *πρῶτον* F **25** *εἰς*—*ἠριθμημένον* ante **24** *ἐκεῖνο* pos. BFGU ‖ *ἠριθμημένον*] *ἠριθμένον* U

— κατὰ τῶν ἐναντίων ὁρμᾷ. ὁ δὲ Λάσκαρις Μιχαήλ, ὡς εἰώθει, οὐ θώρακα ἀλλὰ θωρακίδιον ἐπενδυθείς, ὡς ἂν ἔχοι ῥᾳδίως φεύγειν, ἐκ πλαγίου τῆς μάχης ἦν καὶ ἐσκόπει τὸ γενησόμενον. ὁ μὲν οὖν Κομνηνὸς Μιχαὴλ τῷ πρώτως ἐπερχομένῳ ξυναντήσας βάλλει τῷ δόρατι καὶ ῥίπτει τῆς ἐφεστρίδος· ἦν δὲ ὁ ῥηθεὶς τοῦ ἀποστάτου Μιχαὴλ νόθος υἱὸς ὁ Θεόδωρος. τοῦ πτώματος γοῦν ἀναστὰς οὗτος προσέδραμε τῷ Κομνηνῷ Μιχαὴλ καὶ ἐδυσώπει μὴ φονευθῆναι. ἠγνόει δὲ τοῦτον ὁ Κομνηνός, καὶ ὅστις ἦν οὐκ ἠπίστατο. παραδίδωσι γοῦν αὐτὸν Τούρκῳ τινί, καὶ ὃς πεφόνευκε τοῦτον. εἶτα ξυμπλακέντες οἱ Παφλαγόνες οἱ σὺν αὐτῷ τοῖς 158 ed. B. λοιποῖς ἄλλος ἄλλον ἔβαλλε, καὶ τὸ τοῦ πολέμου τέλος εἰς τροπὴν μὲν οἱ τοῦ ἀποστάτου Μιχαὴλ ἀπεῖδον, οἱ δ' ἀμφὶ τὸν Κομνηνὸν Μιχαὴλ πλείους ἢ εἴκοσι τῶν ἐγκρίτων ζωγρήσαντες καὶ πολλοὺς ἄλλους ξίφους ἔργον ποιήσαντες ἔστησαν· οὐδὲ γὰρ εἶχον διώκειν πάνυ ὀλίγοι τυγχάνοντες, προδιεφθαρμένων καὶ διαλελυμένων τῶν προαπερχομένων στρατιωτῶν, ὡς εἰρήκειμεν. οὕτω μὲν οὖν καὶ αὐτοῖς δυστυχῶς ξυνέβη τὰ πράγματα κατ' ἴσον τοῖς περὶ τὸν Πρίλαπον.

Ὁ μὲν οὖν Κομνηνὸς Μιχαὴλ καὶ ὁ Λάσκαρις Μιχαὴλ καὶ οἱ ἀμφ' αὐτοὺς ἡγεμόνες τυγχάνοντες τοῦ στρατεύματος, ἐπεὶ παρ' ἡμῶν ἠναγκάζοντο καταλαβεῖν εἰς τὸν Πρίλαπον καὶ ἡμῖν ξυντυχεῖν, ἑκόντες ἄκοντες ἀφίκοντο παρ' ἡμᾶς. καὶ ὀλίγας ἡμέρας προσκαρτερήσαντες μεθ' ἡμῶν, ἐπεὶ μὴ εἶχον δυνάμεως συστάδην ξυνελθεῖν καὶ τὸν ἀποστάτην μαχέσασθαι Μιχαήλ, ἀφέντες ἡμᾶς ὑπέστρεψαν· τήν τε γὰρ ἀπιστίαν τῶν οἰκητόρων διενοήσαντο καὶ τὸ ἀμφίβολον τῶν εἰς φύλαξιν αὐτοῦ τεταγμένων νουνεχῶς ἐτεκμήραντο. ἐναπελείφθην γοῦν καὶ αὐτὸς ἐν Πριλάπῳ μετὰ τῶν ὄντων

---

1 ὡς εἰώθει om. U 2 ἐπενδυθεὶς] ὑπενδυθεὶς ab 3 ἔχοι] ἔχῃ U 4 Μιχαὴλ om. U || πρώτως] πρώτῳ F 5 ἐπερχομένῳ] ἐρχομένῳ B 7 ὁ om. BU || γοῦν] οὖν U 9 ἠπίστατο] ἐπίστατο pr. m. in ras. A 11 Παφλαγόνες] ξυ/////αγόνες U || οἱ — αὐτῷ A οἱ σὺν αὐτῷ παφλαγόνες O 12 ἄλλος] ἄλλοις F 13 οἱ δ'] οἱ δὲ ab 14 Μιχαὴλ om. U || εἴκοσι] εἴκοσιν F || ἐγκρίτων A ἐκκρίτων O 23 -κοντο — 149,21 ἀπι- om. U

εἰς τὴν φυλακὴν τοῦ ἄστεος· οὕτω καὶ γάρ μοι ὁ κρατῶν προστέταχεν.

72. Ἐπῆλθε γοῦν τὸ δεύτερον καθ᾽ ἡμῶν ὁ ἀποστάτης Μιχαήλ, καὶ ἐπεὶ ἐκεχειρίαν εἶχεν — ἐπέγνω καὶ γὰρ ὡς αἱ βασιλικαὶ δυνάμεις ἀδυνατοῦσι τοῦτον ἀντιστάδην μαχέσασθαι — περιεστοίχισε τὸ ἄστυ φρουρᾷ καὶ ἑλεπόλεις 159 ed. B. ἵστα. ἦσαν δὲ οἱ ἐντὸς καὶ οἱ σὺν ἡμῖν τὰ αὐτοῦ φρονοῦντες. πρώτην γοῦν πεποίηκεν ἀπόπειραν, καὶ ὁπλίσας τὸ σύμπαν αὐτοῦ στράτευμα τῷ ἄστει προσέβαλε, τοξόταις καὶ σφενδονίταις εὐστόχοις χρησάμενος. καὶ κλίμακας ἔφερον, ὡς ἂν διὰ τῶν κλιμάκων περὶ τὸ ἄστυ ἀναρριχήσαιντο. ἀλλὰ τότε μὲν ἐτράπησαν καὶ πλείους ἐξ αὐτῶν ἔργον φόνου γεγένηνται, λίθοις βεβλημένοι καὶ ὀϊστοῖς, καὶ μέχρι μὲν ἡμερῶν τινῶν ἡσύχασαν. καὶ πάλιν οἱ ἐντὸς καὶ ἡμέτεροι τούτους ἐκίνησαν, καὶ αὖθις προσβολὴ σφοδροτέρα περὶ τὸ ἄστυ, καὶ ἡ ἀπόκρουσις ὁμοία· οὐδὲ γὰρ ἠδυνήθησάν τι ποιῆσαι, μᾶλλον πεπονθότες ἢ πράξαντες. μέχρι καὶ τρίτον προσέβαλε τὸ δεινόν, καὶ τὰ ὅμοια ἐπ᾽ ἴσης γεγένηνται. ἠρέμησαν γοῦν οἱ ἐναντίοι καὶ ἐν ἡσυχίᾳ προσεφίζανον. οὐδὲ γὰρ ἐτόλμων προσεγγίσαι· μᾶλλον καὶ γὰρ ἔπασχον ἐγγίσαντες ἢ ἐποίουν. οἱ μὲν οὖν τὴν ἀπιστίαν νοσοῦντες ἐδόκουν ἐν τῇ κινήσει τῆς μάχης ὡς τὰ ἑαυτῶν βουλήματα κατορθώσαιντο· θαῦμα δὲ ἂν εἴη τοῖς ἀκούουσι, εἰ ἑνὸς ἀνδρὸς ἥττηντο οὐ πλείους τῶν τεσσαράκοντα ὑπηρέτας ἔχοντος καὶ μόνῃ τῇ πίστει καὶ τῇ ἀληθείᾳ τεθαρρηκότος. ὡς γοῦν ἀδυνάτως εἶχον μάχῃ καὶ κυδοιμῷ

---

1 τὴν om. F ‖ ἄστεος] ἄστεως ab ‖ οὕτω Aab οὕτως O ‖ μοι ὁ κρατῶν A ὁ κρατῶν μοι O 3 Ἐπῆλθε] ἀπῆλθε sec. m. α in ε corr. G 4 sec. καὶ om. ab 8 πρώτην] πρῶτον BG ‖ ὁπλίσας] ὁπλίτας sec. m. τ in σ corr. G 9 τῷ ἄστει προσέβαλε] τὸ ἄστυ προσέβαλλε F 11 περὶ] ἐπὶ b 12 τότε] τοῦτο B τότε coni. b 14 καὶ πάλιν — 153,16 ὥστε καὶ om. F 15 οἱ ἡμέτεροι? 16 περὶ] ἐπὶ b 18 τρίτον προσέβαλε] τρίτον προσέβαλλε H 19 γεγένηνται A γεγένηται O 20 καὶ γὰρ A γὰρ O 22 ἐν τῇ] ὡς ἐν U ‖ ὡς om. U 24 ἥττηντο οὐ] ἥττηνται μὴ U ‖ τεσσαράκοντα AH τετταράκοντα O 25 ὑπηρέτας] ὑπηρετῶν U ‖ ἔχοντος] ἔχοντες H ‖ καὶ μόνῃ — 26 τεθαρρηκότος om. U 25 pr. τῇ] καὶ a 26 τεθαρρηκότος] τεθαρρηκότες H

τὰ διαβούλια οἱ καθ' ἡμῶν φρονοῦντες τὰ σφῶν κατορθώσασθαι, ἐν ἡσυχίᾳ μεμελετήκασι τὸ δεινόν· καὶ σκῆψιν ποιησάμενοι τὴν τοῦ εἰς φυλακὴν τοῦ ἄστεος συντεταγμένου στρατεύματος ζωαρκείας χάριν διοίκησιν, ἐξάγουσιν αὐτοὺς τῶν ἐπάλξεων καὶ περὶ τὰ σιτοφυλακεῖα ἀπάγουσιν. ἐξ ἐρήμης γοῦν ἀνοίγουσι τὰς πύλας οἱ ταῦτα προμελετή-
160 ed. B. *σαντες, καὶ ἑάλω οὕτω τὸ τοῦ Πριλάπου ἄστυ, οὐ πολεμίων ἀρετῇ, οὐκ ἀνοχυρότητι τόπου, ἀλλὰ τῇ τῶν φυλάκων ἀβελτηρίᾳ καὶ ἀπιστίᾳ. καὶ ἡμεῖς συνεάλωμεν καὶ δεσμῶται γεγόναμεν. οὐδὲ γὰρ ὤνησεν ἡμᾶς τὸ τῆς ἀκροπόλεως φρούριον· πέτρα γὰρ ἦν καὶ ἁλωτὴ δεκαβάθμῳ κλίμακι, εἴπερ ἐπῄεσάν τινες πολεμήσοντες· ἐν ᾗ καὶ νυκτὸς οἱ τὰ ἐναντία φρονήσαντες ἡμέτεροι ἐφορμῆσαι καθ' ἡμῶν ἠβουλήθησαν ὡς ἡμᾶς τε ἀποκτενεῖν καὶ τὰ ἡμῶν ξυλλαβεῖν. ἐπεὶ δὲ αὐτὸς ταυτὶ ἐπεγνώκειν, τότε μὲν ἑαυτοὺς ἐφυλαξάμεθα καθὼς ἦν ἡμῖν δυνατόν, ἐπιλαμψάσης δὲ ἡμέρας τῷ ἀποστάτῃ Μιχαὴλ εἰς ξυμφωνίας συνῆλθον. κἀκεῖνος μὲν πρὸς ἡμᾶς δέδωκεν ὅρκους ἐλευθέρους μὲν κακῶν καὶ μετὰ τῶν σφετέρων πραγμάτων παρὰ τοῦ μέρους αὐτοῦ εἰς τὴν χώραν διασωθῆναι τοῦ βασιλέως, ἡμεῖς δὲ τὸ μικρὸν ἐκεῖνο πρὸς αὐτὸν ἀπολελύκαμεν φρούριον. ἀλλ' ἦσαν οἱ ὅρκοι τούτου ψευδεῖς· ἐπίορκον γὰρ ὠμωμόκει. ἔσχεν οὖν ἡμᾶς ἐν δεσμοῖς καὶ ἀπὸ χώρας εἰς χώραν μεταβιβαζομένους πεδήτας.*

---

1 *οἱ*] *τὰ* G ‖ *τὰ σφῶν — 2 μεμελετήκασι*] *διαπράξασθαι* U 2 *καὶ* om. U 3 *τὴν* om. U ‖ *ἄστεος*] *ἄστεως* ab ‖ *συντεταγμένου*] *τεταγμένου* H 4 *αὐτοὺς*] *αὐτὴν* B *αὐτὸ* U 5 *περὶ*] *ἐπὶ* b ‖ *σιτοφυλακεῖα*] *σιτοφυλάκια* Uab ‖ *ἀπάγουσιν*] *ἐπάγουσι* U ‖ *ἐξ*] *καὶ ἐξ* U 6 *ἐρήμης*] *ἐρήμοις* H ‖ *γοῦν* om. U 9 *συνεάλωμεν*] *συνεάλομεν* H 10 *ὤνησεν*] *ὄνησεν* H 11 *ἁλωτὴ*] *ἑάλω τῇ* UH 12 *εἴπερ ἐπῄεσαν*] *ἥνπερ ἐποίησαν* U *εἴπερ ἐποίεσαν* H ‖ *πολεμήσοντες*] *πολεμήσαντες* B corr. ab H ‖ *τὰ ἐναντία*] *τἀναντία* ab 13 *ἠβουλήθησαν*] *ἐβουλήθησαν* U 15 *δὲ*] *καὶ* HU ‖ *ἐφυλαξάμεθα*] *ἐφυλάξαμεν* U 16 *ἦν* om. U ‖ *δὲ*] *δ'* U 17 *ἀποστάτῃ*] *δεσπότῃ* pr. m. in ras. H ‖ *ξυμφωνίας*] *συμφωνίας* G 18 *ὅρκους*] *ὄχλους* U 21 *οἱ ὅρκοι — 22 ὠμω-* marg. praeciso om. U 22 *ἔσχεν*] *ἔσχον* U 23 *δεσμοῖς*] *δυσμοῖς* H ‖ *μεταβιβαζομένους*] *μεταβιβαζόμενος* U

Ὁ μὲν οὖν βασιλεὺς Θεόδωρος περὶ τούτων ἀκηκοὼς ὑπετόπασε μὲν περὶ ἐμοῦ οὐ καλῶς, ἀνθρωπίνοις δὲ λογισμοῖς ἑπόμενος ὑπετόπασεν. ὡς γὰρ ἐμεμαθήκει τοὺς κρείττους τῶν στρατηγούντων ἐν τῇ δυσμῇ, ἐν οἷς ἐθάρρει καὶ τὰ πολλά, ὑπὸ τὸν ἀποστάτην Μιχαὴλ γεγενῆσθαι, τοὺς μὲν καὶ πρὸ τῶν κατασχέσεων τῶν φρουρίων, ἤγουν τὸν σκουτέριον Ξυλέαν, τὸν Ῥαματᾶν Μανουήλ, τὸν Πουλάχαν καὶ ἄλλους ἐνίους τῶν σὺν αὐτοῖς, αὖθις δὲ καὶ μετὰ τὰς κατασχέσεις, εἴτουν τὸν ἐπὶ τῆς τραπέζης Ἰσαάκιον τὸν 161 ed. B. Νεστόγγον, ὃν αὐτὸς εἰς ἀρχήν, καθὰ προϊστορήκειν, ἀποκατέστησα τῆς Ἀχρίδος, καὶ ἄλλους οὐκ ὀλίγους τῶν γνωρίμων τε καὶ ὀνομαστῶν ὑπὸ τὸν ἀποστάτην ἑκόντας τελέσαι, ἐδεδίει καὶ περὶ ἐμοῦ, μή ποτε καὶ αὐτὸς πάθω τὰ ὅμοια· ἔθραττε καὶ γὰρ τὸν αὐτοῦ λογισμὸν τὸ ἐξ ὑπογυίου συμβὰν ἐμοὶ παρ' αὐτοῦ. οἱ δὲ τὰ κατ' ἐμὲ ἀκριβέστερον ἐπιγνόντες διισχυρίζοντο μὴ ἄν ποτε τοιοῦτον φανῆναί με. ἐπεὶ δὲ χρόνος παρερρύη συχνὸς κἀκ τῶν ἐπερχομένων δεσμώτην ἐμάνθανεν εἶναί με καὶ εἱρκτῇ περικλείεσθαι ποδοκάκαις τε καὶ χειροπέδαις ξυνέχεσθαι, ἠγάπα τε τὴν πρᾶξιν καί μοι προσφιλέστερον διετίθετο, ὁρισμοὺς δὲ ἐπεποιήκει κτημάτων πέρι τῶν ἐμῶν, μηδένα τολμῆσαί ποτε πόδα τε βαλεῖν ἐν αὐτοῖς καὶ ζημίαν ἐπεμβαλεῖν. καὶ ταῦτα μὲν οὕτως ἔσχε, τῷ δὲ βασιλεῖ Θεοδώρῳ ξυνέβη οὕτω τὰ πράγματα.

---

2 ὑπετόπασε] ὑποτόπασε B corr. ab ‖ οὐ om. U 5 ἀποστάτην] δεσπότην pr. m. in ras. H 7 σκουτέριον in σκουτάριον pr. m. mut. H Σκουτέριον ab ‖ Ξυλέαν] τὸν ξυλέαν G ‖ Μανουήλ] μανουήλ, ὃν καὶ μέγαν ἑταιρειάρχην τετίμηκε U ‖ Πουλάχαν] πουλούχαν U 9 εἴτουν] ἤτουν U 10 Νεστόγγον] νοστόγγον U ‖ ὃν] ὃν καὶ H ‖ ἀρχήν A φυλακήν O ‖ καθὰ] καθὼς U ‖ προϊστορήκειν] προειρήκειν H 11 Ἀχρίδος] ἀχρίδας H 12 ἀποστάτην] δεσπότην pr. m. in ras. H 13 καὶ περὶ] γὰρ περὶ a ‖ ἐμοῦ AHU ἐμοὶ BG ‖ πάθω] δράσαιμι post ὅμοια pos. U 15 τὰ om. U 16 ἐπιγνόντες] εἰδότες U 18 ἐμάνθανεν om. U ‖ εἱρκτῇ] εἰρκτῇ ab ‖ περικλείεσθαι ποδοκάκαις] περικλεῖσθαι ποδάκαις H 19 ξυνέχεσθαι] συνέχεσθαι B συνέχεσθαι ἤκουε U 20 διετίθετο] διετέθειτο ab 21 πέρι] περὶ U ‖ ποτε om. BU 23 ἔσχε] ἔλεγε A

Ephraem. ed. B. v. 9218 Nic. Greg. ed. B. I 60 162 ed. B.

73. Ὁ μὲν οὖν τῶν Βουλγάρων ἄρχων, ὁ γυναικάδελφος αὐτοῦ Μιχαήλ, ὃς πολλὴν τὴν ἔχθραν κατά τε αὐτοῦ τοῦ γαμβροῦ καὶ βασιλέως καὶ τῶν Ῥωμαίων ἐξέτρεφε, πρὸς τοῦ πρωτεξαδέλφου αὐτοῦ Καλιμάνου καιρίαν πληγεὶς εἰδήσει καί τινων οἰκητόρων Τρινόβου, ἔξω που τοῦ τοιούτου διάγων ἄστεος, εὐθὺς ἐτεθνήκει. ὁ δὲ φονεύσας αὐτὸν Καλιμᾶνος τὴν ἐκείνου λαβὼν γαμετὴν ἔδοξε τὴν τῶν Βουλγάρων ἀρχὴν σφετερίσασθαι. ἀλλ' ὁ Ῥῶσος Οὖρος μετὰ στρατευμάτων ἐπελθὼν τῷ Τρινόβῳ τὴν θυγατέρα τούτου τὴν τοῦ Μιχαὴλ σύζυγον εἴληφε· τὸν γὰρ Καλιμᾶνον προύλαβόν τινες πεφονευκέναι ἐκ τόπου εἰς τόπον φεύγοντα. ἐπεὶ δὲ ἔρημος ἐναπελείφθη κληρονόμου γνησίου ἡ τῶν Βουλγάρων ἀρχή, ξυνιόντες οἱ προύχοντες εἰς βουλὴν τὸν τοῦ Τοίχου υἱὸν Κωνσταντῖνον εἰς τὸ ἄρχειν αὐτῶν ἀναδέξασθαι ἐβουλεύσαντο. ἵνα δὲ καὶ εὐπρόσωπος αὐτῷ ἡ ἀρχὴ γένοιτο καὶ ὡς ἄν γε δόξειεν ἀπὸ κληρονομίας κρατεῖν, πρὸς τὸν βασιλέα Θεόδωρον πρεσβείαν πεπόμφασιν, ἵνα τὴν αὐτοῦ θυγατέρα τὴν πρώτην, ἥτις καὶ Εἰρήνη κατωνομάζετο, εἰς συζυγίαν τῷ τοῦ Τοίχου Κωνσταντίνῳ ἐκπέμψειε, καὶ συζευχθῇ νομίμως αὐτῷ, ἐγγόνη οὖσα τοῦ προκατάρξαντος Βουλγάρων τοῦ Ἀσὰν Ἰωάννου καὶ προσήκουσα τῇ τοιαύτῃ ἀρχῇ. ἐπεὶ δὲ ἔτυχε τὸν τοῦ Τοίχου Κωνσταντῖνον γυναῖκα νόμιμον ἔχειν, χωρισμὸν τοῦ ἀνδρὸς αὐτῆς πεποιήκασι καὶ τὴν γυναῖκα πρὸς τὸν βασιλέα Θεόδωρον ἔστειλαν. οὕτω μὲν οὖν ἔσχε τὰ τῶν

---

2 πολλὴν] πολὺς H 4 Καλιμάνου A καλλιμάνου O 6 διάγων] διεξάγων in ras. H ‖ ἄστεος] ἄστεως ab 7 Καλιμᾶνος A Καλλιμάνος O 8 Ῥῶσος] ῥῶς ὁ U 9 στρατευμάτων] στρατεύματος U ‖ τὴν τοῦ] τοῦ U 10 Καλιμᾶνον A Καλλιμάνον O 11 προύλαβον] προύφθασαν U 12 κληρονόμου] κληρονόμου τινὸς U 13 εἰς—14 Κωνσταντῖνον marg. praeciso om. U 15 ἐβουλεύσαντο] ἐβουλεύοντο H 16 αὐτῷ post ἀρχὴ pos. U ‖ γένοιτο] γένηται U 18 καὶ om. AH 19 τοῦ om. AH ‖ Τοίχου] τείχου U τοίχω H ‖ Κωνσταντίνῳ] κωνσταντίνου B corr. ab 20 ἐκπέμψειε] ἐκπέμψειεν Uab ‖ καὶ συζευχθῇ] ὡς συζευχθῆναι U καὶ συζευχθῆναι H ‖ ἐγγόνη οὖσα] ἐγγόνην οὖσαν UH 22 προσήκουσα] προσήκουσαν UH ‖ τοῦ om. B 23 Τοίχου] τείχου U 25 οὖν om. H ‖ ἔσχε—153,1 καὶ marg. praeciso om. U

Βουλγάρων, οὕτω δὲ καὶ ὁ βασιλεὺς Θεόδωρος τὴν ἐξ αὐτῶν ἔσχεν εἰρήνην, καὶ ἠρέμησαν ἐν ἀμφοτέροις τὰ πράγματα.

74. *Μετὰ δὲ ταῦτα νόσῳ δεινῇ ὁ βασιλεὺς Θεόδωρος περιπέπτωκεν. ἀπέκαμον οὖν ἐν ταύτῃ καὶ ἰατρῶν χεῖρες, καὶ πᾶσά τις ἄλλη θεραπεία ἀπείρηκεν. ἐν οὐκ ὀλίγῳ γοῦν χρόνῳ τῇ νόσῳ κατεξετασθεὶς καὶ τὸ σῶμα ἅπαν κατασκελετευθεὶς ἐν τῷ τέλει τε λόγον μετανοίας ἐν ἑαυτῷ προσλαβὼν τὸ μοναδικὸν ὑπεισῄει σχῆμα. ὡς δὲ οἱ τὰ κατ' αὐτὸν ἀκριβῶς τεθεαμένοι μοι διηγήσαντο, καὶ ἐξομολόγησιν ἐπεποιήκει ψυχῆς ἀξίαν γενναίας καὶ μεγαλόφρονος. τὴν γὰρ εὐαγγελικὴν μιμησάμενος πόρνην, τὸν τῆς Μιτυλήνης ἀρχιερατικῶς προϊστάμενον εἰς τὴν τῶν αὐτοῦ σφαλμάτων ἐξαγορίαν μετακαλεσάμενος ἔμπροσθεν τῶν αὐτοῦ ποδῶν πίπτει πρὸς τοὔδαφος, καὶ δακρύων ἀπλέτοις ῥεύμασι τὴν γῆν ἐν ᾗ κατέκειτο ἔπλυνεν, ὥστε καὶ πηλὸν γεγενῆσθαι ἐκ τούτων, καθὼς οἱ κατιδόντες ταῦτα σαφῶς ἡμῖν παρεστήσαντο, καὶ τὸ 'ἐγκατέλιπόν σε Χριστέ' συχνῶς ἐπεφώνει, τοῖς τῆς ἐξαγορίας λόγοις τοῦτο συμπαραπλέκων. ἐκεῖνος μὲν οὖν οὕτω *** βιώσας καὶ μήπω ὅλους τέτταρας ἐνιαυτοὺς αὐτοκρατορήσας· κατὰ Νοέβριον γὰρ ἄρξας ἐν Αὐγούστῳ μηνὶ τὸ τέλος ἔσχηκε τῆς ζωῆς. ὁ μὲν οὖν νεκρὸς αὐτοῦ ἐν τῇ τῶν Σωσάνδρων ἀπεκομίσθη μονῇ καὶ ἐτάφη ἐκεῖσε, ὅπου καὶ ὁ βασιλεὺς καὶ πατὴρ αὐτοῦ. τετελευτηκὼς δὲ ὁ βασιλεὺς Θεόδωρος τρία καταλελοίπει παιδία, ἓν μὲν ἄρρεν τοὔνομα Ἰωάννην, δύο δὲ*

[Margin: Ephraem. ed. B. v. 924 — 163 ed. B — Georg. Pach. ed. B. I 35 — Nic. Greg. ed. B. I 61 — 164 ed. B — 1258]

1 *καὶ* om. H ‖ *τὴν ἐξ*—160,3 *ἐναπο-* om. H 2 *ἠρέμησαν*] *ἠρέμησεν* U 3 *πράγματα*] *πρᾶγμα* U 5 *περιπέπτωκεν*] *ἐπιπέπτωκεν* U 7 *καὶ*—8 *κατασκελετευθεὶς* om. U 8 *τε* om. BU ‖ *ἐν ἑαυτῷ*] *ἐνιαυτῷ* G 10 *ἀκριβῶς* om. U ‖ *μοι* om. U 14 *ἐξαγορίαν*] *ἐξαγορείαν* B 16 *τὴν γῆν*] *ταύτην* U 17 *ἐκ τούτων* om. U 19 *ἐξαγορίας*] *ἐξαγορείας* B ‖ *τοῦτο* om. U 20 *συμπαραπλέκων*] *συμπλέκων* U ‖ *οὖν* om. U ‖ post *οὕτω* lac. indicavi. *οὕτω* ⟨*ἐτεθνήκει, τριάκοντα καὶ ἓξ ἔτη*⟩ suppl.? 21 *Νοέβριον*] *νο*^ερ A *τὸν νοέμβριον* F *νοέμβριον* O 22 *γὰρ*] *μῆνα γοῦν* U 24 *μονῇ* om. U ‖ *ὅπου καὶ*] *ὅπου* U 25 *καταλελοίπει*] *κατελελοίπει* ab 26 *δὲ* om. F

θήλεα, τήν τε Θεοδώραν καὶ Εὐδοκίαν. τὰς γὰρ ἑτέρας δύο αὐτοῦ θυγατέρας ἀνδράσι πρὸ τούτου συνέζευξε, τὴν μὲν πρώτην τὴν καὶ Εἰρήνην καλουμένην τῷ τοῦ Τοίχου υἱῷ, καθάπερ ἔφημεν, Κωνσταντίνῳ, τὴν δὲ ἑτέραν τὴν καὶ Μαρίαν ὠνομασμένην τῷ τοῦ ἀποστάτου Μιχαὴλ υἱῷ Νικηφόρῳ· ἥτις καὶ ἐν τῷ καιρῷ τῆς αὐτοῦ ἀποστασίας τὸ κοινὸν ἀπέδοτο χρέος, ὡς μέν τινες ἔφασκον, ὑπὸ τοῦ συζύγου Νικηφόρου τυφθεῖσα πολλάκις, ὡς δὲ ἔνιοι ἔλεγον, φυσικῷ περιπεσοῦσα νοσήματι.

Ephraem. ed. B. v. 9293 — Georg. Pach. ed. B. I 39 — 165 ed. B. — Nic. Greg. ed. B. I 62

75. *Ὁ μὲν οὖν υἱὸς τοῦ βασιλέως Θεοδώρου Ἰωάννης πάνυ ἀφῆλιξ ἐτύγχανεν ὢν ἐν τῷ καιρῷ τῆς τελευτῆς τοῦ βασιλέως καὶ πατρός· οὔπω γὰρ τελείων ἐνιαυτῶν ὑπῆρχεν ὀκτώ. ὁ δὲ πατὴρ τούτου καὶ βασιλεὺς διαθήκην πεποίηκε, τάχα μὲν ὡς ἐπὶ τῷ παιδί, τῇ δ' ἀληθείᾳ ἐπὶ τῷ πρωτοβεστιαρίῳ αὐτοῦ τῷ Μουζάλωνι Γεωργίῳ. τοῦτον γὰρ ἡ διαθήκη ἐποίει τῶν Ῥωμαϊκῶν ἁπάντων πραγμάτων κύριον, ὥστε τὸ κράτος ἔχειν ἁπάσης τῆς τῶν Ῥωμαίων ἀρχῆς, μέχρις ἂν ὁ τοῦ βασιλέως υἱὸς εἰς τελείαν τὴν ἡλικίαν ἀφίκοιτο· καὶ προὔβησαν ἐπὶ τούτοις προστάξει τοῦ βασιλέως καὶ ὅρκοι παρὰ τῶν ἐντυχόντων τῷ τότε. ἀλλ' οὔπω τριταῖος ἦν ἐν τάφῳ κείμενος ὁ τοῦ βασιλέως νεκρός, καὶ ὡς ἀπὸ κοινοῦ συνθήματος συνδραμόντες πάντες οἱ ἐφευρεθέντες ἐκεῖσε Ῥωμαῖοι — στράτευμα δὲ ἦν ἱκανὸν συνηγμένον ἐκεῖσε — οὐ μὴν ἀλλὰ καὶ οἱ πρὸς τοῦ βασιλέως κεκακωμένοι ἄνδρες εὐγενεῖς καὶ τῆς πρώτης τυγχάνοντες τάξεως, ὧν εἷς μὲν ὑπῆρχεν ὁ Στρατηγόπουλος Ἀλέξιος, οὗ τὸν υἱὸν Κωνσταντῖνον τετύφλωκεν, αὐτὸν δὲ καθεῖρξεν, ὁ Τορνίκης τε Κωνσταντῖνος, ὃν μέγαν πριμμικήριον ὁ*

---

2 *δύο* post *αὐτοῦ* pos. F 3 *τὴν καὶ*] *καὶ* F ‖ *τοῦ* om. AF ‖ *Τοίχου*] *τύχου* B corr. ab *τείχου* U 4 *υἱῷ* om. U ‖ *τὴν καὶ*] *καὶ* F om. U 5 *ἀποστάτου* om. U 6 *αὐτοῦ* A *τοῦ πενθεροῦ* O 10 *οὖν* om. F ‖ *Ἰωάννης*] *ὁ ἰωάννης* BG 11 *ὢν* om. U 13 *διαθήκην*—14 *ὡς ἐπὶ τῷ* marg. praeciso om. U 15 *αὐτοῦ* om. B 16 *ἁπάντων* post *κύριον* pos. U 17 *τῶν* om. U 20 *καὶ ὅρκοι*] *ὅρκοι* U 22 *ὡς* om. U ‖ *πάντες* om. F ‖ *ἐφευρεθέντες*] *εὑρεθέντες* A 26 *ὑπῆρχεν*—27 *τετύφλωκεν* marg. praeciso om. U

βασιλεὺς Ἰωάννης εἶχε — καὶ πρὸς τοῦ βασιλέως υἱοῦ καθωσίωτο, ὁ Φιλῆς Θεόδωρος, τοὺς ὀφθαλμοὺς καὶ αὐτὸς ἐξορωρυγμένος, καὶ ὁ Ζαγαρομμάτης Γεώργιος, ὃν πρωτοβεστιαρίτην μὲν ὁ βασιλεὺς ὠνόμασεν Ἰωάννης, ὁ δὲ υἱὸς αὐτοῦ παρακοιμώμενον πρῶτον τιμήσας μετὰ βραχὺ καθωσίωσεν, οἱ τέτταρες υἱοὶ τοῦ πρωτοβεστιαρίου τοῦ Ῥαοὺλ καὶ αὐτοὶ καθειργμένοι, ὁ Ἀλυάτης τε Νικηφόρος, ὃν πρὸ βραχέος ἐπὶ τοῦ κανικλείου τετιμηκὼς ὕστερον τὴν γλῶτταν ἐπ' οὐδεμιᾷ αἰτίᾳ ὁ βασιλεὺς ἐκτεμὼν καθωσίωσεν, ἄλλοι τε πολλοὶ τῶν χρησίμων καὶ ὀνομαστῶν ἀνδρῶν. οἳ τοῖς στρατιώταις ξυνιόντες καὶ ἅμα συνδραμόντες καὶ ἐπὶ τῇ τῶν Σωσάνδρων συνανιόντες μονῇ κατὰ τοῦ πρωτοβεστιαρίου καὶ ἐπιτρόπου καὶ τῶν αὐταδέλφων αὐτοῦ αὐτοβοεὶ ἐφώρμησαν· ἐκεῖσε γὰρ εἶχε τὴν σκηνὴν ὁ πρωτοβεστιάριος 166 ed. B. καὶ τὴν ὁσίαν τοῦ τεθνηκότος βασιλέως ἐπλήρου.

Γνοὺς οὖν ὁ πρωτοβεστιάριος τὴν ἔφοδον τοῦ λαοῦ, συνάμα τῷ ἀδελφῷ αὐτοῦ Ἀνδρονίκῳ, ὃν καὶ μέγαν δομέστικον κατωνόμαζον, καὶ τῷ πρώτῳ αὐτοῦ ἀδελφῷ, ὃν καὶ πρωτοκυνηγὸν ἐκάλουν, ἐντὸς ἐγένοντο τοῦ ναοῦ. ὡς δὲ τὸ πλῆθος

---

1 Ἰωάννης om. A ‖ εἶχε] εἶχεν B ‖ εἶχε — 4 Ἰωάννης] εἶχέ τε καὶ τετίμηκεν U 2 ἐξορωρυγμένος] ἐξωρυγμένος F 5 παρακοιμώμενον] παρακοιμώμενος U ‖ καθωσίωσεν] καθωσίωσε BU 6 οἱ τέτταρες — 7 καθειργμένοι om. BGU 7 ὁ Ἀλυάτης τε Νικηφόρος A νικηφόρος τε ὁ ἀλυάτης O ‖ Ἀλυάτης] ἀλυάτης G ἀλιάτης U Ἀλυάττης ab 8 τὴν γλῶτταν] δὲ U 9 αἰτίᾳ] αἰτίᾳ τὴν γλῶτταν αὐτοῦ U 11 ξυνιόντες] συνιόντες U 12 συνανιόντες post μονῇ pos. F 15 βασιλέως om. U ‖ οὖν] δὲ U 16 συνάμα — 19 ναοῦ AFG ὥρμησε τοῦ ναοῦ ἐξιέναι· ἔνδον γὰρ ἦν τῆς θείας μυσταγωγίας τελουμένης (τελουμένης om. U) ἐπακροώμενος. ἀλλά τινες τῶν τῆς βουλῆς ἐκείνης συμπαρόντες αὐτῷ, δείσαντες μὴ ἐξιὼν καὶ ἐποχηθεὶς ἐντρέψῃ καὶ πρὸς ἑαυτὸν ἐφελκύσηται τὸν λαὸν κἀντεῦθεν καὶ αὐτοὶ φωραθεῖεν, πρὸς ὁρκωμοσίας ἑτέρας ἐχώρουν. ἤδη γὰρ τοῦ βασιλέως πρὸς τὰς ἐσχάτας ὄντος ἀναπνοὰς Θεοδώρου, καὶ τῆς διαθήκης εἰς ἐπήκοον πάντων (πάντων εἰς ἐπήκοον U) ἀναγνωσθείσης αὐτοῦ, ὀμνύουσιν ἅπαντες τὰ διατεταγμένα τῷ βασιλεῖ φυλάξαι ἀπαραποίητα· εἶτα καὶ μετὰ τὸ ἀποβιῶναι πάλιν ὀμνύουσιν ἐπὶ τοῖς αὐτοῖς. τρίτον οὖν ἤδη διὰ τὰ προειρημένα ὅρκοις καὶ συνθήκαις ἐμπεδωθέντες πείθουσι τὸν πρωτοβεστιάριον ἔνδον (ἐν B om. ab) ἵστασθαι

εἶδον γυμνοῖς τοῖς ξίφεσι κατ' αὐτῶν χωροῦντας, ἐντὸς εἰσῄεσαν καὶ τοῦ ἱεροῦ βήματος, καὶ τὴν παναγῆ περιπτυξάμενοι τράπεζαν ἐκεῖσε ξίφους ἔργον γεγένηνται, μηδὲ μετὰ τὸν φόνον οἶκτον λαβόντων τῶν φονευτῶν· τοιοῦτον γὰρ τὸν θυμὸν ὁ λαὸς ἅπας ἐπέτρεφε κατ' αὐτῶν, ὥστε καὶ μεληδὸν διατεμόντες αὐτούς, μᾶλλον δὲ κατὰ ἄρθρα, ἢ καὶ σμικρὰ τῶν σαρκῶν διελόντες τεμμάχια ἕκαστος τὸ οἰκεῖον τμῆμα κρατῶν τῆς ἐπιθυμίας ἐνεφορήθησαν. κἀν τῷ τάφῳ δὲ περιστάντες τοῦ βασιλέως Θεοδώρου ὀνειδιστικοῖς καὶ αὐτὸν ἔβαλλον λόγοις, ὅτιπερ τὴν τῶν Ῥωμαίων ἀρχὴν καὶ τὰ αὐτῆς πράγματα ἀνδραρίοις βδελυροῖς καὶ ἀνθρωπίσκοις οὐτιδανοῖς ἐμπεπίστευκε, τοῖς ἐκ θυμέλης μελῳδήμασιν ἀνατεθραμμένοις καὶ αὐλοῖς χαίρουσι καὶ χορδαῖς καὶ πρὸς λύραν ψαλλάττειν ἐκμελετήσασι, καὶ τὸ ὁμηρικὸν ἐξειπεῖν ψεύσταις
Il. XXIV 261 τ' ὀρχησταῖς τε καὶ ἀρίστοις χοροτυπίῃσι, καταλελοίπει δὲ ἄνδρας γενναίους καὶ περιδεξίους στρατηγούς, καλῶς τε καὶ εὐαρέστως τῷ βασιλεῖ καὶ πατρὶ ἐξυπηρετήσαντας. καὶ ταῦτα μὲν τοιοῦτον ἔσχε τὸν τρόπον.

167 ed. B. 76. Οἱ δὲ τοῦ Ῥωμαϊκοῦ πλήθους οἵ τε τῶν ἐν τέλει
Ephraem. ed. B. v. 9829 καὶ οἱ τῶν στρατιωτικῶν ταγμάτων, σὺν τοῖς καὶ οἱ τοῦ ἱεροῦ καταλόγου — συμπαρῆν γὰρ αὐτοῖς καὶ ὁ πατριάρχης καὶ τῶν ἐπιφανεστέρων ἀρχιερέων τινές — σκέψιν
Nic. Greg. ed. B. I 68 ἐπεποίηντο περὶ τῶν κοινῶν πραγμάτων, τίς ἂν εἴη ἄξιος

(συνίστασθαι ab) τοῦ ναοῦ, σὺν ἅμα τῷ ἀδελφῷ αὐτοῦ Ἀνδρονίκῳ, τὴν τοῦ μεγάλου δομεστίκου ἀξίαν τετιμημένῳ, καὶ τῷ πρώτῳ αὐτοῦ ἀδελφῷ, ὃς καὶ πρωτοκυνηγὸς τετίμητο. BU; sec. m. in marg. add. A 1 καὶ τοῦ] τοῦ BU 3 γεγένηνται] γεγένηντο B corr. ab ‖ μηδὲ μετὰ] μετὰ δὲ U ‖ οἶκτον— 4 φονευτῶν] οὐδὲ οἶκτον ἔλαβον οἱ φονευταὶ U 4 γὰρ] γὰρ τὸν φόνον καὶ U 5 ἐπέτρεφε AG ἔτρεφε F ἐνεδείξατο BU ἐνεδέξατο ab 6 αὐτούς] αὐτῶν F αὐτὸν B ‖ κατὰ] καὶ τὰ U ‖ ἢ καὶ] οἳ F ‖ τῶν σαρκῶν om. F 7 τεμμάχια O τεμάχια ab 8 κἀν—17 ἐξυπηρετήσαντας AF om. BGU 8 κἀν A κἂν F ‖ περιστάντες A παραστάντες F 10 αὐτῆς scripsi αὐτοῖς AF 12 ἐμπεπίστευκε A ἐνεπίστευσε F 14 ψαλλάττειν A ψαλάττειν F 15 χοροτυπίῃσι A χοροτοπίῃσι F 20 post τοῖς add. λοιποῖς F ‖ οἱ om. BU 21 ἱεροῦ] ἱερατικοῦ F ‖ συμπαρῆν—πατριάρχης om. G ‖ γὰρ] γὰρ ἦν U 23 τῶν om. U

τὴν τούτων οἰκονομίαν λαβεῖν καὶ κρειττόνως τῶν ἄλλων διευθετήσασθαι. οὐ γὰρ προσῆκον ἔκριναν τὴν τῶν Ῥωμαίων ἀρχὴν τοσαύτην οὖσαν ὑπὸ βρεφυλλίου ὀπωριζομένου ἢ καὶ ἀστραγαλίζοντος διευθύνεσθαι, ἀλλ' ἔκριναν χρεὼν εἶναι τὸν δυνάμενον τὴν τῶν Ῥωμαίων σώζειν ὁλκάδα ἐπὶ τῶν οἰάκων καθῆσθαι τῶν βασιλείων, πολλῶν μὲν ἐναντίων πνευμάτων καταπνεόντων αὐτῇ, ἀλλεπαλλήλων δὲ κυμάτων καταβομβούντων καὶ ταραττόντων, καὶ ἁπλῶς εἰπεῖν ἐπὶ μεγάλου τυγχάνουσαν κλύδωνος καὶ κυβερνήτου δεδεημένην γενναίου πρὸς τὸ ὑπεράνω γενέσθαι τῶν ἐπελθόντων ταύτῃ δεινῶν. αὐτίκα γὰρ τὰ μὲν ὁμοροῦντα τοῖς Πέρσαις ταῖς ἐφόδοις ἐθορυβοῦντο τῶν ἐπερχομένων κατὰ Περσῶν Ταχαρίων· οὔπω γὰρ εἰς τελείαν εἰρήνην ἀποκατέστησαν οὐδὲ εἰς ξυμβιβάσεις καὶ συμφωνίας βεβαίας συνήεσαν. καὶ τὰ ἐν δυσμῇ μέχρι καὶ αὐτοῦ τοῦ Ναξειοῦ ποταμοῦ, ὃν καὶ Βαρδάρειον ὁ πολὺς καλεῖ λαός, ὁ ἀποστάτης Μιχαὴλ ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ τὰ ἐν αὐτῇ πολίχνιά τε καὶ φρούρια παρεστήσατο, καὶ ἀφόβως τούτων ἦρχε καὶ ἀκινδύνως 168 ed. B. ἐδέσποζεν. οὐ μὴν ἀλλὰ καὶ ἑτέρα τις προσδοκία τοὺς πολλούς, μᾶλλον δὲ τοὺς ἐχέφρονας ἔθραττε, τὰς ἐπιγαμβρίας φημὶ τοῦ ἀποστάτου Μιχαήλ· τόν τε γὰρ ῥῆγα Σικελίας Μαφρέ, καθὼς προειρήκειμεν, τῇ ἑαυτοῦ θυγατρὶ Ἑλένῃ συνέζευξε, καὶ κῆδος δὲ ἄλλο ἐπὶ τῇ θυγατρὶ αὐτοῦ

---

2 *διευθετήσασθαι*] *διευθετίσασθαι* BG *διευθετεῖσθαι* U **3** *ὀπωριζομένου*—**4** *ἀστραγαλίζοντος* om. G **4** *ἀστραγαλίζοντος*] *ἀστραγγαλίζοντος* FU **6** *καθῆσθαι*] *καθεῖσθαι* AF ‖ sec. *τῶν* om. ab ‖ *ἐναντίων* om. F **7** *αὐτῇ*] *αὐτὴν* U ‖ *ἀλλεπαλλήλων*] *ἀλλ' ἐπαλλήλων* BG corr. ab **9** *δεδεημένην*] *δὲ δεημένην* F *δεομένην* U **10** *τῶν*] *ὑπὸ τῶν* ab **12** *κατὰ*—**13** *εἰς* marg. praeciso om. U **13** *ἀποκατέστησαν*] *ἀπεκατέστησαν* BU **14** *ξυμβιβάσεις*] *ξυμβάσεις* U ‖ *βεβαίας*] *βεβαίους* U ‖ *συνήεσαν*] *ξυνήεσαν* BG **15** *ἐν*] *ἐν τῇ* U ‖ *αὐτοῦ* om. U ‖ *Ναξειοῦ*] *ναξιοῦ* G *ἀξειοῦ* U *Ναξιοῦ* post *ποταμοῦ* pos. ab ‖ *ὃν*] *οἳ* B corr. ab **16** *Βαρδάρειον*] *Βαρδάριον* ab **19** *ἀλλὰ*—**21** *φημὶ*] *ἀλλὰ τοὺς ἐχέφρονας καὶ τὸ τῆς ἐπιγαμβρίας ἔθραττε φημὶ* U **20** *δὲ*] *καὶ* F ‖ *ἐπιγαμβρίας*] *ἐπὶ γαμβρίας* F **21** *ῥῆγα*] *ἦσα* sec. m. *ρ* supra lin. add. B corr. ab **22** *προειρήκειμεν*] *προειρήκαμεν* ab **23** *κῆδος*] *κῦδος* U ‖ *ἄλλο*] *ἄλλον* F

Ἄννη μετὰ τοῦ τῆς Ἀχαΐας πρίγκιπος ἐπεποίητο. ἦν δὲ καὶ ἐν τῇ Κωνσταντινουπόλει τὸ τῶν Λατίνων γένος, ἐχθρὸν καὶ αὐτὸ τυγχάνον Ῥωμαίοις, ἐν οἷς καὶ βασιλεύων ὁ Βαλδουῖνος ἐτύγχανεν.

Οὕτω μὲν οὖν τῶν πραγμάτων δυσχερῶς εἶχεν ἡ τῶν Ῥωμαίων ἀρχή, ἐζήτουν δὲ ἄρα οἱ προύχοντες τὸν καλῶς αὐτῶν προστησόμενον. ξυμπάντων δὲ οἱ ὀφθαλμοὶ πρὸς τὸν Κομνηνὸν Μιχαὴλ ἀφεώρων, οὗ πολλάκις ὁ λόγος ἀπεμνημόνευσεν. ἐπεὶ δὲ ἔδει καὶ ἐρωτήσεις γενέσθαι πρὸς τὸν λαόν, ἵνα σχοῖεν σφῶν αὐτῶν ἀπόπειραν τῆς βουλήσεως καὶ γνοῖεν ἑκάστου πρὸς ὃν ἔχει οὗτος ῥοπήν, αἱ πεύσεις κατὰ γένη καὶ κατὰ τάξεις ἐγένοντο. καὶ πρῶτον μὲν ἠρωτοῦντο Ῥωμαῖοι, καὶ ἀπαξάπαντες ὁμοθυμαδὸν ὡς ἐξ ἑνὸς στόματος τὸν Κομνηνὸν Μιχαὴλ ἐθέλειν εἶναι ἔλεγον τῶν πραγμάτων κηδεμόνα καὶ φροντιστήν, καὶ ὡς οἰκεῖον δεσπότην ἔχειν αὐτόν. καὶ τὸ Λατινικὸν δὲ φῦλον ἐρωτηθὲν οὐ πολλῆς ἐδεήθη τῆς ἀποκρίσεως, ἀλλ' εὐθὺς τὸν Κομνηνὸν Μιχαὴλ ἐζήτουν καὶ οὗτοι ἀρχηγὸν ἁπάντων τελεῖν. ἐπεὶ δὲ καὶ τὸ Σκυθικὸν ἤροντο γένος, οὐ βαρβαρικῶς ἀπεκρίνοντο ἀλλὰ καὶ Ἑλληνικῶς τε καὶ συνετῶς, καὶ οὐ κρείττονα ἄλλον εἰδέναι διισ-
169 ed. B. *χυρίζοντο εἰς τὸ ἄρχειν ἁπάντων τοῦ Κομνηνοῦ Μιχαήλ. οὐ μὴν ἀλλὰ καὶ ὁ ἱερὸς κατάλογος, ἐπεὶ τὸν Κομνηνὸν ἑώρα Μιχαὴλ πρὸς τὸ ἀντιλαβέσθαι τῶν Ῥωμαίων οὐ μικρῶς δυσχεραίνοντα, ἀλλ' οἷον κατοκνοῦντα καὶ ἀναβαλλόμενον τὴν ἐγχείρησιν καὶ τάχα καὶ ὡς αἰτίαν τιθέντα τὸν πρὸ βραχέος προβάντα ὅρκον ἐπὶ τῷ τοῦ βασιλέως Θεοδώρου παιδί, οὐ μόνον ἀγράφως αὐτῷ συνεχώρουν τῆς πράξεως, ἀλλὰ καὶ ἔγγραφον ἐξέθεντο τόμον, ἐν ᾧ σὺν τῷ πατριάρχῃ οἱ ἀρχιερεῖς πάντες ὑπογεγράφασι, διαλαμβάνοντα*

---

1 *πρίγκιπος*] *πρίγγιπος* AU ‖ *ἐπεποίητο*] *ἐποιήσατο* U 3 *βασιλεύων*] *βασιλέων* sec. m. *ε* in *ευ* corr. G 6 *ἄρα οἱ προύχοντες* marg. praeciso om. U ‖ *τὸν*] *τῶν* F ‖ *αὐτῶν*] *αὐτὸν* U 9 *ἐπεὶ*] *ἐπειδὴ* ab 12 *Ῥωμαῖοι*] *οἱ ῥωμαῖοι* B 14 *πραγμάτων* A *ῥωμαϊκῶν πραγμάτων* O 16 *ἀποκρίσεως*] *ἐρωτήσεως* U 17 *Μιχαὴλ*] *παλαιόλογον τὸν Μιχαὴλ* sec. m. in marg. add. B 19 *ἤροντο*] *ἠρώτων* U 23 *Ῥωμαίων* A *ῥωμαϊκῶν πραγμάτων* O 25 *καὶ ὡς*] *ὡς* F

ὡς οὐ μόνον ἐν τῷ ἀδεκάστῳ βήματι τοῦ Χριστοῦ οὐχ ὑφέξει λόγους τοῦ πράγματος, ἀλλὰ καὶ στέφανοι θειότεροι τούτῳ πλακήσονται ἕνεκα τοῦ εἰς σωτηρίαν ἐληλυθέναι τοῦτον τοῦ χριστωνύμου λαοῦ. οὕτω μὲν οὖν τὸν τοῦ Κομνηνοῦ Μιχαὴλ λογισμὸν ἀποτινάξαι τὴν δειλίαν φρονίμως καὶ ὡς δέον ἦν ἀπειργάσαντο, (77) *καὶ οὕτω μὲν καὶ ὁ Κομνηνὸς Μιχαὴλ τὸν ἀγῶνα τῆς βασιλείου ἀρχῆς ὑπεισέδυ. καὶ πρῶτα μὲν ἐν τῷ δεσποτικῷ τοῦτον ἀνήγαγον ἀξιώματι, καὶ ταινίαν δεσποτικὴν τὴν τούτου περιτιθέασι κεφαλήν. μικρόν τι πάνυ χρονικὸν παρῆλθε διάστημα, καὶ ἑκὼν ἄκων εἰς τὴν βασίλειον ἀνήχθη περιωπήν, πολλὰ πρὸς τῶν προυχόν-* 170 ed. B. *των ἐκβιασθεὶς καὶ οἷς τὰ κοινὰ τῶν πραγμάτων ἔμελε· καὶ γὰρ ἐπὶ τῆς βασιλικῆς ἀσπίδος οἵ τῶν ἐν τέλει καὶ οἵ ἄλλοι τῶν στρατευμάτων κρείττους ὄντες καθίσαντες βασιλικῶς ἐπεφήμισαν. ἐπεὶ δὲ ἔδει καὶ βασιλικῷ διαδήματι τοῦτον στεφθῆναι, ἐπὶ τὴν προκαθημένην πόλιν τῶν Βιθυνῶν ἀφίκετο Νίκαιαν, ἔνθα παρὰ τοῦ πατριάρχου Ἀρσενίου τὸ βασιλικὸν ἐταινιώθη διάδημα.*

Ἐπεὶ δὲ ἀπὸ τῶν τοῦ βασιλέως Θεοδώρου ἐγκρίτων δοκούντων εἶναι καὶ μεγιστάνων ὁ Καρυανίτης, ὃν καὶ πρωτοβεστιαρίτην εἶχεν ἐκεῖνος, ἐσώζετο, ὃς καὶ τῶν προειρημένων τοῦ τε πρωτοβεστιαρίου καὶ τῶν αὐταδέλφων αὐτοῦ φόνον εἰργάσατο — ἐκεῖνος καὶ γὰρ τῷ τότε τὴν Ῥωμαϊκὴν στρατιὰν ἐπεκράτει — τοῦτον ὁ βασιλεὺς Μιχαήλ, ἵνα μή τι νεωτερίσῃ,

---

3 *τοῦτον* om. U 4 *οὖν* om. BU 6 *καὶ οὕτω μὲν*] *οὕτω δὲ* U 7 *βασιλείου*] *βασιλείας* U ‖ *ἀρχῆς* post *ὑπεισέδυ* pos. U *αὐλῆς* ab 8 *ἀξιώματι, καὶ ταινίαν* marg. praeciso om. U 9 *τὴν* A *τῇ* O ‖ *κεφαλήν* A *κεφαλῇ* O 12 *ἔμελε*] *ἔμελλε* FU 14 *ἄλλοι τῶν*] *ἄλλοι οἵ τῶν στρατιωτικῶν* U 15 *ἐπεφήμισαν*] *ἐπεφήμησαν* F *ἐπευφήμησαν* GUab ‖ *καὶ*] *καὶ τῷ* U 17 *Ἀρσενίου* om. U 19 *ἐγκρίτων* A *ἐκκρίτων* O 20 *Καρυανίτης*] *καριανίτης* U ‖ *πρωτοβεστιαρίτην*] *πρωτοβεστιάριος* F 21 *εἶχεν* om. B ‖ *ἐκεῖνος*] *ἐκεῖνος προέβαλεν* ab ‖ *ὃς καὶ*] *ὃς καὶ τὸν* U 22 *τι*] *τότε* F 23 *ἐκεῖνος*—24 *ἐπεκράτει* om. G 23 *καὶ* om. U ‖ *στρατιὰν*] *στρατείαν* F 24 *Μιχαήλ* om. A ‖ in marg. *ἀναγόρευσις τοῦ κομνηνοῦ μιχαὴλ τοῦ παλαιολόγου* sec. m. F ‖ *νεωτερίσῃ*] *νεωτερήσῃ* U ‖ *εἱρκτῇ*] *εἱρκτῇ* Uab

ἐν εἱρκτῇ ἔθετο. ὁ δὲ ἀποδρὰς περὶ τὰ τῶν Περσῶν ᾤχετο, ὑπό τινων δὲ Τουρκομάνων κατασχεθεὶς ἐσκύλευται μὲν τὰ αὐτοῦ καὶ αὐτὸς δὲ πεφόνευται. ἐναπολέλειπται δὲ ἀπὸ τῶν μεγάλων καὶ περιωνύμων ὁ Ἄγγελος Ἰωάννης, ὃς καὶ πρωτοστράτωρ ἦν καὶ κατὰ τὴν δυσμὴν διῆγεν, ἔχων ὑφ' ἑαυτὸν οὐ σμικράν τινα μοῖραν τῆς στρατιᾶς. τοῦτον μετὰ τὸν πρωτοβεστιάριον ὁ βασιλεὺς ἐφίλει Θεόδωρος, κἂν ταῖς τιμαῖς καὶ πᾶσιν ἄλλοις ἁπλῶς τὰ δευτερεῖα ἔφερεν. εἰς ὃν ὁ βασιλεὺς ἀπέστειλέ τινας τῶν αὐτοῦ ὡς εἰς αὐτὸν ἀγαγεῖν, καθ' ὁδὸν δὲ δειλίας οὗτος βέλει τρωθεὶς ἐτεθνήκει· τοιοῦτοι τὴν ψυχὴν γενναῖοι πρὸς τοῦ βασιλέως Θεοδώρου χειροτονηθέντες ἡγεμόνες Ῥωμαϊκῶν στρατευμάτων ἐτύγχανον. οὗτοι μὲν οὖν ἦσαν οἱ πρόκριτοι τῶν ἐκείνου καὶ οἱ πρώτιστοι ἐν ἀξιώμασιν, οἱ δὲ ἄλλοι ἀνθρώπια ὑπῆρχον οὐ πολλοῦ
171 ed. B. λόγου ἄξια· διὰ ταῦτα καὶ ὡς καταπεφρονημένοι παρείθησαν.

Ὁ μὲν οὖν βασιλεὺς Μιχαὴλ πρὸ τοῦ βασιλικῶς στεφθῆναι τὸν αὐτάδελφον αὐτοῦ Ἰωάννην τὸν Κομνηνόν, μέγαν χειροτονήσας δομέστικον καὶ τὰ Ῥωμαϊκὰ τούτῳ παραδοὺς στρατεύματα, εἰς τὰ δυτικὰ μέρη κατὰ τοῦ ἀποστάτου ἐκπέπομφε Μιχαήλ. συνεξαπέστειλε δὲ αὐτῷ καὶ τὸν Στρατηγόπουλον Ἀλέξιον καὶ τὸν Ῥαοὺλ Ἰωάννην τὸν τοῦ πρωτοβεστιαρίου Ῥαοὺλ πρῶτον υἱόν, σὺν τοῖς δὲ καὶ ἄλλους πολλοὺς στρατηγεῖν εἰδότας καὶ μάχαις ὡς δέον συμπλέκεσθαι. ἐπεὶ δὲ ἀνηγορεύθη καὶ βασιλεὺς ὁ βασιλεὺς

---

1 περὶ] ἐπὶ b ‖ Περσῶν] μουλσουμάνων U 2 Τουρκομάνων] τουρκουμάνων U ‖ καὶ om. U 3 δὲ om. F 5 τὴν om. U ‖ ὑφ' ἑαυτὸν] μεθ' ἑαυτοῦ U ‖ σμικράν] μικράν FU 6 μοῖραν τῆς στρατιᾶς] στρατιάν U 8 ἄλλοις] ἄλλος F 9 ὡς om. BU ‖ αὐτὸν] αὐτῶν B corr. ab 10 δειλίας om. U ‖ βέλει om. U ‖ τοιοῦτοι—12 ἐτύγχανον A om. O 13 οὖν om. HU ‖ καὶ—14 ἀξιώμασιν om. F 14 οἱ δὲ A οἱ δ' O 15 καταπεφρονημένοι] καταφρονημένοι U 16 πρὸ] πρὸς B corr. ab 19 δυτικὰ] δυσικὰ H 20 ἐκπέπομφε post Μιχαὴλ pos. B 21 Στρατηγόπουλον] στρατηγόπουλον μελισσηνὸν sec. m. U 22 Ῥαοὺλ om. FHU ‖ τοῖς δὲ] αὐτοῖς δὲ H τούτοις U 23 πολλοὺς om. BU ‖ μάχαις] μάχας H ‖ ὡς] εἰς U 24 post συμπλέκεσθαι titulus eras. in U ‖ καὶ—161,1 Μιχαήλ] ὁ κομνηνὸς μιχαὴλ καὶ βασιλεὺς U 24 ὁ βασιλεὺς Μιχαήλ om. FH

Μιχαήλ, τὸν μὲν αὐτάδελφον αὐτοῦ τὸν Κομνηνὸν Ἰωάννην σεβαστοκράτορα τετίμηκεν, ἐξαποστείλας αὐτῷ ἐν τῇ δυσμῇ ὄντι τὰ τοῦ ἀξιώματος σύσσημα, τὸν δὲ Στρατηγόπουλον Ἀλέξιον μέγαν ἐτετιμήκει δομέστικον, τὸν δὲ αὐτάδελφον αὐτοῦ Κωνσταντῖνον ἐξ ἑτέρας ὄντα τούτῳ μητρὸς τῷ τοῦ καίσαρος τετίμηκεν ἀξιώματι καὶ εἰς τὰ τῆς Παφλαγονίας ἔστειλε μέρη, τὰς ἐκεῖσε πόλεις καὶ τὸν στρατὸν ἐπισκεψόμενον καὶ τὰ φρούρια.

78. *Ἐπεὶ γοῦν ἐγκρατὴς τῶν βασιλικῶν σκήπτρων ὁ Κομνηνὸς γεγένηται Μιχαήλ, πάντας μὲν τοὺς ἐξ ὁποιασδήτινος αἰτίας κατασχέτους ὄντας ὑπὸ τοῦ βασιλέως Θεοδώρου ἢ καὶ ἄλλως παρεωραμένους ἀνερρύσατό τε καὶ* 172 ed. B *ἀνεκαλέσατο, καὶ δωρήμασιν ἀδροτέροις τούτους ἐδεξιώσατο. ἀλλὰ καὶ ἁπαξαπλῶς πρὸς πάντας φιλοτιμότερον ἐχρήσατο τῇ ἀρχῇ, ἀφειδῶς ἐπιχέων τούτοις τὰ χρήματα. καὶ ἦν ἰδεῖν τὸ τῶν Ῥωμαίων πλῆθος, κἂν οἱουδήτινος ἔτυχε τάγματος κἂν οἱασδήτινος τύχης καὶ ἐπιτηδεύματος οἱουδήτινος, πολλῆς τῆς ἡδονῆς ἐμφορούμενον καὶ ἐπιχαῖρον τοῖς πράγμασιν. ὥσπερ γάρ τις ἐκ σκοτομήνης βαθείας εἰς καθαρώτατον ἡλίου φέγγος ἐπέλθοι ἢ καὶ ἀπὸ κλύδωνος εἰς γαλήνην ἢ ἐκ χειμῶνος εἰς ἔαρ ἢ εἰς νηνεμίαν ἐκ λαίλαπος κἀκ τῆς πολλῆς ἀνίας μεταμειφθείη εἰς ἡδονήν, οὕτως ἅπαντες ἐπεγάννυντο καὶ ἐσκίρτων ὑφ' ἡδονῆς, τῆς προτέρας ἐπιλελησμένοι ἀλγεινοτέρας καὶ πικρᾶς διαγωγῆς.*

Οἱ μὲν οὖν ἐν τῇ Κωνσταντινουπόλει Λατῖνοι καὶ ὁ ἐν 1259 *αὐτῇ τάχα βασιλεύων Βαλδουῖνος πρεσβείαν ἔστειλαν πρὸς τὸν*

---

1 *τὸν Κομνηνὸν* post *Ἰωάννην* pos. H 4 *μέγαν* post *ἐτετιμήκει* pos. U || *αὐτάδελφον Κωνσταντῖνον* post *μητρὸς* pos. U 5 *αὐτοῦ* om. U 7 *τὰς*] *καὶ τὰς* U || *ἐπισκεψόμενον*] *ἐπισκεψάμενον* U 8 *καὶ τὰ φρούρια* post *μέρη* pos. U 9 *γοῦν*] *οὖν* ab 11 *αἰτίας* post *ὄντας* pos. U 12 *τε*] *με* G 17 *καὶ*] *κἂν* U 19 *πράγμασιν*] *πράγμασι* F || *ὥσπερ γὰρ*] *ὥσπερ γὰρ εἰ* U, coni. b 20 *καθαρώτατον*] *καθαρότητα* U || *ἐπέλθοι* A *ἐπέλθῃ* O || *καὶ* om. H || *εἰς γαλήνην*] *γαλήνην* B corr. ab 21 *νηνεμίαν*] *ἠρεμίαν* H 23 *ἐπεγάννυντο*] *ἐπεγάνυντο* ab || *ἀλγεινοτέρας*] *ἀλγεινῆς* U 25 *αὐτῇ* A *αὐτοῖς* O 26 *τάχα* om. U

βασιλέα, ὑπέρογκά τινα ζητοῦντες καὶ ἀτόπων ὄντα ἐγγύς· καταφρονητικῶς γὰρ διατεθέντες πρὸς τὸν βασιλέα ὡς νῦν τῆς ἀρχῆς ἁψάμενον βαρείας τὰς ζητήσεις ἐποίουν. καὶ πρῶτον μὲν ἤρξαντο ἀπὸ τῆς πόλεως Θεσσαλονίκης ποιεῖσθαι τὴν ζήτησιν, ἵνα παράσχῃ ταύτην τούτοις ὁ βασιλεὺς καὶ πᾶσαν τὴν ἄλλην χώραν ἄχρι καὶ τῆς Κωνσταντίνου αὐτῆς. ὁ δὲ βασιλεὺς τῶν τοιούτων ἀκροασάμενος ἀστειότερον πρὸς σφᾶς αὐτοὺς τὸν ἀπόλογον ἐποιήσατο, ὡς 178 ed. B. *'ἡ πόλις αὕτη πατρίς μου οἷον τυγχάνει· ἐκεῖσε γὰρ ὁ ἐμὸς πατὴρ ἡγεμόνευεν, ὃν καὶ ὑμεῖς οἴδατε, τὸν μέγαν λέγω δομέστικον. ἀλλὰ καὶ ἐν αὐτῇ οὗτος τὸ ζῆν ἐξεμέτρησε, καὶ τὸ σῶμα αὐτοῦ ἐκεῖσε τέθαπται. πῶς οὖν δέον ἐστὶ ταύτην τὴν πόλιν ἔξω τῆς ἐμῆς τυγχάνειν ἀρχῆς;' ταῦτ' ἀκηκοότες οἱ πρέσβεις ὑποκνηστιῶσαν ἔσχον τὴν ἀκοήν, ὡς τάχα τινὰ τῶν ζητουμένων παράσχῃ τούτοις ὁ βασιλεύς, καὶ μεταβαλόντες τὸν λόγον 'οὐκοῦν' ἔφησαν, 'ὦ βασιλεῦ, παραχώρησον ἡμῖν ἐκ τῶν Σερρῶν αὐτῶν κατασχεῖν τὰ λοιπά.' καὶ ὁ βασιλεύς· 'οὐδ' αὐτήν μοι προσήκουσαν ποιεῖσθε τὴν ζήτησιν. πρώτως γὰρ ἐν αὐτῇ πρὸς τοῦ μακαρίτου βασιλέως τοῦ θείου μου ἡγεμονεύειν χώρας ἠρξάμην, καὶ πρώτως ἐν αὐτῇ ἐστρατήγησα, καὶ φιλῶ τὸν τόπον ὡς σύνηθες ἔδαφος. οὐ χρεὼν γοῦν οὐδὲ ταύτην τὴν πόλιν καταλιπεῖν.' εὐχερῶς γοῦν οἱ πρέσβεις ἐκ τόπου μετεπήδων εἰς τόπον, καὶ μηδὲν ἔχοντες, εἰ καί τι λάβοιεν, ἀγαπᾶν ὡς κερδήσαντες καὶ 'ὦ βασιλεῦ,' ἀντεῖπον, 'καὶ δὸς ἡμῖν ἐκ τοῦ Βολεροῦ τὰ μέχρις ἡμῶν.' καὶ ὁ βασιλεύς· 'ἐν τούτοις*

---

1 *βασιλέα*] *βασιλέα μιχαήλ* H ‖ *ὑπέρογκά* B *ὑπέρογγά* O ‖ *ὄντα*] *ὄντες* H 2 *διατεθέντες*] *διατιθέντες* H *διατεθέντες καὶ ἀλαζόνως* U 5 *ζήτησιν*] *αἴτησιν* U 6 *ἄχρι*] *μέχρι* F 8 *σφᾶς* om. U ‖ *ἀπόλογον*] *λόγον* U 9 *οἷον*] *ἐστὶ καθὰ καὶ* U 10 *ὑμεῖς*] *ἡμεῖς* FH 11 *λέγω* om. BHU ‖ *ἐξεμέτρησε*] *ἐξεμέτρησεν* Hab 13 *ταῦτ'*] *ταῦτα* GHUab 14 *ὑποκνηστιῶσαν*] *ὑπομνηστιῶσαν* U 16 *μεταβαλόντες*] *μεταβαλλόντες* F ‖ *παραχώρησον*] *παραχώρησιν* B corr. ab sec. m. *ι* in *ο* corr. G 17 *τὰ*] *καὶ τὰ* H 18 *ποιεῖσθαι* HU 22 *γοῦν*] *γὰρ* H ‖ *οὐδὲ*] *καὶ* FH 25 *δὸς*] *ἐπίδος* U 26 *τά* om. U

τοῖς τόποις ἐθήρευσα πολλάκις, καὶ σχεδὸν τὸ καλῶς χρᾶσθαι ταῖς θήραις ἐν τούτοις μεμάθηκα, καὶ οὔ μοι κέκριται ἄξιον τοῦτον ἀφεῖναι τὸν χῶρον, ἔνθα καὶ πάλιν ἀγαπῶ θηρεύειν καὶ ἄγραις ζώων ἐφήδεσθαι.' 'τί γοῦν ἡμῖν δίδως;' ἀντέφησαν οἱ πρέσβεις τῷ βασιλεῖ. 'ἐγὼ μέν,' ἔφη ὁ βασιλεύς, 'οὐδέν· ἀλλ' εἴπερ ἐθέλητε τὴν ἐξ ἐμοῦ εἰρήνην λαβεῖν — καλῶς γάρ με ἐπίστασθε καὶ τὴν ἐξ ἐμοῦ μάχην ξυνίετε, ἡνίκα τὴν ἡγεμονίαν Βιθυνίας καὶ Ταρσίας εἶχον, 174 ed. B.
ὅπως ὑμῖν οἶδα μαχέσασθαι — ἐθέλω τοὺς ἐν τῇ Κωνσταντινουπόλει Λατίνους πρὸς τὴν τῶν Ῥωμαίων τελεῖν ἀρχὴν μερίδα μὲν τὴν ἐκ τοῦ κομμερκίου αὐτῶν τὴν ἡμίσειαν κἀκ τοῦ χρυσεψητείου αὐτῶν τὴν ἀνάλογον ὡσαύτως εἴσοδον. εἰ ταῦτά μοι παρασχεῖν ὑποσχοίητε, εἰς εἰρήνην συνέρχομαι. εἰ δ' οὖν, ἀλλ' ἔστω μάχη, ἥτις σὺν θεῷ φάναι μᾶλλον λυσιτελήσει Ῥωμαίοις.' οὕτως καταισχυνθέντες οἱ τῶν Λατίνων πρέσβεις ἄπρακτοι πρὸς τὴν Κωνσταντινούπολιν ὑπενόστησαν.

79. Καὶ πρὸς τὸν ἀποστάτην δὲ Μιχαὴλ ἐστείλατο 1259
πρεσβείαν ὁ βασιλεὺς διὰ τοῦ Φιλῇ Θεοδώρου τοῦ πρὸς Ephraem.
τοῦ βασιλέως Θεοδώρου τετυφλωμένου. καὶ ἡ πρεσβεία ed.B.v.9363
πραεῖα, καὶ πολλὰ [ὑπενδιδοῦσα] τῶν προσηκόντων ἄστεων Georg.Pach.
καὶ χωρῶν παρεχώρει τῷ ἀποστάτῃ ὁ βασιλεύς, πρὸς ed. B. I 81
ἀγάπην ἐφέλκων αὐτόν, ὀλίγα δὲ ἄττα ἀνεκαλεῖτο καὶ οἷα Nic. Greg.
οὐκ ἦν εἰκὸς παριδεῖν. ἀλλ' ἦν ὁ ἀποστάτης πρὸς τὰς ed. B. I 71

---

1 ἐθήρευσα πολλάκις A πολλάκις ἐθήρευσα O ‖ ἐθήρευσα] ἐθήρευσαν H 2 τούτοις A τούτῳ O 3 χῶρον] τόπον U 4 γοῦν] οὖν F 6 ἐθέλητε AG ἐθέλετε O 9 ἐθέλω] θέλω U ‖ τῇ om. FU 11 ἀρχὴν] ἀρχήν· καὶ εἰ U ‖ ἡμίσειαν—12 τὴν om. ab 12 κἀκ] καὶ BU 13 εἰ ταῦτά] ἐνταῦθά U ‖ ὑποσχοίητε] ὑποσχοίηθε in ὑποσχοίσθε sec. m. mut. G ὑπόσχοισθε U 14 συνέρχομαι] προσέρχομαι U 15 μᾶλλον] κἂν F ‖ οὕτως] οὕτω G 16 ἄπρακτοι in ἄπρακτον mut. sec. m. U ‖ Κωνσταντινούπολιν] ἐν κωνσταντινουπόλει A 17 ὑπενόστησαν A ὑπενόστουν O 18 δὲ] τε B corr. ab 19 πρεσβείαν] πρέσβιν U ‖ διὰ—20 τετυφλωμένου] τὸν φιλὴν θεόδωρον ὃς πρὸς τοῦ βασιλέως θεοδώρου τετύφλωται U 21 ὑπενδιδοὺς? 22 post παρεχώρει add. γὰρ BU ‖ πρὸς] εἰς U 24 οἷα] οἷον F ‖ τὰς om. A

ἀκροάσεις σκληρὸς καὶ πρὸς τοὺς λόγους ἀπόκροτος· οὐ μόνον γὰρ τὴν πρεσβείαν οὐ κατεδέξατο, ἀλλὰ καὶ τὰς ἀποκρίσεις οὐ προσηκούσας ἐποιεῖτο. ἐφύσα γὰρ αὐτὸν οὐ μόνον τὸ ἐπὶ τῷ ῥηγὶ τῆς Σικελίας τῷ Μαφρὲ κῆδος, ἀλλὰ καὶ τὸ ἐπὶ τῷ πρίγκιπι τῆς Ἀχαΐας τῷ Γουλιέλμῳ· ἤδη γὰρ καὶ τὴν τοιαύτην ἀγχιστείαν πεπλήρωκεν· ἐντεῦθεν
175 ed. B. μεγάλα τε ἐφρόνει καὶ ὑπέρογκα διελέγετο. ἔνθεν τοι καὶ ὁ Φιλῆς Θεόδωρος πολλὰ τοῖς λόγοις ἀνιαθεὶς καὶ βαρυαλγήσας ταῖς ἀποκρίσεσι πρὸς τὸν βασιλέα ὑπέστρεφε, τοῦτο πρὸς τὸν ἀποστάτην εἰπών· 'οἶδα μὲν ὡς ἀνοηταίνεις καὶ διὰ τοῦτο φθέγγῃ τὰ μὴ καθήκοντα. ἀλλ' ἴσθι ὡς τάχος πειραθήσῃ βασιλικῆς ἰσχύος καὶ Ῥωμαϊκῆς δυνάμεως καὶ γενήσῃ μετάμελος, ὅτε οὐδέν σοι τὸ ὄφελος.' ταῦτ' εἰπὼν πρὸς τὸν βασιλέα ἀφίκετο, πολλὴν καταγνοὺς τοῦ Μιχαὴλ ἀβελτηρίαν, ὅτι μηδὲ μικράν τινα ἠβουλήθη βασιλέως ἀξίωσιν ἀποπλήσασθαι, ἤδη τὸν Χαβάρωνα Κωνσταντῖνον ἀπολῦσαι κἀμὲ αὐτὸν τὸν ξυγγράφοντα, τὸν μὲν ὡς συνανατεθραμμένον τῷ βασιλεῖ καὶ πολλάκις συνημιλλημένον στρατιωτικοῖς ἐπιτηδεύμασιν, ἐμὲ δὲ ὡς εἰς κῆδος τῷ βασιλεῖ ξυνελθόντα καὶ τῆς συζύγου γοερὸν ἀναβοώσης καὶ τῶν ποδῶν προκυλινδουμένης τοῦ αὐτοκράτορος, καὶ ταῦτα πλείους τῶν εἴκοσι τῆς εἱρκτῆς λελυκότος τοῦ βασιλέως, οὓς ἐν τῷ κατὰ τὰ Βοδηνὰ πολέμῳ ζωγρίας ὁ βασιλεὺς εἵλετο πρὸς τοῦ βασιλέως Θεοδώρου ἀποσταλείς, ὧν ἔνιοι

1 οὐ μόνον γὰρ] καὶ οὐ μόνον U 2 οὐ κατεδέξατο] κατεδέξατο H ἐδέξατο U οὐ κατ' ἀξίαν ἐδέξατο? 3 ἐφύσα] ἐφύσσα AF 4 τὸ] τῷ G ‖ ἐπὶ τῷ om. FH ‖ Μαφρὲ] μεφρὲ H 5 τὸ] τὰ in τὸ sec. m. G ‖ πρίγκιπι BG πρίγγιπι AFU πρίγκηπι H ‖ Γουλιέλμῳ] γουλιέρμῳ F 6 τοιαύτην] αὐτοῦ U 7 ὑπέρογκα BG ὑπέρογγα O 11 καθήκοντα] μαθήκοντα H προσήκοντα ab ‖ ἴσθι] ἴσθ' Hab 12 Ῥωμαϊκῆς post δυνάμεως pos. U 13 ὅτε] ὅταν U 16 ἀποπλήσασθαι] ἀποπληρώσασθαι FU ‖ ἤδη AH ἢ δὴ BFG ἢ δὲ U μηδὲ ab 16 κἀμὲ A καὶ ἐμὲ O ‖ αὐτὸν om. U ‖ ξυγγράφοντα] συγγράφοντα U 18 συνανατεθραμμένον] συνανατεθραμμένος H συνανατρεφόμενον U ‖ συνημιλλημένον] συνημιλλημένοις H 20 καὶ τῶν ποδῶν AU τῶν ποδῶν O 21 προκυλινδουμένης ante τῶν ποδῶν pos. U προσκυλινδουμένης G 22 εἱρκτῆς] εἰρκτῆς Hab 23 Βοδηνὰ] βοδενὰ H

καὶ προσγενεῖς ὑπῆρχον τῷ ἀποστάτῃ, οἱ δ' ἄλλοι κρείττους τε ἐν στρατείᾳ καὶ τῶν ἐκ γένους περιφανῶν. οὕτω μὲν τὰ τῆς πρεσβείας προέβη τῆς πρὸς τὸν ἀποστάτην.

Ὁ δὲ βασιλεὺς καὶ πρὸς τὸν ῥῆγα Σικελίας τὸν Μαφρὲ τὸν τοῦ ἀποστάτου γαμβρὸν πρεσβείαν ἔστειλε διὰ τοῦ ἐπὶ τοῦ κανικλείου Νικηφόρου τοῦ Ἀλυάτου, ὃν καὶ κατεῖχε μεθ' ἑαυτοῦ ἐγγύς που δύο ἐτῶν· πῶς γὰρ ἂν εἶχε καὶ πληρῶσαί τι τῶν τοῦ βασιλέως βουλημάτων, καθάπαξ τῷ ἀποστάτῃ Μιχαὴλ συνδεθεὶς καὶ εἰς φαντασίαν μείζονος κέρδους 176 ed. B. κρατηθείς; ὁ δὲ βασιλεὺς καὶ πρὸς τὸν πρίγκιπα Ἀχαΐας διεπρεσβεύσατο· ἀλλὰ καὶ ἐκεῖνος τῷ κήδει τῷ πρὸς τὸν ἀποστάτην τεθαρρηκὼς καὶ πολλὰ ἐκ τούτου προσγενήσεσθαι αὐτῷ προσδοκῶν, εἰς οὐδὲν τοὺς λόγους ἐτίθετο.

80. Ὁ μὲν οὖν βασιλεύς, ὡς προέφημεν, τὸν αὐτάδελφον αὐτοῦ τὸν σεβαστοκράτορα ἐν τῇ δυσμῇ κατὰ τοῦ ἀποστάτου ἐκπέμψας καὶ τούτῳ τὰς δυνάμεις ἐγχειρίσας καὶ τοὺς αὐτῶν στρατηγούς, προσέταξε κατευθὺ τὴν πορείαν ποιήσασθαι, μέχρις ἂν τῷ τοῦ ἀποστάτου ἐντύχῃ στρατεύματι. ὁ μὲν οὖν σεβαστοκράτωρ Ἰωάννης κατὰ τὸ προσταχθὲν ἐποίει, ὁ δὲ ἀποστάτης Μιχαὴλ μετὰ τῆς συζύγου αὐτοῦ καὶ τῶν οἰκείων περὶ τὰ τῆς Καστορίας μέρη ἐστρατοπέδευεν. ἄφνω δὲ ἐπῆλθε τούτῳ βοή, ὡς τὰ Ῥωμαϊκὰ στρατεύματα τὰ τῶν Βοδηνῶν τέμπη διαβάντα κατ' αὐτῶν χωροῦσιν. οἱ μὲν οὖν ἀκούσαντες τῆς φωνῆς καὶ πτοίαν οὐ σμικρὰν ἐν ψυχῇ λαβόντες πρὸς δρασμὸν αὐτοί τε ὥρμησαν καὶ πάντας τοὺς ἑαυτῶν ἐκίνησαν. ἐπεὶ δὲ ἦν νὺξ καὶ οὐχ ἑώρα τις ὅπῃ φέρεται, πολλοὶ γεγόνασιν, ὥσπερ

2 στρατείᾳ] στρατιᾷ Hab ‖ ἐκ] εἰς H 3 τῆς πρὸς] εἰς U 4 ante Σικελίας add. τῆς Uab 5 διὰ τοῦ] διὰ τοῦτο B corr. ab 6 Ἀλυάτου] ἀλυάτου FG ἀλιάτου U ἀλυάττου Hab ‖ καὶ om. U 8 τοῦ om. Hab 10 καὶ om. ab ‖ πρίγκιπα BGH πρίγγιπα AFU 15 αὐτοῦ] αὐ B corr. ab αὐτοῦ ἰωάννην U ‖ τὸν om. ab 16 ἐγχειρίσας] ἐγχειρήσας B corr. ab 17 αὐτῶν] αὐτῶ F 18 ἐντύχῃ] ἐντύχοι AG 19 Ἰωάννης om. U 21 μέρη om. U 23 τέμπη] in marg. κοιλώματα τῶν ὀρῶν A ‖ αὐτῶν] αὐτῆν B αὐτοῦ U αὐτὸν ab 25 σμικρὰν] μικρὰν BU ‖ ἐν] τῇ U ἐν τῇ F ‖ πρὸς δρασμὸν] προσδραμόντες U 26 ἑαυτῶν] ἑαυτοῦ F

177 ed. B. τινὸς ξίφους, ὁδοῦ ἔργον. καὶ ὁ Πετραλίφας δὲ Θεόδωρος ὁ αὐτοκασίγνητος τῆς τοῦ ἀποστάτου Μιχαὴλ συζύγου, θρασύτερον ἐπιβὰς τοῦ ἵππου, ἐπεὶ ἐνέτυχε κρημνώδει τόπῳ, αὐτός τε καὶ ὁ ἵππος καταβέβληνται καὶ ἄμφω ἀπώλοντο. συνεστάλησαν οὖν μέχρι τῶν οἰκείων ὅρων, εἴτουν τῶν Πυρρηναίων ὀρῶν, ἃ δὴ διορίζει τὴν παλαιάν τε καὶ τὴν νέαν Ἤπειρον τῆς Ἑλληνίδος καὶ ἡμετέρας γῆς.

Ἐπεὶ δὲ οὕτω ταῦτα ἐπὶ τούτοις ξυνέβη, ἀδείας ὁ σεβαστοκράτωρ δραξάμενος, ἔρημον εὑρὼν τῆς ἐπικουρούσης τὴν χώραν δυνάμεως, κατὰ τῶν ἐν αὐτῇ ἄστεων τὰς ὁρμὰς ἐποιεῖτο. καὶ πρῶτον μὲν ἀπῄει περὶ τὴν Ἀχρίδα, ἣν καὶ ἀρχιεπισκοπὴν Βουλγαρίας οἱ πάντες οἴδασιν, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν ἀρχιεπίσκοπον ταύτης τὸν Καβάσιλαν Κωνσταντῖνον, ὃς ἦν πρὸς τοῦ βασιλέως Θεοδώρου κατισχημένος. ὑφωρᾶτο γὰρ παρ' αὐτοῦ μὴ ὀρθὸς εἶναι περὶ τὴν ἀρχὴν τὴν βασίλειον· οἵ τε γὰρ αὐτάδελφοι αὐτοῦ μετὰ τοῦ ἀποστάτου ἐτύγχανον Μιχαήλ, ὅ τε Ἰωάννης καὶ ὁ Θεόδωρος, καὶ ὁ μὲν Θεόδωρος συνηριθμεῖτο τοῖς ἐν αὐτῷ προύχουσιν, ὁ δὲ Ἰωάννης σχεδὸν πᾶσαν τῶν αὐτοῦ πραγμάτων τὴν δεσποτείαν ἔφερε, τά τε κοινὰ διέπων καὶ τὰ κατ' οἶκον. διὰ ταῦτα, ὡς ἔφημεν, οὐκ ἐθάρρει ὁ βασιλεὺς Θεόδωρος τῷ ἀρχιερεῖ. ἀλλ' ὁ βασιλεὺς Μιχαὴλ ἐλευθερώτερον τοῖς πράγμασι χρώμενος καὶ θεῷ τὸ πλεῖον τῶν πραττομένων αὐτῷ ἢ καὶ τὸ πᾶν ἀναρτῶν, ἐλευθερίαν τῷ ἀρχιεπισκόπῳ δέδωκεν εἰς τὴν

---

1 Πετραλίφας] πετραλοίφας F πετραλείφης U 3 θρασύτερον A θρασυτέρου O ‖ ἐπιβὰς post ἵππου pos. U ‖ τοῦ ἵππου A ἵππου O 4 τε—ἀπώλοντο] τε ἀπώλετο καὶ ὁ ἵππος U 5 εἴτουν] ἤτουν U εἴτ' οὖν ab 6 Πυρρηναίων] πυρηναίων F πυριναίων U ‖ τὴν νέαν A νέαν O 8 οὕτω ταῦτα AU οὕτως ab ταῦτα οὕτω O ‖ ἐπὶ τούτοις om. U ‖ ὁ σεβαστοκράτωρ post δραξάμενος pos. U 9 ἔρημον] καὶ ἔρημον U 11 περὶ] ἐπὶ Aab ‖ Ἀχρίδα ABU Ἀχρίδαν FGH 13 ταύτης τὸν om. U 14 κατισχημένος] κατεσχημένος U ‖ ὑφωρᾶτο] ἐφωρᾶτο A ‖ παρ' A ὑπ' O 15 ὀρθὸς] ὀρθῶς U 16 αὐτάδελφοι] ἀδελφοὶ U ‖ ἐτύγχανον post Μιχαὴλ pos. U 17 ὁ Θεόδωρος] θεόδωρος BFU 18 ἐν αὐτῷ] ἑαυτοῦ A 19 πᾶσαν post πραγμάτων pos. BFGU, om. ab 20 ὡς ἔφημεν post οὐκ ἐθάρρει pos. U 23 τὸ πλεῖον] τῶν πλείων F 24 ἀρχιεπισκόπῳ] ἀρχιερεῖ ἐπισκόπῳ Ba ἀρχιερεῖ U

αὐτοῦ ἀφικέσθαι, καὶ συνείπετο οὗτος τῷ σεβαστοκράτορι. ἐπελθόντες οὖν εἰς τὴν Ἀχρίδα, ὡς ἔφημεν, ὁ μὲν σεβαστο- 178 ed. B.
κράτωρ τὰς πολεμικὰς μηχανὰς κατ' αὐτῶν ἐκίνει, ὁ δὲ ἀρχιεπίσκοπος λόγοις ὑπενδοῦναι ὑπείληφεν. ἐν οὐ πολλῷ γοῦν χρόνῳ ἑάλω πρὸς αὐτῶν ἡ Ἀχρίδα.

Ἐπεὶ δὲ τὰ ἐκεῖσε καλῶς ὁ σεβαστοκράτωρ διέθετο, ἐπὶ τὴν Δεάβολιν ὥρμησε, καὶ τὸ τῆς Δεαβόλεως ἄστυ μηχανήμασι παντοίοις παραστήσασθαι ἐβεβούλητο. καὶ ἔταξε ταῦτα καὶ ἑλεπόλεις ἔστησε καὶ μηχανὰς παντοίας πεποίηκε καὶ συνεχεῖς ἐφόδους διεπράττετο καὶ παντοίως τὴν τοῦ ἄστεος ἅλωσιν γεγενῆσθαι προείλετο. καὶ μὴν καὶ κατὰ σκοπὸν αὐτῷ προέβη τὰ πράγματα. πολλῶν γὰρ τῶν ἐντὸς πεφονευμένων τοῦ ἄστεος, οὐκ ὀλίγων δὲ καὶ ταῖς βολαῖς ταῖς ἐκ τῶν ὀϊστῶν πεπληγμένων, οἱ ἄλλοι μαλακισθέντες — φύσει γὰρ ὑπάρχει τὸ δυτικὸν γένος πρὸς φυλάξεις ἄστεων μαλθακώτερον — καὶ τὸ τοιοῦτον ἄστυ τὸ τῆς Δεαβόλεως τῷ σεβαστοκράτορι ἐνεχείρισαν. καὶ πᾶσα δὲ ἡ πέριξ τῶν τοιούτων ἄστεων χώρα, εἴτουν Πρέσπα Πελαγονία Σωσκὸς Μολυσκός, ὑπὸ τὴν ἐπικράτειαν τῶν Ῥωμαϊκῶν δυνάμεων ἐγεγόνεισαν καὶ ὑπετάττοντο τούτοις. τοιοῦτοι γάρ εἰσιν οἱ τῶν δυτικῶν οἰκήτορες, ῥᾳδίως πᾶσι τοῖς δυναστεύουσιν ὑποπίπτοντες· ἐντεῦθεν τοὺς ὀλέθρους ἀποφυγγάνουσι καὶ τὰ πλείω τῶν σφετέρων περιουσιῶν διασώζουσι. καὶ ταῦτα 1259
μὲν ὑπῆρξεν ἔαρος ἐνισταμένου.

81. Ὁ δὲ ἀποστάτης Μιχαὴλ ἐπείπερ ἑώρα ἤδη οὐκ 179 ed. B.

---

1 post ἀφικέσθαι add. ἐκκλησίαν U 2 ἐπελθόντες] ἐπελθόντων A fort. scriptoris ‖ Ἀχρίδα AB Ἀχρίδαν FGU ‖ ὁ] ὡς sec. m. ὁ supra lin. add. F 5 γοῦν] οὖν FG ‖ αὐτῶν] αὐτοῦ U ‖ Ἀχρίδα] ἀχρίς B 7 Δεάβολιν] διάβολην F ‖ ὥρμησε] ὥρμησεν ab ‖ Δεαβόλεως] διαβόλεως F ι sec. m. supr. lin. add. U 8 ἐβεβούλητο] ἐβεβούλευτο ab 9 πεποίηκε] ἐποίησε U 10 ἄστεος] ἄστεως ab 12 τὰ πράγματα AU τὸ πρᾶγμα O 13 ἄστεως] ἄστεος ab ‖ ὀλίγων] ὀλίγον G ‖ ταῖς ἐκ τῶν ὀϊστῶν] τῶν οἰκιστῶν U 14 μαλακισθέντες Aab μαλθακισθέντες O 16 τὸ om. U ‖ Δεαβόλεως] διαβόλεως U 17 ἐνεχείρισαν] ἐνεχείρησαν BF ‖ καὶ om. U 19 Μολυσκός] μολισκός FU ‖ ἐπικράτειαν] ἐγκράτειαν U 24 ὑπῆρξεν] ὑπῆρχεν U 25 post ἤδη add. ὡς b

εἰς καλὸν ἀποβῆναι μέλλειν τούτῳ τὰ πράγματα, ἀντιστῆναι ταῖς βασιλικαῖς δυνάμεσιν ἐβεβούλευτο, καὶ πᾶσαν μηχανὴν καὶ πάντα κάλων, τὸ τῆς παροιμίας, κεκίνηκε. καὶ τοὺς μὲν οἰκείους ἁπαξαπλῶς συλλέγδην πάντας συνήθροισε, συμμαχίαν δὲ οὐ σμικρὰν παρὰ τοῦ ῥηγὸς Σικελίας τοῦ γαμβροῦ αὐτοῦ προσελάβετο· ἀπηρίθμηντο γὰρ οὗτοι εἰς τετρακοσίους ἱππότας, ὅπλοις ἐχυροῖς κατάφρακτοι καὶ ὑψαύχεσιν ἵπποις καὶ ἀγερώχοις ἐποχούμενοι, ἕκαστος τούτων τῶν ἐκ τοῦ σφετέρου γένους ἐκκρίτων τυγχάνοντες. ἅτερος δὲ τούτου γαμβρὸς ὁ Ἀχαΐας πρίγκιψ τὴν πᾶσαν 180 ed. B. *αὐτοῦ στρατιὰν συλλεξάμενος δι' ἑαυτοῦ τὴν πρὸς τὸν αὐτοῦ πενθερὸν συμμαχίαν πεποίηται. ἦγε δὲ οὗτος ἀπειροπληθὲς τὸ ὁπλιτικόν· ἔκ τε γὰρ τοῦ Φραγγικοῦ γένους ἐτύγχανε καὶ ἐκ τῶν οἰκητόρων Ῥωμαίων Ἀχαΐας τε καὶ Πελοποννήσου, ὧν οὗτος ἦρχεν· οἱ πλείους δὲ τοῦ τῶν Λακώνων ὑπῆρχον γένους.*

Συνήθροιστο γοῦν παμπληθὴς στρατιά, καὶ κατὰ τοῦ αὐταδέλφου τοῦ αὐτοκράτορος τοῦ σεβαστοκράτορος Ἰωάννου τὴν ὁρμὴν ἐποιοῦντο. ὁ δὲ — καὶ γὰρ εἶχε τὰς συμβουλὰς ἀγαθὰς ἐκ τοῦ αὐταδέλφου καὶ βασιλέως — στρατηγικῶς τοὺς ἀντιπάλους μετήρχετο. ἐκεῖνος μὲν γὰρ μετὰ τῶν καταφράκτων καὶ θώραξι κεχρημένων δυνάμεων τὰ ἐχυρώτερα τῶν τόπων ἐκράτει, τοῖς δὲ ἐλαφροτέροις τῶν ὁπλιτῶν καὶ

---

1 *μέλλειν*] *μέλλει* B **4** *συλλέγδην*] *συλλήβδην* U **5** *συμμαχίαν*] *συμμαχίας* U ‖ *σμικρὰν*] *σμικρᾶς* U **6** *προσελάβετο*] *ἐπελάβετο* U ‖ *γὰρ*] *δὲ* H *γοῦν* U **7** *ἐχυροῖς*] *ὠχυροῖς* F ‖ *κατάφρακτοι* A *καταφράκτους* O ‖ *ἐποχούμενοι* A *ἐποχουμένους* O ‖ post *ἕκαστος* add. *δὲ* U **9** *τούτων*] coni. *τῶν* b ‖ *τῶν* om. B **10** *ὁ* om. U ‖ *πρίγκιψ* BGH *πρίγγιψ* AFU **11** *αὐτοῦ* post *στρατιὰν* pos. U ‖ *ἑαυτοῦ*] *αὐτοῦ* H ‖ *τὸν* om. F **12** *αὐτοῦ*] *αὐτὸν* H post *πενθερὸν* pos. U ‖ *πενθερὸν* om. H ‖ *πεποίηται*] *πεποίηκεν* BU ‖ *ἦγε*] *ἦν* A **13** *Φραγγικοῦ*] *Φραγκικοῦ* ab **14** *Ῥωμαίων* om. U **15** *Πελοποννήσου* AGab *πελοπονήσου* BFHU ‖ *τοῦ*] *τῶν ἐκ* H **16** *Λακώνων*] *λακόνων* F *Λατίνων* ab **17** *τοῦ αὐταδέλφου τοῦ αὐτοκράτορος* om. U **18** *Ἰωάννου* om. U **19** *εἶχε* om. U ‖ *συμβουλὰς*] *συμβολὰς* U **20** *ἀγαθὰς*] *ἀγαθὸς* U ‖ *αὐταδέλφου*] *ἀδελφοῦ* U **21** *τοὺς*] *τὰς* U ‖ *μετήρχετο*] *διήρχετο* U ‖ *μετὰ*] *κατὰ* U **22** *ἐχυρώτερα*] *ὀχυρωτέρα* o ex ε rest. F **23** *δὲ* AHUab

οἷς τὸ κινεῖσθαι ῥᾷον ὡς κουφοτέροις τὴν κατὰ τὰς πεδιάδας μάχην πεποιῆσθαι πρὸς τοὺς ἀντιπάλους προστέταχεν. ἦσαν δὲ οὗτοι οἱ μὲν ἐκ Σκυθῶν οἱ δὲ ἐκ Τούρκων, πολλοὶ δὲ καὶ ἐκ τῶν Ῥωμαϊκῶν φύλων, οἷς καὶ μᾶλλον ἡ τοξεία τὸ ἐπιτήδευμα. οὗτοι μὲν οὖν τοῖς ἐναντίοις προσβάλλοντες μακρόθεν τοῖς βέλεσιν ἔπληττον. ἤρξαντο μὲν οὖν ἐκ τόπου, οὗ Βορίλλα Λόγγος τοὔνομα, ξυμπίπτειν τοῖς ἐναντίοις. οὔτε γοῦν ἡμέρας ἀνέτως βαδίζειν αὐτοῖς παρεχώρουν οὔτε νυκτὸς ἠρεμεῖν. συνερρήγνυντο γὰρ αὐτοῖς ἡμέρας μὲν ἐν τοῖς τῶν ἵππων πότοις, εἴ πού τις μακρότερον ἀπῄει τὸν ἵππον ποτίσαι, ξυνέπιπτον δὲ τούτοις καὶ καθ' ὁδόν, καὶ ταῖς ἁμάξαις καὶ τοῖς φορταγωγοῖς ὑποζυγίοις προσπελάζοντες ἐκ τῶν παρ' αὐτοῖς φορτίων ἐσκύλευον ὑποχωρούντων τῶν φυλαττόντων. τοῦτο δὲ πολλάκις πεποιηκότες εἰς θάρσος 181 ed. I κατὰ τῶν ἐναντίων οὐ μέτριον ἐληλάκασιν, ὥστε καὶ χερσὶ χεῖρας ἐμβάλλειν κἀξ αὐτῶν σκυλεύειν τὰ προστυχόντα. τὸ μὲν οὖν ⟨τοῦ⟩ ἀντάρτου Μιχαὴλ κἀκ τούτου συνέσταλται στράτευμα καὶ εἰς πτοίαν οὐ μικρὰν κατηντήκει· σχεδὸν γὰρ πᾶσαν σωτηρίαν ἀπηγορεύκει.

Βίᾳ γοῦν καὶ μόγις Στανὸν καὶ Σωσκὸν καὶ Μολυσκὸν παραμείψαντες — σκοπὸς γὰρ ἦν αὐτοῖς εἰς Ephraem. ed. B. v. 988 τὸ τοῦ Πριλάπου ἄστυ γενέσθαι, ὅπως αὐτὸ διασώσειαν — ἐκεῖσε γεγονότες εἰς οἰκείαν ἕκαστος διασκεδασθέντες βουλὴν τὸν περὶ ψυχῆς τρέχειν, ὅπως ἂν εἶχεν ἰσχύος, βεβούλευται. καὶ ὁ μὲν ἀποστάτης Μιχαὴλ μετὰ τοῦ υἱοῦ αὐτοῦ Νικηφόρου καί τινων ἄλλων μετρίων ἀν-

---

δ' BFG 1 τὰς πεδιάδας] πεδιάδος U 2 μάχην] μάχης B corr. ab || πεποιῆσθαι] ποιεῖσθαι U nescio an recte || τοὺς om. F 3 δὲ AHab δ' O 5 προσβάλλοντες] προσβαλόντες U 6 τόπου] τοῦ τόπου BU 7 Βορίλλα A βορίλα O 8 ἀνέτως sec. m. in ἀνέτους F 10 πότοις] τόποις G || τις μακρότερον] τῆς μακροτέροις B corr. b τοῖς μακροτέροις a 9 ἵππον ποτίσαι] ἱπποτίσαι B corr. ab 11 ξυνέπιπτον] συνέπιπτον U || καὶ καθ'] καθ' HU 12 τοῖς] ταῖς H 15 ἐληλάκασιν] ἐληλακόσιν sec. m. corr. G ἐληλύκασιν H 16 κἀξ] καὶ ἐξ U || τὰ] τὸ H 17 ⟨τοῦ⟩ add. ab om. O 18 μικρὰν] σμικρὰν U 20 Μολυσκὸν] μολισκὸν HU 22 αὐτὸ] αὐτὸν A || διασώσειαν] διασώσειεν H 23 διασκεδασθέντες] διακεδασθέντες Hab

δρῶν, οἷς καὶ εἴωθεν ἐμπιστεύειν τὰς αὐτοῦ πράξεις, νυκτὸς τοῖς ἵπποις ἐποχηθέντες ἀπέδρασαν, καλῶς τὰ τῶν ὁδῶν ἐπιστάμενοι. ἕωθεν δὲ ἡμέρας ἤδη γεγενημένης, ὡς οἱ τῶν στρατευμάτων ἐγνώκασι τὸν Μιχαὴλ ἀποδράντα, ἤδη καὶ αὐτοὶ πρὸς φυγὴν ἐτράποντο. τὸ μὲν οὖν Ῥωμαϊκὸν στράτευμα καὶ οἱ κρείττους τῶν ἐπικρατούντων αὐτὸ καὶ ὁ νόθος τοῦ ἀποστάτου υἱὸς Ἰωάννης τῷ σεβαστοκράτορι Ἰωάννῃ προσῆλθον καὶ χεῖρας αὐτῷ δεδώκασι καὶ τῷ βασιλεῖ τοὺς ὅρκους ἀπέδοντο, ὁ δὲ πρίγκιψ Ἀχαΐας καὶ οἱ μετ' αὐτοῦ ἄλλος ἀλλαχοῦ διεσπάρησαν. καὶ ὁ μὲν πρίγκιψ κατὰ τὴν Καστορίαν ἑάλω, ὑπὸ ἀχυρμιᾷ τινι κρυβεὶς κἀκ τῶν ὀδόντων τῶν τινι στρατιωτῶν γνωρισθεὶς — εἶχε γὰρ τοὺς ἐμπροσθίους εὐμεγέθεις καὶ προβεβλημένους τῶν φατνωμάτων — καὶ δέσμιος ἀπήχθη τῷ βασιλεῖ· οἱ δὲ κρείττους τῶν ταγμάτων αὐτοῦ καὶ προσγενεῖς, ὅ τε Ἀσὲλ δε
182 ed. B. *Τουσί, ὁ τῆς Καριτάνας Ἰοφρὲ καὶ ἄλλοι τῶν ὀνομαστῶν πλείους, οἱ μὲν κατὰ τὸν Πλαταμῶνα οἱ δὲ κατὰ ἄλλο μέρος ἑάλωσαν καὶ δεσμῶται τῷ βασιλεῖ συναπήχθησαν. καὶ τὸ συμμαχικὸν δὲ στράτευμα τὸ ἐκ τοῦ ῥηγὸς Σικελίας τοῦ Μαφρὲ τῷ ἀποστάτῃ ἀποσταλέν, ὡς εἰς τετρακοσίους, ὡς εἰρήκαμεν, ἠριθμημένον, αὐτοῖς ὅπλοις, αὐτοῖς ἵπποις ὑπὸ τεττάρων ἀνδρῶν κατεσχέθησαν, ἀφ' ὧν ὁ μὲν εἷς ἦν ὁ μέγας δομέστικος ὁ Στρατηγόπουλος Ἀλέξιος, ἅτερος δὲ ὁ Ῥιμψᾶς Νικηφόρος, ἐκ Τούρκων ἕλκων τὸ γένος, ὀρθό-*

---

3 *γεγενημένης, ὡς οἱ*] *γενομένης, ὅσοι* U 8 *αὐτῷ*] *αὐτὸ* BF ‖ *τῷ βασιλεῖ* post *ἀπέδοντο* pos. H 9 *ἀπέδοντο*] $^{\text{ἀπο}}$*δεδώκασι*, pr. m. in marg. add. *γράφεται καὶ ἀπέδοντο* A ‖ *πρίγκιψ*] *πρίγγιψ* FU *πρίκιψ* B corr. ab 10 *πρίγκιψ*] *πρίγγιψ* FU 12 *τῶν τινι*] *τινι*$^{\text{τῶν}}$ sec. m. G *καί τινι* U ‖ *στρατιωτῶν στρατιωτικῶν* sec. m. corr. G 15 *ταγμάτων*] *στρατευμάτων* U ‖ *προσγενεῖς*] *συγγενεῖς* U ‖ *Ἀσὲλ δε Τουσί*] *ἀσὲλ δετουσὶν* G *ἀσελδετούσης* U *ἀσὲλ δετουσί* O 16 *Καριτάνας* AG *καριτανίας* O ‖ *Ἰοφρὲ*] *ὀφρὲ* F *γογρὲ* H 17 *πλείους*] *πλείων* F ‖ post *Πλαταμῶνα* add. *χωροῦσιν* U 18 *συναπήχθησαν*] *συνεπάχθησαν* H 19 *ῥηγὸς*] *ῥῆγος* Hab 20 *ὡς εἰς*] *ὡσεὶ* HU 21 *ὡς εἰρήκειμεν* om. U ‖ *εἰρήκαμεν* AFH *εἰρήκειμεν* BGU 22 *τεττάρων*] *τεσσάρων* F 23 *ἅτερος δὲ*] in ras. *ὁ μέλισσηνὸς* sec. m. U 24 *ὀρθότατος*] *ὀρθοδοξότατος* H

τατος δὲ γεγενημένος Χριστιανός· οἱ δὲ δύο τῶν ἀνωνύμων ὑπῆρχον. καὶ τούτους γοῦν δεσμώτας πρὸς τὸν βασιλέα ἐξέπεμψαν. τοιαύτην γοῦν νίκην οἱ τῶν ἡμετέρων ταῖς βασιλικαῖς συμβουλαῖς κατωρθώσαντο ὥστε τὴν αὐτῆς φήμην εἰς πάντα τῆς γῆς περιιέναι τὰ πέρατα· ὀλίγας γὰρ τοιαύτας νίκας εἶδεν ὁ ἥλιος. τηνικαῦτα γοῦν πάντα τε ἄστη καὶ πᾶσαν χώραν ὑφ' ἑαυτοὺς πεποίηνται οἱ ἡμέτεροι.

82. Ὁ μὲν οὖν σεβαστοκράτωρ Ἰωάννης τὴν Θετταλίαν παραμείψας καὶ τὰ ἐν αὐτῇ ἄστη τε καὶ φρούρια ὀχυρωσάμενος, περὶ τὴν Νέαν Πάτραν ἐστρατοπεδεύσατο, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν νόθον υἱὸν τοῦ ἀποστάτου 183 ed. B Μιχαὴλ Ἰωάννην. ὁ δὲ μέγας δομέστικος ὁ Στρατηγόπουλος Ἀλέξιος καὶ ὁ Ῥαοὺλ Ἰωάννης τὰ Πυρρηναῖα ὑπερβάντες ὄρη περὶ τὴν Ἄρταν ἐχώρουν, καταλιπόντες ἐν τοῖς Ἰωαννίνοις στράτευμα μερικὸν εἰς πολιορκίαν τοῦ ἄστεος. κατέλαβον οὖν οὗτοι τὴν Ἄρταν.

Κἀκεῖσε γοῦν καὶ αὐτὸς τούτοις ξυντετυχήκειν· οἷς καὶ πρὸς ὀλίγας ἡμέρας ξυνομιλήσας κἄτα δὴ συνταξάμενος τῆς Ἄρτης ἐξῄειν, καταλιπὼν τὸν ἐκεῖσε λαὸν οὐκέτι εὐνοϊκῶς πρὸς τοὺς ἡμετέρους διακείμενον· οὐ γὰρ καλῶς οἱ τῶν στρατευμάτων τούτοις ἐχρήσαντο. διὰ ταῦτα καὶ ἡ περιφανεστάτη ἐκείνη νίκη ἡ τοῖς Ῥωμαίοις ἐπιλάμψασα ἐν οὐ πολλῷ τῷ χρόνῳ πρὸς τοὐναντίον κεχώρηκεν. ἀπῄειν οὖν ἐξ ὀρθοῦ πρὸς τὸν σεβαστοκράτορα Ἰωάννην τὸν τοῦ βασιλέως αὐτάδελφον περὶ τὴν Νέαν Πάτραν διάγοντα, καί τινας ἡμέρας μετ' αὐτοῦ διακαρτερήσας τῆς πρὸς τὸν βασιλέα φερούσης ἡψάμην.

Ὁ μὲν οὖν νόθος υἱὸς τοῦ ἀποστάτου Μιχαὴλ Ἰωάννης τῷ σεβαστοκράτορι ξυνὼν ἀποστασίαν μετὰ καὶ ἄλλων

---

1 γεγενημένος] γενόμενος U 4 κατωρθώσαντο] κατωρθώσατο B κατώρθωσαν U 5 τῆς] τὰ U ‖ περιιέναι] περιέναι U 6 εἶδεν] οἶδεν FH ‖ ἄστη] τὰ ἄστη Uab 7 ἑαυτοὺς] ἑαυτῶν H 9 παραμείψας om. U ‖ αὐτῇ] αὐτῆς F 12 Ἰωάννην] τὸν ἰωάννην FH 13 Ἀλέξιος om. U ‖ Πυρρηναῖα] πηρρηναῖα A πυρηνναῖα F πυριναῖα U 14 περὶ] ἐπὶ b 15 μερικὸν] μέτριον U ‖ ἄστεος] ἄστεως ab 18 ξυνομιλήσας A συνομιλήσας O ‖ κἄτα] κατὰ B corr. ab ‖ δὴ om. U 19 τὸν om. A 22 ἐκείνη post νίκη pos. U ‖ ἡ om. BHU ‖ τῷ om. U 27 Ἰωάννης] ἰωάννη U 28 ἄλλων

τινῶν ἐμελέτα. καὶ ἐπεὶ ὁ σεβαστοκράτωρ Ἰωάννης κατὰ τῶν Λατίνων κεχώρηκε καὶ τὴν Λεβαδίαν παραμείψας τὰς Θήβας ἐσκύλευσε, τὴν ἣν ὤδινεν οὗτος ἀπιστίαν εἰς προὖπτον προύφηνε καὶ μετὰ καὶ ἄλλων τινῶν ἀποδρὰς περὶ τὸν ἀποστάτην Μιχαὴλ τὸν πατέρα τούτου ἀπῄει. ἐκεῖνος μὲν οὖν τῷ ἀθρόῳ τοῦ πράγματος ταραχθεὶς οὐκ εἶχεν 184 ed. B. ὅπῃ γῆς σταίη, ἀλλ' ἐν πλοιαρίοις ἐμβάντες αὐτός τε καὶ ὁ υἱὸς αὐτοῦ Νικηφόρος καὶ ἡ σύζυγος τούτου καί τινες τῶν αὐτοῦ τὰς διατριβὰς ἐν τῇ θαλάσσῃ ἐποίουν τάς τε νήσους τὰς πέριξ καταγώγιον εἶχον, Λευκάδα δηλαδὴ καὶ τὰς τῶν Κεφαλήνων. ἀλλ' ἐπεὶ ὁ τούτου νόθος υἱὸς Ἰωάννης πρὸς αὐτὸν ἀπῄει καθὰ δεδήλωται, ἀνερρώσθη τῆς ῥᾳθυμίας, καὶ τὸν ὄκνον ἀποσεισάμενος περὶ τὴν Ἄρταν ἐβάδιζε. κἀκεῖσε δὴ ἀφιγμένος, ἐπεὶ τοὺς πάντας οἰκήτορας προσκειμένους εὗρεν αὐτῷ, εἶχε δὲ καὶ τὸ τῆς Βουδίτζης ἄστυ παρὰ τοῦ μέρους τούτου κρατούμενον, συναγαγὼν τοὺς ἐκεῖσε εὑρισκομένους τοὺς ἡμετέρους τῶν ὁρίων τῆς Ἄρτης ἐξήλασεν. ἀλλὰ καὶ τοὺς πολιορκοῦντας τὰ Ἰωάννινα μακρὰν τῶν Ἰωαννίνων πεποίηκεν. οὕτω μὲν οὖν ἀρχὴν κακῶν τὰ τῶν Ῥωμαίων εἴληφε πράγματα, καὶ τὰ καλῶς ταῖς βασιλικαῖς συμβουλίαις γεγενημένα ταῖς τῶν στρατηγούντων ἀνηκοΐαις καὶ ἀταξίαις εἰς τὸ μηδὲν σχεδὸν ἢ καὶ πάνυ μικρὸν κατηντήκασιν.

Ὁ μὲν οὖν αὐτάδελφος τοῦ βασιλέως ὁ σεβαστοκράτωρ

τινῶν] ἄλλου τινὸς λαοῦ U 1 ἐμελέτα] ἐμελέταν B corr. ab ‖ Ἰωάννης om. U 2 Λατίνων] λεντιανῶν U ‖ Λεβαδίαν] λιβαδίαν H 3 Θήβας] Ἀθήνας H ‖ ἐσκύλευσε] ἐσκύλευε ab 4 προύφηνε] πέφηνε U ‖ περὶ] ἐπὶ b 5 τούτου] αὐτοῦ B 6 ταραχθεὶς] διαταραχθεὶς U 9 τινες] τινας H ‖ θαλάσσῃ A θαλάττῃ O 10 Λευκάδα] λευκάδας U 11 Κεφαλήνων] κεφαλλήνων G alt. λ supr. lin. add. A κεφαλίνων U ‖ τούτου νόθος υἱὸς] τοῦ νόθου U 12 καθὰ] καθὼς U ‖ ἀνερρώσθη] ἀνερρώθη H 13 ῥᾳθυμίας] ἀθυμίας U ‖ περὶ] ἐπὶ b 14 δὴ] δὲ H 15 εἶχε] εἶδε F 16 Βουδίτζης AH βουδίτζης O 17 τοὺς] πάντας τοὺς U 19 Ἰωαννίνων] ἰωαννίκων G 20 οὖν om. H ‖ τῶν om. U ‖ εἴληφε AH φ in ras. F εἴληχε O 22 ἀνηκοΐαις] ἀνοικίαις H ‖ ἀταξίαις] ἀταραξίαις BG corr. b διαταραξίαις U 23 μικρὸν] σμικρὸν BH

Ἰωάννης καὶ ὁ πενθερὸς αὐτοῦ ὁ Τορνίκης Κωνσταντῖνος τῆς μάχης ἐξιόντες εἰς τὸν αὐτοκράτορα ἐπανέζευξαν περὶ τὴν Λάμψακον ὄντα καὶ τὰς διατριβὰς ἐκεῖσε ποιούμενον. τὸν μὲν οὖν σεβαστοκράτορα Ἰωάννην ὁ βασιλεὺς τῷ τῶν Nic. Greg. δεσποτῶν τετίμηκεν ἀξιώματι, ἀντίχαριν οἷον τῆς νίκης ed. B. I 79 τούτῳ διδούς, καὶ ἵνα τοῖς μαχομένοις τούτῳ προσώποις ἀντισταθμίζοιτο, δεσπότης πρὸς δεσπότας μαχόμενος· τὸν δὲ πενθερὸν αὐτοῦ τὸν Τορνίκην Κωνσταντῖνον μέγαν πριμμικήριον ὄντα τῷ τῶν σεβαστοκρατόρων τετίμηκεν ἀξιώματι. ἀλλὰ καὶ τὸν αὐτάδελφον αὐτοῦ Κωνσταντῖνον ἐκ καισάρων σεβαστοκράτορα κατωνόμακεν. ἐν τούτοις δὲ τὰ τῶν 185 ed. B. σεβαστοκρατόρων διέφερον, ἐν οἷς ὁ μὲν αὐτάδελφος τοῦ βασιλέως τοῖς κυανοῖς πεδίλοις ἐγκεκολλαμένους εἶχε καὶ χρυσοϋφεῖς ἀετούς, ὁ δὲ Τορνίκης γυμνὰ τούτων τὰ πέδιλα ὑπεδέδετο. ἀλλὰ καὶ τὸν Στρατηγόπουλον Ἀλέξιον μέγαν δομέστικον ὁ αὐτοκράτωρ τετιμηκὼς δι' ἀποστολῆς τετίμηκε καίσαρα, διαπόμπιμον αὐτῷ τὴν τιμὴν χαρισάμενος. καὶ ταῦτα μὲν οὕτω ξυνέβη.

83. Ὁ δὲ βασιλεὺς παραχειμάσας ἐν τῇ Λαμψάκῳ, Ephraem. ἔαρος ἐπιλάμψαντος κατὰ τῆς Κωνσταντίνου κεχώρηκεν· ed. B. v. 9446 ἅπασα γὰρ ἦν αὐτῷ σπουδὴ καὶ ἅπας σκοπὸς τῆς τῶν 1260

1 ὁ πενθερὸς αὐτοῦ om. U ‖ Τορνίκης AHU τορνίκιος O 2 ἐπανέζευξαν] ἐπανέζευξε H 4 τῶν δεσποτῶν] δεσποτικῷ U 5 οἷον post νίκης pos. U ‖ τούτῳ διδοὺς] διδοὺς U 6 τούτῳ προσώποις] προσώποις τούτῳ A ‖ ἀντισταθμίζοιτο] ἀντισταθμίζοντο H 8 τὸν Τορνίκην AH τὸν τορνίκιον BFG τορνίκιον U ‖ Κωνσταντῖνον om. U 10 post καισάρων add. ὄντα H 11 σεβαστοκράτορα κατωνόμακεν] τῶν σεβαστοκρατόρων τετίμηκεν ἀξιώματι H ‖ κατωνόμακεν AG sec. m. F κατωνόμασεν BHU 12 ἐν οἷς] καὶ ///// F 13 ἐγκεκολλαμένους] ἐγκεκολλημένους b ‖ καὶ om. U 14 χρυσοϋφεῖς] χρυσοφαεῖς U τοὺς χρυσοφυεῖς A ‖ Τορνίκης AH τορνίκιος O ‖ τούτων] καὶ τούτων F 15 ὑπεδέδετο b ἐπεδέδετο AFG ἐπεδέδντο Ba ὑπεδέδντο HU ὑπ- in ἐπ pr. m. U ‖ Στρατηγόπουλον] μελισσηνὸν sec. m. in ras. U 16 post δομέστικον add. ὄντα U ‖ ἀποστολῆς] ἀποστολικῆς sec. m. G ἐπιστολῆς ab 18 οὕτω] οὗτος B corr. ab 21 ἅπασα] ἅπασαν B corr. ab ‖ γὰρ] γοῦν FH ‖ ἅπας] ἅπαν F ‖ αὐτῷ om. BH

Λατίνων χειρὸς αὐτὴν ἀναρρύσασθαι. ἐπῆλθε γοῦν κατὰ τῆς Κωνσταντινουπόλεως, οὐ τεθαρρηκὼς τοῖς στρατεύμασιν — οὐδὲ γὰρ ἦγεν ἀξιόμαχον στρατιὰν εἰς τοιαύτης πόλεως πολιόρκησιν — ἀλλὰ λόγοις τοῖς τοῦ ἐξαδέλφου αὐτοῦ, οὗ τὸ ὄνομα Ἀσέλ, ἐξηπατημένος· ἠπάτα καὶ γὰρ τὸν βασιλέα, ὡς αὐτὸς ἐν τῷ τείχει τῆς πόλεως τὴν οἰκίαν ἔχει καὶ πύλας ἔχει παρ' αὐτοῦ δεσποζομένας, δι' ὧν δύναιτ' ἂν τὰ τοῦ βασιλέως στρατεύματα ἔνδον τῆς πόλεως ἀψοφητὶ καὶ δίχα μάχης εἰσαγαγεῖν. καὶ ἐπιστεύετο λέγων ταῦτα· τό τε γὰρ συγγενὲς φαντασίαν ἐδίδου τοῦ ἀληθεύειν τὸν ἄνθρωπον, καὶ τὸ πλειόνων τε τιμῶν καὶ δωρημάτων ὑποσχέσεις ἐνωμότους λαβόντα *** Φράγγων ἐν τῇ τοῦ πρίγκιπος
186 ed. B. Ἀχαΐας μάχῃ καὶ προσδοκήσας δεινὰ μάλιστα ηὐμοιρήκει πολλῶν ἀγαθῶν· ὅτε καὶ τὰς τοιαύτας ὑποσχέσεις τῷ βασιλεῖ δέδωκε καὶ τὰς πρὸς αὐτὸν ἀντεδέξατο. τούτοις μὲν οὖν, ὡς ἔφημεν, ἐλπίσας ὁ βασιλεὺς κατὰ τῆς Κωνσταντίνου ἐπῄει, καὶ ἀντιπέραν τοῦ βορείου κέρως τῆς πόλεως ἐν τόπῳ

---

2 τεθαρρηκὼς τοῖς στρατεύμασιν A τοῖς στρατεύμασι τεθαρρηκὼς O 3 ἦγεν] εἶχεν FHU 5 ἠπάτα] ἠπάτει H ‖ καὶ om. U 6 ἔχει] ἔχειν H 7 ἔχει] ἔχειν H ‖ δεσποζομένας usque ad fin. libri om. H 10 τοῦ] τῶ A ‖ ἄνθρωπον — 12 Φράγγων] ἄνδρα, καὶ ὅτι U 11 τὸ] ἐπὶ F ‖ τε τιμῶν καὶ δωρημάτων A δωρημάτων τε καὶ τιμῶν FG δωρημάτων τε καὶ τιμῶν τε B 12 post λαβόντα lac. indicavi. λαβόντα καὶ τῷ συνεῖναί τε τὴν μητέρα τούτου τῷ βασιλεῖ, πάντα ταῦτα κατέπειθον ἀληθεύειν αὐτόν, καὶ μάλιστα ἐπεὶ καὶ οὗτος μετὰ τῶν λοιπῶν κατεσχέθη λατίνων ἐν τῇ τοῦ πρίγγιπος κτλ. lac. suppl. F ⟨πολλοῖς ἤδη κεκοσμῆσθαι. κατεσχέθη γὰρ μετὰ τῶν⟩ Φράγγων κτλ. suppl. Praechter, ⟨ἀπελευθερωθῆναι, ἐπεὶ δέσμιος προσήχθη τῷ βασιλεῖ, μετά τινων ἄλλων κατασχεθεὶς⟩ Φράγγων κτλ. ipse tentaverim. καὶ ἐπιστεύετο διὰ τὸ συγγενὲς καὶ τὸ πλῆθος τῶν δωρημάτων ὧν ἀπέλαβε καὶ ὧν ἦν ἐν ὑποσχέσει λαβεῖν, καὶ ἐπὶ τούτοις δέσμιος ὅτι τῷ βασιλεῖ προσαχθεὶς ἐν τῇ τοῦ πρίγκιπος Ἀχαΐας κατασχέσει οὐ μόνον οὐδὲν δεινὸν ἔπαθεν, ἀλλὰ καὶ πολλῶν ἀπήλαυσεν ἀγαθῶν s. ‖ Φράγγων] λατίνων F Φράγκων ab, post φράγγων add. λείπη ὧδε B ‖ πρίγκιπος AG πρίγγιπος BFU 13 post μάχῃ add. κατασχεθεὶς U 14 τὰς τοιαύτας] ἐνομότους U 15 καὶ — ἀντεδέξατο om. U ‖ ἀντεδέξατο] ἀνεδέξατο F ‖ μὲν A om. O 17 ἐπῄει] ἀπῄει U ‖ κέρως om. F ‖ τόπῳ] τῷ τόπῳ BU

τοῦ Γαλατᾶ κατονομαζομένῳ ἐστρατοπεδεύσατο, καὶ τὸ μὲν δοκεῖν τὸ τοῦ Γαλατᾶ ἐμάχετο φρούριον, τῇ δ' ἀληθείᾳ κρύφα πρὸς τὸν Ἀσὲλ ἔπεμπεν, ὅπως τὰς ὑποσχέσεις πληρώσειεν. ὁ δὲ πρὸς κέρδος ἑώρα, οὐ πρὸς ἀλήθειαν· ψευδεῖς γοῦν ἐποιεῖτο τὰς ἀποκρίσεις, ἄλλα ἐπ' ἄλλοις προφασιζόμενος. ἐπεὶ γοῦν ἱκανὸς παρερρύη χρόνος καὶ οὐδὲν ἤνυεν, ἀλλὰ καὶ τῆς στρατιᾶς ὁπλισθείσης καὶ νυκτὸς ἀπιούσης καὶ τῇ οἰκίᾳ τούτου προσεγγισάσης — τοῦτο γὰρ ἐκεῖνος γενέσθαι διεμηνύσατο — τότε ψεύδεσθαι πεφώραται φανερῶς. καὶ ἐπεὶ οὐκ εἶχέ τινα εὔλογον ἀπολογίαν ποιήσασθαι, τὴν αἰτίαν εἰς τὸν ἄρχοντα τῆς πόλεως ἔθετο· 'ὑπετόπασε' γὰρ εἴρηκεν 'οὗτος ὡς οὐ καλόν ἐστι τὰς κλεῖς με τῶν τῆς πόλεως κατέχειν πυλῶν, καὶ διὰ ταῦτα εἴληφε ταύτας αὐτός, καὶ διὰ τοῦτο ἔγωγε περὶ τὸ ἔργον ἀδυνατῶ.' ἐπεὶ γοῦν καθαρῶς τὴν τοῦ ἀνθρώπου ἀπάτην ἐπεγνώκει ὁ βασιλεύς, ἐξῄει τοῦ τόπου. καθ' ὁδὸν δὲ τρεῖς πρέσβεις οἱ Λατῖνοι πρὸς τὸν βασιλέα πεπόμφασιν εἰρήνην ζητοῦντες. ὁ δὲ βασιλεὺς πεποίηκε ταύτην, εἰς ἐνιαυτὸν δὲ καὶ μόνον ἕνα, ἐν στενῷ κομιδῇ ἐπισφίγξας τούτοις τὰ πράγματα.

84. Διαπεράσας γοῦν ὁ βασιλεὺς τὸν Ἑλλήσποντον, 187 ed. B.
τὰ τῶν Πηγῶν κατέλαβε μέρη κἀκεῖσε τὰς διατριβὰς ἐποιεῖτο. ἐπεὶ δὲ ὁ τοῦ θέρους παρῄει καιρός, ἀλλά γε δὴ 1260
καὶ ὁ τῆς ὀπώρας ἐρρύη, τῶν τοιούτων ἀπάρας χώρων πρὸς τὴν ἐξ ἔθους τοῖς βασιλεῦσιν οὖσαν ἀνάπαυσιν, ἐξ ὅτου τῆς Κωνσταντίνου γεγόνασιν ὑπερόριοι, κατηντήκει τὸ Νύμφαιον, ἐμὲ δὲ πρὸς τὸν ἄρχοντα τῶν Βουλγάρων

---

1 τοῦ ABU που FG ‖ κατονομαζομένῳ] κατονομαζομένου U ‖ τὸ] τῷ ab 4 post κέρδος add. γὰρ U 5 γοῦν om. U 12 εἴρηκεν] εἰρηκέναι A 13 με] μετὰ U 15 γοῦν] οὖν ab 16 post πρέσβεις add. εἰρήνην αἰτοῦντας B 17 οἱ Λατῖνοι post βασιλέα pos. BFG ‖ ὑπὲρ εἰρήνης add. in marg. sec. m. G ‖ post πεπόμφασιν add. ὧδε ἐλλιπὲς δοκεῖ B ‖ εἰρήνην ζητοῦντες A om. O 18 πεποίηκε ταύτην, εἰς] οὔτε τούτους ἐδέξατο καὶ προσεδρείαν ταύτῃ πεποίηκεν U 19 ἕνα, ἐν] ἕνα ἐν U ‖ τὰ] καὶ τὰ U 20 γοῦν ὁ βασιλεύς om. U 22 θέρους] θέρος B corr. ab ‖ δὴ om. U 23 τῆς ὀπώρας ἐρρύη] τοῦ μετοπώρου U 26 τὸ] τὸν U

τὸν Κωνσταντῖνον πρέσβιν ἐκπέπομφεν. ἀπήειν γοῦν πρὸς αὐτόν, καὶ διεβίβασα μετ' αὐτοῦ ἡμέρας τινάς· ἔτυχον γὰρ τότε καὶ αἱ ἑορτάσιμοι τοῦ Χριστοῦ ἡμέραι, ἥ τε τῶν γενεθλίων καὶ ἡ τοῦ βαπτίσματος. ἐν τῇ τοιαύτῃ καὶ γὰρ ἡμέρᾳ τοῦ βαπτίσματος οἱ τῶν Βουλγάρων ἄρχοντες λαμπρύνονται μάλιστα, καὶ ἐβούλετο ὁ τῶν Βουλγάρων ἄρχων τῷ τότε Κωνσταντῖνος σφίσιν αὐτοῖς συνεῖναι κἀμὲ καὶ θεατὴν γενέσθαι τῶν τελουμένων. τὰ προστεταγμένα μοι γοῦν πληρώσας τοῦ Τρινόβου ἐξήειν, καὶ πρὸς τὸν βασιλέα ἀπήειν ἐν τῷ Νυμφαίῳ διάγοντα. ἐκεῖσε γοῦν ὁ βασιλεὺς παρεχείμασε, καὶ ἐπιλάμψαντος ἔαρος τοῦ Νυμφαίου ἐξήει,
1261 *τὴν λαμπρὰν τῆς ἀναστάσεως τοῦ κυρίου ἡμέραν προεορτάσας ἐν τῷ Νυμφαίῳ. ἡμέρας δέ τινας ἐν τοῖς Φλεβίοις διαβιβάσας, περὶ τόπον οὕτω πως ἐπονομαζόμενον Κλυζομενὴν ἀπελθὼν ἐπήξατο τὰς σκηνάς. ἐκεῖσε καὶ γὰρ εἰώθασιν οἱ βασιλεῖς τοῦ Νυμφαίου ἐξιόντες χρονοτριβεῖν καὶ τὸ πλέον τοῦ ἐαρινοῦ παραμείβειν καιροῦ. ὅ τε γὰρ τόπος ἅπας πεδιὰς καὶ χόρτον προβεβλημένη πολλοῖς ἀρ-*
188 ed. B. *κοῦντα τοῖς ἵπποις, κατάρρυτος δὲ τυγχάνει καὶ ὕδασιν, ἐγγὺς δὲ αὐτοῦ καὶ κώμας ἔχει πολλὰς καὶ πόλεις, ἐξ ὧν δαψιλῆ καθειστήκει τὰ ζωαρκῆ.*

Ephraem. *Ἐκεῖσε γοῦν ὄντος τοῦ βασιλέως καὶ ὁ σεβαστοκράτωρ*
ed. B. v. 9458 *Τορνίκης ἐκ τῆς Νικαέων ἐπιδεδήμηκε, καὶ δι' ὄχλου τῷ βασιλεῖ γέγονε διὰ τὸν προπατριαρχεύσαντα Ἀρσένιον. ὁ γὰρ*

---

1 *τὸν* om. BU ‖ *Κωνσταντῖνον* om. U ‖ *πρέσβιν* post *ἐκπέπομφε* pos. U 3 *αἱ* om. BFU ‖ *ἑορτάσιμοι*] *ἑορτάσιμαι* FU 4 *ἐν* — 5 *βαπτίσματος* om. B *ἡ* ab 4 *τῇ* om. U 5 *οἱ* om. a *οἱ* — *ἄρχοντες* post *μάλιστα* pos. U 7 *τῷ* A om. O ‖ *σφίσιν αὐτοῖς*] *σφίσι* U 8 *τῶν* om. F 9 *Τρινόβου*] *τριβόνου* F 11 *ἔαρος*] *τοῦ ἔαρος* U 12 *κυρίου*] *χριστοῦ* F ‖ *προεορτάσας*] *////εορτάσας* A 14 *περὶ*] *ἐπὶ* b ‖ *Κλυζομενὴν*] *Κλυζομένην* ab *κλαζομενὴν* U 15 *σκηνάς. ἐκεῖσε*] *σκηνὰς ἐκεῖσε.* F ‖ *καὶ* om. U 16 *τοῦ Νυμφαίου*] *τὸν νύμφαιον* U 17 *παραμείβειν*] *διατρίβειν* U 18 *ἅπας πεδιὰς* A *πεδιὰς ἅπας* O ‖ *προβεβλημένη*] *περιβεβλημένη* F ‖ *πολλοῖς*] *πολλὴν* in ras. F 19 *τοῖς* om. U 22 *γοῦν* coni. b *γὰρ* O 23 *Τορνίκης* AU *ὁ τορνίκιος* BFG ‖ *ἐπιδεδήμηκε*] *ἐπεδεδήμηκε* U 24 *προπατριαρχεύσαντα*] *πατριαρχεύσαντα* U

πατριαρχικὸς ἐχήρευε θρόνος, τοῦ πατριαρχεύσαντος Νικηφόρου, ὃς ἀπὸ τῆς Ἐφέσου εἰς τὸν πατριαρχικὸν μετετέθη θρόνον, ἀπάραντος τῶν ἐνθένδε καὶ πρὸς τὰς αἰωνίους μεταστάντος σκηνάς, μηδὲ εἰς ὅλον σχεδὸν ἐνιαυτὸν τὸν πατριαρχικὸν κοσμήσαντος θρόνον. ὁ δὲ Ἀρσένιος οὗτος ἦν προβεβλημένος εἰς τὸν πατριαρχικὸν θρόνον πρὸς τοῦ βασιλέως Θεοδώρου, ἀνὴρ καὶ εἰς λόγον καὶ εἰς πρᾶξιν παναφυέστατος. οὔτε*

---

3 *τῶν*] *ἀπὸ τῶν* U ‖ *καὶ—σκηνὰς*] *πρὸς τὰ οὐράνια* BU 4 *εἰς* om. U ‖ *τὸν—5 θρόνον*] *τοῦ πατριαρχικοῦ ἀπολαύσαντος θρόνου* BU 5 *κοσμήσαντος θρόνον*] *κατασχόντος χρόνον* G 6 *εἰς—θρόνον* om. U ‖ *πρὸς—Θεοδώρου*] *πρὸς τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου βασιλέως θεοδώρου τοῦ λάσκαρι* G 7 *παναφυέστατος*] *πανευφυέστατος* F ‖ *οὔτε*— 178,5 *σώματι* om. F

---

* *ἀνὴρ*—178,11 *Ἀνδρόνικον* BU ita praebent: *ἀνὴρ καὶ εἰς λόγον καὶ εἰς πρᾶξιν πανευφυέστατος, καὶ λόγον μάλιστα τὸν ἐκ φύσεώς πως προβαλλόμενον* (U *προσβαλλόμενον*)· *τοῦ γὰρ ἐκ παιδείας μικρόν τι μετέσχεν. ὀλίγα γάρ τινα τῶν ἐγκυκλίων φιλοσοφήσας τοῦ μὴ δοκεῖν παντάπασι* (a b *παντάπασιν*) *τῶν τοιούτων ἀπείρως ἔχειν μηδὲ ἀγνοεῖν ὧν ὑπεριδεῖν ἐδοκίμασε, τῷ βέλει τοῦ πρὸς θεὸν ἔρωτος τρωθεὶς τὴν ψυχήν, πᾶσι τοῖς κατὰ κόσμον, ὧν οὐκ εὐχερῶς ἔχουσιν οἱ πλείους ἀφίστασθαι, χαίρειν εἰπὼν τὸν μονήρη βίον προείλετο. οὗτος τὴν αὐτοκρατορικὴν ἀπεπλήρου* (U *πεπλήρωκε*) *στεφηφορίαν τῷ βασιλεῖ· ἐπεὶ δ' οὐχ ἑώρα τοῦτον τοῖς ἑαυτοῦ θελήμασιν ὑπεικόμενον* (U *ὑποκείμενον*), *δύσνους περὶ τοῦτον ἐγένετο, ἔχων ἐν ταὐτῷ* (U *αὐτῷ*), *συνίστορας τὸν Σάρδεων Ἀνδρόνικον κτλ.*

* *ἀνὴρ*—178,11 *Ἀνδρόνικον* in G ita legitur: *ἀνὴρ λόγου μὲν ἧττον ἀντιποιούμενος, ἀρετῇ δὲ τὸ πλέον προσκείμενος. εἰ γὰρ καὶ τὴν ἐγκύκλιον παίδευσιν ἔτι νέος ὢν ἠκριβώσατο, ἀλλὰ τὸν κατὰ θεὸν βίον εὐθὺς ἐξ ἀρχῆς προελόμενος οὔτε τοῖς ὑψηλοτέροις τῶν παιδευμάτων ἑαυτὸν ἐνδοῦναι προεθυμήθη, οὔτε αὐτῇ τῇ γραμματικῇ ἐπὶ πολὺ ἐνσχολάσαι ἠνέσχετο. καὶ τὰ μὲν εἰς λόγους τοιοῦτος· τὸ δὲ ἦθος, τὸν δὲ τρόπον ὡς λίαν ἐμβριθής τε καὶ βέβαιος, φιλίας προσώπων καὶ ἑταιρείας οὐ πάνυ διώκων. ἔνθεν τοι καὶ τοῖς ἐν τέλει οὔμενουν ἐράσμιος ἐτύγχανεν ὢν οὐδὲ αὐτοῖς τοῖς ἐπὶ τοῦ κράτους ἀποδεκτός. οὗτος καὶ τῆς κατὰ Νίκαιαν ἐκκλησίας προαπελήλαται, καὶ αὖθις αὖ μετ' οὐ πολὺ καὶ τῆς Κωνσταντίνου ἐξέωσται. ὃς δὴ τὴν ἀρχὴν αἰτήσας τε καὶ λαβὼν τὰ πιστὰ πρὸς τοῦ Κομνηνοῦ Μιχαὴλ ἐπὶ τῷ μὴ παραγκωνίζεσθαι τὸν τοῦ βασιλέως Θεοδώρου*

γὰρ λόγον εἶχε τὸν κοσμοῦντα τοῦτον, εἴτ' ἐκ παιδείας γεγενημένον, εἴτ' ἐκ φύσεώς πως προβαλλόμενον, ἀλλὰ καὶ τὸ ἦθος ὑπῆρχε δεινὸς καὶ σκληρὸς τὸν τρόπον, καὶ ταχὺς μὲν εἰς ἔχθραν, εἰς δὲ φιλίαν⟨βραδ⟩ύς, καὶ τὴν μνησικακίαν φέρων ὥσπερ τινὰ σκιὰν συνεφεπομένην τῷ σώματι. οὗτος κατ' ἀρχὰς μὲν τῆς αὐτοκρατορίας τοῦ βασιλέως εἰς τὰ πεπραγμένα τοῖς πᾶσι συνήνει, καὶ ἦν προσφιλῶς τῷ βασιλεῖ διακείμενος. ἐπεὶ δὲ καὶ τὴν αὐτοκρατορικὴν ἀπεπλήρου στεφηφορίαν, εὐθὺς μεταπεπτώκει πρὸς τοὐναντίον καὶ δύσνους ἐγεγόνει τῷ βασιλεῖ, ἔχων ἐν ταὐτῷ συνίστορας τὸν Σάρδεων Ἀνδρόνικον καὶ* τὸν Θεσσαλονίκης Μανουὴλ,

8 καὶ om. F 10 δύσνους] δείσας F ‖ ταὐτῷ] ταὐτὸ F

υἱὸν τὸν ὑπόψηφον τῇ βασιλείᾳ Ἰωάννην μήτε πως ἐπιβουλεῦσαί οἱ καὶ κατὰ τῆς αὐτοῦ ζωῆς ἐνσκαιωρῆσαί τι τὸ σύνολον, ἐνδέδωκε πρὸς τὴν τῆς βασιλείας ἐγχείρησιν (cod. ἐγχείρισιν) ἢ μᾶλλον κυβέρνησιν, ἣν αὐτῷ οἱ ἐν τέλει ἐπεψηφίσαντο. ἐπεὶ δὲ καὶ πρὸς τὴν αὐτοκρατορικὴν στεφηφορίαν μετεκαλεῖτο καὶ μονωτάτῳ τὰ τοῦ κράτους ἀφοσιῶσαι κατηναγκάζετο, τῆς τε γνώμης μεταπεπτώκει καὶ μέχρι τινὸς σκληρότατος ἐνενόμιστο. βιασθεὶς δὲ τὰ πολλὰ καὶ τὰ μέγιστα καταναγκασθείς, ἑκὼν ἀέκων τὸ κατὰ γνώμην τοῖς προύχουσιν ἐξεπέρανεν. ἐφ' οἷς δὲ ἀνθίστατο πρὶν καὶ εἰς ἅπερ αὖθις ἀντέπιπτε, συναιρομένους εἶχε τὰ μεγάλα τόν τε τῶν Σάρδεων (cod. σάρδεως) Ἀνδρόνικον

* καὶ—180,7 ἠνάγκαζε in G ita legitur: καὶ τὸν τῆς Θεσσαλονίκης Μανουὴλ τὸν τοὐπίκλην Δισύπατον, ὃν καὶ ὡς ἐκ νεότητος ἰχθυοφαγεῖν ἀσπαζόμενον ἀρετῆς ἀντιποιήσει καὶ πόθῳ ὑψηλοτέρας διαγωγῆς Ὀψαρᾶν ἐκάλεσαν οἱ συμφοιτηταὶ καὶ συνήλικες. ἦν δὲ πλήρης οὗτος παιδείας τε καὶ λόγων καὶ θείων εἰς ἄκρον ἴδρις γραφῶν. οὗτος καὶ τῷ πατριάρχῃ ζήλῳ θειοτέρῳ, ἐφ οἷς ἐκεῖνος ἐδυσχέραινεν ἐπὶ τοῖς νεωτεριζομένοις, τὰ πολλά τε συνήνει καὶ εἰσηγητὴς ἰσχρογνώμων ἐδείκνυτο. ἀλλ' ἡ βία τοῦτον κεκράτηκε, καὶ ὑπ' ἀνάγκης συνάμα κατηγωνίσθησαν. καὶ γὰρ ὁ μὲν τὸν τῶν Σάρδεων θρόνον διέπων ῥάκη μοναχικὰ καὶ ἄκων μεταμφιέννυται, ὁ δὲ πνευματικῶς τῆς τῶν Θεσσαλονικέων ἐπιστατῶν, ὁ κόσμιος ἐκεῖνος ἀνὴρ καὶ σεβάσμιος ἄνθρωπος, τῆς Νικαέων ἐκβέβληται καὶ περί που τὸ τῆς Ἀσκανίας παραλίμνιον διατρίβειν καταδικάζεται. καὶ αὐτὸς δ' ὁ πατριάρχης Ἀρσένιος ἐκεῖθεν ἐξιὼν ἐν σμικροτάτῳ σεμνείῳ καθεῖρκτο. ἐντεῦθεν καὶ συνελθόντες τὸ λοιπὸν τῶν ἀρχιερέων

τὸν καὶ Ὀψαρᾶν λεγόμενον. ἀλλ' ὁ μὲν Σάρδεων, ὅτε ὁ βασιλεὺς κατὰ τῆς Κωνσταντίνου ἐστρατοπεδεύσατο καὶ ἐγγὺς ταύτης τὰς ἐπαύλεις ἐποιεῖτο, τότε τὰ τῶν μοναχῶν ἐνε- 189 ed. B. *δέδυτο ἄμφια ὑπὸ τοῦ Φιλαδελφείας Ἰωαννικίου. ὡς γὰρ συχνῶς διηνώχλει τὸν βασιλέα ἐπιδημῆσαι τῇ Παφλαγόνων — ἐκεῖθεν καὶ γὰρ ὥρμητο — τὸ στρεβλόνουν τοῦ ἀνδρὸς ὁ βασιλεὺς ἀκριβῶς εἰδὼς οὐκ εἴα τοῦτον περὶ τὰ ἐκεῖσε μέρη ἀφῖχθαι· σκοπὸς γὰρ ἦν αὐτῷ τὰ τῶν Παφλαγόνων πάντα διαταράξαι τῇ πρὸς τὸν βασιλέα δυσνοίᾳ. ὁ βασιλεὺς δὲ δικαιότατον πρὸς τοῦτον ἐποίει τὸν λόγον ὡς 'μητροπολίτης κεχειροτόνησαι Σάρδεων, οὐκέτι γε μὴν Παφλαγονίας, καὶ δεῖ σε τοῖς τῶν Σάρδεων ἐμφιλοχωρεῖν μέρεσι κἀκεῖσε καὶ διατρίβειν καί σου ποιμαίνειν τὸ ποίμνιον.' ἐπεὶ οὖν ἐπεγνώκει ἀμετάπτωτον εἶναι τὸ βασιλικὸν βούλημα, μὴ ἔχων ὅ, τι καὶ δράσειε, τὸν μονήρη βίον προείλετο. ὁ δὲ Θεσσαλονίκης Μανουὴλ ἄκων ἐξιὼν τῆς Νικαίας περί που τὰ ἐγγὺς ἐκείνης διέτριβεν. ὁ δὲ πατριαρχεύσας Ἀρσένιος καὶ αὐτὸς ἐξιὼν ἐκεῖθεν ἐν σμικροτάτῳ τινὶ σεμνείῳ ἑαυτὸν ἐγκαθείρξας διῆγεν, ἔμπρακτον κἂν οὐκ ἔγγραφον τὴν παραίτησιν ποιησάμενος. ἐντεῦθεν συνελθόντες πάντες οἱ ἀρχιερεῖς περὶ τὴν Λάμψακον, ψήφῳ πάντων καὶ προσ-*

---

1 *τὸν καὶ*] *τὸν* FU ‖ *λεγόμενον*] *καλούμενον* F ‖ *ὁ βασιλεὺς* post *κατὰ τῆς κωνσταντίνου* pos. U 2 *Κωνσταντίνου* A *κωνσταντινουπόλεως* BFU 3 *τὰς ἐπαύλεις ἐποιεῖτο*] *ἐποιεῖτο τὴν ἄφιξιν* U 4 *Φιλαδελφείας* A *φιλαδελφίας* O 5 *τῇ*] *τὴν τῶν* A 7 *ὁ βασιλεὺς* om. U ‖ *ἀκριβῶς εἰδὼς*] *ἐπιστάμενος* BU *εἰδὼς ἀκριβῶς* F ‖ *περὶ*] *ἐπὶ* b 8 *ἀφῖχθαι*] *ἀφικέσθαι* U 9 *πάντα* om. U ‖ *βασιλεὺς* post *δὲ* pos. U 10 *ἐποίει*] *ἐποιεῖτο* U 11 *κεχειροτόνησαι*] *κεχειροτόνηκε* F 14 *οὖν*] *γοῦν* U 18 *σμικροτάτῳ* om. BU 19 *ἐγκαθείρξας*] *καθείρξας* Uab ‖ *ἔμπρακτον*—20 *ποιησάμενος* om. BU 21 *περὶ*] *ἐπὶ* b

---

συνάθροισμα, βασιλικῇ προσταγῇ πειθαρχήσαντες, εἰς τὴν τῆς πατριαρχείας περιωπὴν τὸν τῆς Ἐφέσου Νικηφόρον μεταβιβάζουσι, πάλαι ταύτῃ ἐποφθαλμίζοντα καὶ ἐκ μακροῦ ἔρωτα τοῦ θρόνου ἐγκυμονοῦντα. ἀλλ' οὗτος ὡς προειρήκειν μηδ' ἀπενιαυτήσας τὸ κοινὸν ἀπέδοτο χρέος. τότε γοῦν ὁ σεβαστοκράτωρ Τορνίκιος τὸν βασιλέα προσιὼν κατηνάγκαζεν

ταγῇ βασιλέως ὁ τῆς Ἐφέσου πρόεδρος Νικηφόρος εἰς τὸν πατριαρχικὸν ἀνήχθη θρόνον, ἀνὴρ καὶ λόγον καὶ τρόπον σεμνότατός τε ἅμα καὶ κοσμιώτατος καὶ πᾶσι τοῖς ἰδοῦσιν αὐτὸν προσφιλέστατος. ἀλλ' οὗτος, καθὰ προειρήκειν, μήπω ἀπενιαυτήσας πρὸς θεὸν ἀπῆρε. τότε γοῦν ὁ σεβαστοκράτωρ Τορνίκης οὐκ οἶδ' ὅπως τῇ φιλίᾳ τοῦ Ἀρσενίου προσκείμενος ἠνάγκαζε τὸν* βασιλέα τὸν Ἀρσένιον εἰς τὸν πατριαρχικὸν καὶ αὖθις θρόνον ἀναγαγεῖν, θαύματά τινα καὶ τεράστια παρὰ τοῦ Ἀρσενίου ἐνεργούμενα διηγούμενος, καί τοι γε τῶν ἄλλων τῶν ἐν ξυμβουλῇ μὴ θελόντων τοῦτο
190 ed. B. γενέσθαι. ἀλλὰ τὸ τοῦ βασιλέως καλοκαγαθὸν καὶ πρὸς τὸ εὖ ποιήσασθαι ἕτοιμον τῇ συμβουλῇ τοῦ σεβαστοκράτορος μᾶλλον ξυντεθῆναι πεποίηκε. καὶ ἀνήχθη καὶ αὖθις πρὸς τὸν πατριαρχικὸν θρόνον Ἀρσένιος, ἔγγραφον ποιησάμενος τὰ ὀρθὰ φρονεῖν καὶ πράττειν ὑπὲρ τοῦ βασιλέως.

---

2 θρόνον] χρόνον U ‖ ἀνὴρ—4 προσφιλέστατος om. BU 2 ἀνὴρ καὶ λόγον καὶ τρόπον σεμνός F 4 καθὰ προειρήκειν] καθάπερ εἰρήκειν ab om. F 5 ἀπενιαυτήσας] ἐνιαυτήσας B ἐνιαυτίσας ab ‖ πρὸς θεὸν ἀπῆρε] τὸ βιοῦν ἐξεμέτρησε BU ἀπῆρε F 6 Τορνίκης AU τορνίκιος BF ‖ οὐκ οἶδ' ὅπως om. BU 7 βασιλέα usque ad finem add. sec. m. A_2 ‖ εἰς τὸν πατριαρχικὸν post αὖθις pos. U 8 pr. καὶ om. A_2 ‖ θαύματά] καὶ θαύματα F ‖ τινα] τε U 9 καί τοι—11 βασιλέως F καὶ πράγματα διηνεκῶς προυξένει τῷ βασιλεῖ, πατριαρχεύειν τὸν δύσνουν αὐτῷ βιαζόμενος. ἀλλ' ὁ (ὁ δὲ U) βασιλεὺς ἑκὼν ἄκων τῇ τοῦ (τοῦ om. U) σεβαστοκράτορος συμβουλῇ (βουλῇ U) ξυντεθεὶς (ξυντιθεὶς B) εἰς τὸν πατριαρχικὸν καὶ αὖθις θρόνον ἀνήγαγε τὸν Ἀρσένιον. καὶ οὕτω μὲν τὰ ἐπὶ τῷ Ἀρσενίῳ (τοῦ ἀρσενίου U) A_2BU 13 ξυντεθῆναι] ξυντευθῆναι F

---

* τὸν βασιλέα—15 βασιλέως in G ita legitur: εἰς τὸν πατριαρχικὸν καὶ αὖθις θρόνον ἀναγαγεῖν τὸν θεῖον Ἀρσένιον, θαύματά τινα καὶ ἔργα δυνάμεως θείας αὐτόχρημα πρὸς τοῦδε γεγονέναι διισχυριζόμενος. εἶχε δὲ ἐπὶ τούτῳ (cod. τῷ) καὶ τῆς συγκλήτου πλείστους καὶ τῶν πνευματικωτέρων πάνυ συχνοὺς συναιρομένους τε καὶ τὰ αὐτὰ συμβουλεύοντας, πατέρα κοινὸν νομιζόντων τε καὶ ὀνομαζόντων τὸν θεῖον Ἀρσένιον καὶ γνήσιον τῆς ἐκκλησίας μνηστῆρα, μοιχοὺς δὲ νομιζομένων καὶ διαρρήδην ἀποκαλούντων τὸν τῆς Ἐφέσου Νικη-

85. Ὁ δὲ βασιλεὺς τὸν Στρατηγόπουλον Ἀλέξιον τὸν 1261 καίσαρα μετὰ στρατευμάτων τινῶν οἰκονομήσας ἐπὶ τοῖς Ephraem. ed. B. v. 9482 δυτικοῖς ἐκπέπομφε μέρεσι, τοῖς ἐκεῖσε οὖσι τῶν Ῥωμαίων ὑπεναντίοις ξυνελθεῖν εἰς μάχην, παραγγείλας ὡς ἐν τῷ Georg. Pach. διέρχεσθαι, ἐπεὶ τὰ τῆς ὁδοῦ τῆς ἐκεῖσε φερούσης πλησίον ed. B. I 137 ὑπάρχει τῆς Κωνσταντίνου, ἔφοδόν τινα κατ' αὐτῆς ποιήσασθαι καὶ μέχρι τῶν πυλῶν αὐτῆς ἐπιδραμεῖν τὰ στρατεύματα, ὡς ἂν πτοία παρ' αὐτῶν τοῖς οὖσιν ἐντὸς Nic. Greg. Λατίνοις ἐγγένηται. ἐγένετο δὲ τῷ τότε καί τι ξυμβῆναι ed. B. I 83 προνοίᾳ θεοῦ. ἐπεὶ γὰρ ναῦς μεγίστη κοίλη Λατινικὴ ἐκ 191 ed. B. Βενετίας εἰς τὴν Κωνσταντίνου ἀφίκετο, καὶ νέος ἐν ταύτῃ ἐξουσιαστὴς παρεγένετο, ὃν καὶ ποτεστάτον ἐπονομάζουσιν, ἀνήρ, ὡς ἐφάνη, δραστήριος καὶ θρασύτερος εἰς τὰ μάχιμα, τοὺς ἐν τῇ Κωνσταντινουπόλει πάντας Λατίνους παροτρύνας εἰς μάχην καὶ ξυμβουλεύσας ὡς 'δεῖ καὶ ἡμᾶς μὴ μόνον ἐντὸς ὄντας τῆς πόλεως τὴν πόλιν καὶ ἑαυτοὺς φυλάττειν, ἀλλὰ καὶ κατὰ Ῥωμαίων τι δρᾶν, ὡς ἂν μὴ πάντῃ καταφρονητικῶς ἐν τοῖς καθ' ἡμῶν διατίθωνται.' ἔπεισεν οὖν αὐτοὺς εἰσιόντας ἐν ὅσαις εἶχον τριήρεσι καί τισιν ἑτέροις πλοίοις, λεμβαδίοις οἷον καὶ δρόμωσι, κατὰ τῆς νήσου Δαφνουσίας χωρῆσαι, εἴ πως δυνηθεῖεν αὐτὴν παραστήσασθαι καὶ σκύλων εὐμοιρῆσαι τῶν ἐξ αὐτῆς. κεκένωται

---

1 Ὁ δὲ βασιλεὺς] τότε δὴ καὶ G ‖ Ἀλέξιον] μὲν ἀλέξιον U ‖ τὸν καίσαρα om. U 2 στρατευμάτων τινῶν] στρατεύματος U ‖ ἐπὶ] ἐν U 3 ἐκπέπομφε] ἐξέπεμψε U 6 ὑπάρχει] ὑπῆρχε ab ‖ Κωνσταντίνου] Κωνσταντινουπόλεως A_2BU ‖ κατ' αὐτῆς] κατὰ ταύτης A_2B 7 τὰ στρατεύματα om. U 8 πτοία] πτοῖαν U 9 ἐγγένηται] γένεται U 10 προνοίᾳ θεοῦ om. U 12 ποτεστάτον] ἰμποτεστάτον U 14 τῇ om. F ‖ Κωνσταντινουπόλει] κωνσταντίνου U ‖ πάντας om. ab 16 ὄντας] ὄντα U 17 πάντῃ] πάνυ U πάντως F 18 διατίθωνται] διατίθενται F ‖ οὖν om. U 19 εἰσιόντας] εἰ οἷόν τε A_2

φόρον καὶ εἴ τις ἄλλος ἐπιλαβέσθαι τοῦ θρόνου κατατολμήσειε. τούτοις δὴ καὶ πείθεται βασιλεύς, καὶ ἀνάγει διὰ τάχους εἰς τὸν τῆς πατριαρχείας θρόνον τὸν μακαρίτην Ἀρσένιον. καὶ ταῦτα μὲν ἔσχηκεν οὑτωσί.

οὖν ἡ πόλις ἀνδρῶν, καὶ ἦν γυναιξὶ καὶ νηπίοις καὶ τῷ βασιλικῷ τάχα ταύτης κατάρχοντι Βαλδουίνῳ μετά τινων μετρίων ἀνδρῶν διεξαγομένη καὶ τηρουμένη.

Αἴφνης οὖν ὁ Στρατηγόπουλος Ἀλέξιος ὁ καῖσαρ νυκτὸς ἐπιὼν τῇ Κωνσταντίνου προσήγγισεν. ἐπεὶ δὲ μεθ' ἑαυτοῦ εἶχε καὶ ἄνδρας τινὰς ἐξωρμημένους τῆς πόλεως καὶ ἀκριβῶς εἰδότας τὰ κατ' αὐτήν, καὶ πυνθανόμενος αὐτῶν ἐμεμαθήκει ὀπήν τινα εἶναι περὶ τὸ τεῖχος τῆς πόλεως, δι' ἧς ἀνὴρ ὁπλίτης δύναιτ' ἂν ἐντὸς εἰσελθεῖν, μηδ' ὅλως μελλήσας τοῦ ἔργου εἴχετο. καὶ εἰσῆλθε διὰ ταύτης ἀνήρ, καὶ ἐπηκολούθησεν αὐτῷ ἕτερος, εἶτα ἐκείνῳ ἄλλος, καὶ οὕτω μέχρι τῶν πεντεκαίδεκα, τάχα δὲ καὶ πλείους ἄνδρες ἐντὸς εἰσῆλθον τῆς πόλεως. ἐπεὶ δὲ περὶ τὸ τεῖχος ἕνα εὗρον τῶν ἐμπεπιστευ-
92 ed. B. *μένων τὴν φυλακήν, τινὲς ἐξ αὐτῶν ἀναβάντες καὶ τῶν ποδῶν λαβόντες ἔρριψαν ἔξω τῆς πόλεως. οἱ δ' ἄλλοι ἀξίνας ἐγχειρισάμενοι καὶ τοὺς μοχλοὺς τῶν πυλῶν διαρρήξαντες ἐλευθέραν πεποίηνται τὴν εἰς τὴν πόλιν εἴσοδον τῷ στρατεύματι. οὕτω μὲν οὖν ὁ Στρατηγόπουλος καῖσαρ καὶ οἱ σὺν αὐτῷ πάντες Ῥωμαῖοι καὶ Σκύθαι — ἐκ τῶν τοιούτων καὶ γὰρ τὸ ὑπ' αὐτὸν συνεκεκρότητο στράτευμα — ἐντὸς τῆς πόλεως ἐγεγόνεισαν. οἱ δ' ἐντὸς τῷ αἰφνιδίῳ κατασεισθέντες τοῦ πράγματος, ὡς εἶχεν ἕκαστος τὴν ἑαυτοῦ σωτηρίαν ἐπραγματεύετο. καὶ οἱ μὲν περὶ τὰ σεμνεῖα ἐβάδιζον καὶ μοναχικὰ ἐνεδέδυντο ἄμφια, ὅπως τὸν φόνον ἐκφύγοιεν, γυναῖκες δὲ εἰς ὀπὰς τειχῶν συνεστέλλοντο καὶ εἰς στοὰς σκοτεινὰς καὶ ἀποκρύφους ἐκρύπτοντο. ὁ δὲ τῆς πόλεως κατάρχων Βαλδουῖνος περὶ τὸ μέγα παλάτιον ὥρμησεν.*

Οἱ δὲ περὶ τὴν Δαφνουσίαν ἀπιόντες Λατῖνοι καὶ ὁ μετ'

---

2 *τάχα* om. F 4 *οὖν ὁ*] *οὖν* U ‖ *Ἀλέξιος*] *ὁ μελισσηνὸς* sec. m U 6 *ἐξωρμημένους*] *ἐξορμωμένους* F 7 *καὶ* om. F 9 *μελλήσας* ab *μελήσας* O 10 *ἐπηκολούθησεν* usque ad finem om. F 11 *οὕτω* om. U 13 *τῶν ἐμπεπιστευμένων* U *τὸν ἐμπεπιστευμένον* A_2BG 14 *τὴν φυλακὴν*] *τῇ φυλακὶ* U 18 *καὶ οἱ σὺν αὐτῷ*] *ὁ μελησσηνὸς καὶ* sec. m. U 20 *συνεκεκρότητο*] *συνεκροτεῖτο* U 22 *εἶχεν*] *εἶχον* ab 23 *περὶ*] *ἐπὶ* b 25 *τειχῶν* scripsi *τοιχῶν* A_2B *τοίχων* ab *τυχὸν* G *τείχων* post *συνεστέλλοντο* pos. U 27 *περὶ*] *ἐπὶ* b 28 *περὶ*] *ἐπὶ* b

αὐτῶν ποτεστάτος, μηδέν τι τῶν γενομένων γνωρίσαντες, ἐπεὶ μὴ κατὰ τῆς νήσου Δαφνουσίας ποιῆσαί τι ἴσχυσαν — ἀντελάβετο γὰρ κἀκείνων θεός — παλίνδρομοι πρὸς τὴν πόλιν ἐπανεζεύγνυον. μέχρι μὲν οὖν τοῦ ναοῦ τοῦ ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων Μιχαὴλ ἐλθόντες, τοῦ περὶ τὸν ἀνάπλουν διακειμένου, οὐδέν τι ὅλως τῶν γενομένων ἐμεμαθήκεισαν· ἐκεῖσε δὲ ἀφιγμένοι καὶ ταῦτα μαθόντες εἰς τὴν πόλιν ὥρμησαν ἐπελθεῖν. ἀλλὰ τὰ Ῥωμαϊκὰ στρατεύματα τοῦτο γνόντες πῦρ ταῖς οἰκίαις τῶν Λατίνων ἐνέβαλον παρὰ τὸν αἰγιαλὸν κειμέναις, καὶ ἐνέπρησαν ταύτας, καὶ πρῶτα μὲν τὰς τῶν Βενετικῶν, εἶτα τῶν ἄλλων γενῶν, ἃς καὶ κάμπους κατωνόμαζον. ἐπεὶ δὲ εἶδον τὴν πόλιν πυρπολουμένην οἱ τῶν Λατίνων, τὰς παρειὰς ταῖς χερσὶ τύψαντες, καὶ λαβόντες ὅσους ἠδύναντο ἐντὸς τῶν 193 ed. B. τριήρεων αὐτῶν καὶ τῶν λοιπῶν πλοίων, ὑπεχώρησαν, μιᾶς τριήρεως εἰς τὸ μέγα παλάτιον ἀπελθούσης καὶ ἀναδεξαμένης τὸν Βαλδουῖνον ἐν χρῷ τῆς ζωγρείας γενόμενον. καὶ ταῦτα μὲν οὕτω ξυνέβη, καὶ ἡ Κωνσταντίνου προνοίᾳ θεοῦ καὶ αὖθις ὑπὸ χεῖρα τοῦ βασιλέως τῶν Ῥωμαίων ἐγένετο κατὰ λόγον δίκαιόν τε καὶ προσήκοντα, Ἰουλίου εἰκοστὴν καὶ πέμπτην ἄγοντος, οὔσης ἐπινεμήσεως τετάρτης καὶ ἀπὸ γενέσεως κόσμου ἔτους ὄντος ͵ςψξθʹ, ὑπὸ τῶν ἐχθρῶν κρατουμένη χρόνους πεντήκοντα καὶ ὀκτώ.

86. Περὶ γοῦν τὸ Μετεώριον τότε σκηνουμένου τοῦ βασιλέως ἐξαπίνης φήμη τις νύκτωρ τὰς τῶν πολλῶν περιεβόμβησεν ἀκοάς. ἡ δὲ φήμη παρὰ παιδαρίου τινὸς

---

1 ποτεστάτος] ἰμποτεστάτος U ‖ τι om. U ‖ γενομένων U γινομένων A_2BG 3 κἀκείνων] ἐκείνων A_2B ‖ θεός] ὁ θεός A_2 4 ἐπανεζεύγνυον] ἐπαναζεύγνυον U 5 τοῦ—6 διακειμένου om. U 6 ἀνάπλουν] ἀνάπλω B ἐν Ἀνάπλῳ ab ‖ ὅλως om. U ‖ γενομένων] γεγενημένων ab 8 εἰς] ἐς B 9 τοῦτο] ταῦτα U ‖ πῦρ] πυρῶν A_2 πυρὶ U 10 ἐνέβαλον] ἐνέβαλλον B corr. ab 11 Βενετικῶν] βενετίκων B 12 κάμπους] κάμπας U 14 ἠδύναντο] ἐδύναντο U 15 ὑπεχώρησαν] ὑπανεχώρησαν ab 16 ἀπελθούσης] ἐπελθούσης A_2 17 τῆς om. U 19 τῶν om. G 21 οὔσης—22 κόσμου om. A_2 22 γενέσεως] γεννήσεως U ‖ ὑπὸ] παρὰ U 24 σκηνουμένου] σκηνούμενον U 26 τινὸς τῆς] τινος ab

τῆς αὐταδέλφης τοῦ βασιλέως τῆς ὀνομαζομένης μὲν Εἰρήνης, διὰ δὲ τοῦ μοναδικοῦ σχήματος μετονομασθείσης Εὐλογίας, ἐκ τῶν τῆς Βιθυνίας μερῶν παρ' αὐτὴν ἀφικομένου, ὡς καθ' ὁδὸν ἐμεμαθήκει παρά του, παρὰ τῶν Ῥωμαϊκῶν στρατευμάτων ἁλῶναι τὴν Κωνσταντίνου. ὡς εἶχε γοῦν τάχους ἡ τοῦ βασιλέως αὐτοκασιγνήτη παρὰ τὸν βασιλέα ἀφιγμένη καταδαρθάνοντα τοῦτον εὗρε, καὶ ἠρέμα πως ἐκίνει αὐτὸν χειρί, ὅπως ἄν γε καὶ γρηγορήσειεν, ἰσχνοτέρᾳ τῇ φωνῇ ὑπολέγουσα ὡς 'κατέσχες, ὦ βασιλεῦ, τὴν Κωνσταντινούπολιν.' καὶ πολλάκις τοῦτο εἰρήκει, καὶ ὁ βασιλεὺς ἐπέμενε μηδέν τι πρὸς ταύτην ἀνταποκρινόμενος. ὡς δὲ τὸν λόγον μετέβαλε καὶ εἰρήκει· 'ἀνάστηθι βασιλεῦ· ὁ γὰρ Χριστὸς ἀπεχαρίσατό σοι τὴν Κωνσταντινούπολιν,'
194 ed. B. τῆς κλίνης ἀναστὰς καὶ τὰς χεῖρας εἰς οὐρανὸν ἀνατείνας 'τοῦτον μὲν' ἔφη 'τὸν λόγον, ὦ ἀδελφή, καὶ αὐτὸς δέχομαι. ὃν δὲ λόγον τὸ πρῶτον εἶπας, ὡς τῆς Κωνσταντίνου κεκράτηκα, οὐδαμῶς ἀποδέχομαι· πῶς γὰρ ἐκ τοῦ Μετεωρίου ἐγκρατὴς γενοίμην τῆς Κωνσταντίνου; ἀλλ' οὐδὲ στράτευμα κατ' αὐτῆς ἀξιόλογον πέπομφα. τὸ δὲ ῥᾴω ταῦτα εἶναι θεῷ καὶ αὐτὸς ξυνομολογῶ, καὶ θᾶττον ἂν τὰ μικροῦ καὶ ἀδύνατα τοῖς οἷς βούλοιτο παρασχεῖν καθέστηκε δυνατός.'

Ταῦτ' εἰπὼν τοὺς ἐν τέλει πάντας τοὺς ἐκεῖσε τότε τούτῳ συνόντας ξυνήθροισε, καὶ ἐπυνθάνετο εἰ ἀληθῆ δοκεῖ σφίσιν αὐτοῖς τὰ παρὰ τῆς φήμης. καὶ οἱ μὲν συνέθεντο τὰ τῶν λόγων ἐπαληθεύειν, καὶ μάλιστα οἷς ἡ τῶν Λατίνων ἔξοδος ἀκριβέστερον ἐπεγνώσθη· ἔνιοι δὲ τὸν λόγον ἦγον ἐν ἀμφιβόλοις, οἷς οὐκ ἐν γνώσει τὰ τῆς ἄνω

---

1 μὲν om. U 2 μετονομασθείσης] ἐπονομασθείσης U 4 ὡς] ὃς b ‖ παρὰ om. ab ‖ post του ⟨στρατιώτου⟩ suppl. ex s? 8 γρηγορήσειεν] ἐγρηγορήσειεν A_2B 9 ἰσχνοτέρᾳ] ἰσχυροτέρᾳ ab 11 ἐπέμενε] ὑπέμενε U ‖ ἀνταποκρινόμενος] ἀνταποκρινάμενος U 14 οὐρανὸν] θεὸν U 15 δέχομαι] ἀποδέχομαι U 16 λόγον post πρῶτον pos. U ‖ τὸ om. U ‖ εἶπας] εἶπες ab 19 κατ' αὐτῆς] ἐν αὐτῇ post ἀξιόλογον pos. U 20 μικροῦ] μικρῷ U 21 βούλοιτο] βούλοιντο U 22 ταῦτ'] ταῦτα U ‖ sec. τοὺς—23 συνόντας om. ab 23 τούτῳ G om. A_2BU ‖ συνόντας] ξυνόντας U ‖ ξυνήθροισε] συνήθροισε U 24 σφίσιν αὐτοῖς] σφίσι U 27 ἦγον] εἶχον U

προνοίας καθέστηκε κρίματα, ὑπολογιζόμενοι καὶ τὸ πρᾶγμα τῶν δυσχερεστάτων τε εἶναι καὶ μὴ ῥᾳδίως κατορθουμένων. ἐν τοῖς τοιούτοις μὲν λόγοις τὸ τῆς νυκτὸς παρῄει διάστημα. ἐπεὶ δὲ ἡμέρα ἐπέφωσκεν, ἐλπὶς μὲν ἦν πᾶσι τὸν διακομίζοντα τἀληθῆ ἀφικέσθαι πρὸς τὸ στρατόπεδον, ἀλλὰ καὶ τὸ τῆς ἡμέρας ἐκείνης παραδεδραμήκει διάστημα, καὶ οὐδεὶς τοιοῦτος ἀφίκετο. ἤσχαλλον γοῦν αἱ τῶν ἁπάντων ψυχαὶ καὶ ἠδημόνουν, καὶ μάλιστά γε τοῦ βασιλέως. ἀλλὰ νυκτὸς ἐπιούσης ὁ τὴν ἀγαθὴν ἀγγελίαν διακομίζων ἐλήλυθε καὶ σαφῶς εἰρήκει περὶ τοῦ ἔργου, ὅτιπερ τὰ τῶν Ῥωμαίων στρατεύματα μετὰ τοῦ καίσαρος Στρατηγοπούλου ἐντὸς τῆς Κωνσταντίνου διάγουσι, καὶ πάντα ὡς ἔσχεν ἀπήγγειλεν.

87. Ἀπάρας γοῦν ὁ βασιλεὺς τοῦ Μετεωρίου μεθ' ἡδονῆς ὅτι πολλῆς τὴν Κωνσταντίνου φθάσαι διὰ τάχους 195 ed. B
ἐπέσπευδε, δεδιὼς μήποτε ἐκ τῆς Δαφνουσίας οἱ Λατῖνοι ὑπονοστήσαντες καὶ τῆς πόλεως ἐντὸς γενόμενοι μάχην κατὰ Ῥωμαίων στήσαιεν καρτεράν, καὶ πολλῷ πλείους τῶν Ῥωμαίων ὄντες τῶν τειχῶν ἔξω βάλλουσιν. ἀλλὰ ταῦτα μὲν οὐ ξυνέβη, ἀλλ' ἐκεῖνοι μὲν τῷ ἀθρόῳ τὰς ψυχὰς κατασεισθέντες προύλαβον ἀποδρᾶναι, καθὼς ὁ λόγος φθάσας ἐδήλωσεν. ὁ βασιλεὺς δὲ τὴν πορείαν ἐπέτεινεν. ἐπεὶ δὲ καὶ τοὺς τοῦ Καλάμου βουνοὺς παρημείψαμεν καὶ τῆς Ἀχυράους ἐγγὺς ὁ βασιλεὺς ἐπήξατο τὴν σκηνήν, τότε δὴ καὶ τὰ τοῦ Βαλδουίνου τοῦ τάχα βασιλικῶς τῆς Κωνσταντίνου κατάρχοντος τὰ βασιλικὰ διεκομίσθησαν σύμβολα· ταῦτα δὲ ἦν καλύπτρα Λατινικὴ τὸ σχῆμα καὶ μαργάροις πεποικιλμένη καὶ ὑπὲρ κεφαλῆς λιθιδίῳ κοκκίνῳ, πέδιλά τε

---

4 δὲ] δ' A_2 5 τἀληθῆ] τἀληθὲς U ἀληθῆ ab 6 ἐκείνης om. U 7 ἤσχαλλον] ἤσχαλον A_2 U 9 ἐλήλυθε] ἐλήλυθεν B 11 Στρατηγοπούλου] τοῦ μελισσήνου sec. m. in ras. U 12 διάγουσι] διάγουσιν B 16 ἐπέσπευδε] ἐπέσπευδεν U reliqua usque ad finem om. U 18 καρτεράν] κρατεράν sec. m. B 19 τειχῶν] τείχων ab ‖ βάλλουσιν] βάλλουσι ab 20 τῷ ἀθρόῳ] τὸ ἀθρόω B τὸ ἀθρόον ab διὰ τὸ ἀθρόον coni. b 21 ἀποδρᾶναι] ἀποδράσαι A_2 25 τὰ om. B 28 λιθιδίῳ] λιθίῳ B

κοκκοβαφῆ καὶ σπάθη σηρικὸν κοκκοβαφὲς ἐνδεδυμένη προκάλυμμα. τότε δὴ καὶ ὁ πολὺς λεὼς τὰ τῆς ὑποθέσεως ἐπεπίστωτο· τὸ γὰρ μεγαλεῖον οὐκ εἴα τοῦ πράγματος εὐχερῶς πιστεύειν τοῖς λεγομένοις.

Ἔσπευσεν οὖν ὁ βασιλεὺς τὴν κίνησιν. ταχυτέρας γοῦν καὶ μακροτέρας ἐποιεῖτο τὰς μεταβάσεις. ἐγγίσαντι γοῦν τῇ Κωνσταντίνου τῷ βασιλεῖ κατὰ νοῦν ἐπῄει θεοπρεπεστέραν μᾶλλον ἢ βασιλικωτέραν τὴν εἰς τὴν Κωνσταντίνου ποιήσασθαι πάροδον, καὶ τὸν τρόπον ἐσκέψατο, ὅπως ἂν γένοιτο ὃ δὴ διὰ λόγων εὐχαριστηρίων πρὸς τὸν θεὸν καὶ φωνῶν εὐκτηρίων ὑπέρ τε βασιλείας καὶ ἱεραρχείας ὑπέρ τε τῆς πόλεως καὶ τῶν αὐτῆς οἰκητόρων καὶ τοῦ ταύτης πληρώματος. ἐπεὶ δὲ ἐζήτει τὸν τὰς εὐχὰς συγγράψασθαι μέλλοντα, τὸν φιλόσοφον Βλεμμύδην πρὸς τοὖργον ἐπινύξαι βεβούλητο. μακρὰν δὲ ἦν ὁ ἀνήρ — ἀμφὶ γὰρ τὴν Ἔφεσον τὰς διατριβὰς ἐποιεῖτο — εἰς ἀργίαν δὲ τὰ τοῦ πράγματος ἔπιπτεν. 6 ed. B. ὁ δὲ βασιλεὺς μελλήσειν οὐκ ἤθελε πρὸς τὴν εἴσοδον. ἐδυσχέραινε γοῦν ἐπὶ τούτοις, ἀλλ' αὐτὸς τὸ δυσχερὲς διελυσάμην τῷ βασιλεῖ. 'εἰ μὲν' γὰρ ἔφην, 'ὦ βασιλεῦ, ὡς ἐξ ἁγίου ἀνδρὸς βούλει τὰς εὐχάς, ὥσπερ ἐθέλεις, γενέσθαι σοι, οὐκ ἔχω λέγειν· εἰ δὲ ἐξ οἱουδήτινος, δυναμένου δὲ συγγράφειν προέλοιο τὴν βούλησιν ἐκπεπλῆσθαί σοι, ἰδού σοι αὐτὸς τὴν θέλησιν ἀποπλήσαιμι καὶ τὰς εὐχάς σοι συγγράψαιμι.' ἔδοξε τοῦτο κρεῖττον τῷ βασιλεῖ, καὶ τῆς ταχινῆς εἰσόδου τὰς ὑπ' ἐμοῦ ποιηθησομένας προείλετο. ἐγὼ μὲν οὖν εὐθὺς ἡψάμην τοῦ ἔργου, καὶ οὔπω ἡμέρα παρῄει ὅλη καὶ νύξ, καὶ δέκα πρὸς ταῖς τρισὶ συνεγραψάμην εὐχάς, ἑκάστην οἰκεῖον ἔχουσαν τὸν σκοπόν.

88. Κατέλαβε γοῦν ὁ αὐτοκράτωρ τὴν Κωνσταντίνου·

---

1 σηρικὸν ab συρικὸν O ‖ προκάλυμμα] περικάλυμμα coni. b 2 ἐπεπίστωτο] ἐπιπίστευτο ab 5 ἔσπευσεν οὖν] ἔσπευσε γοῦν G 10 ὃ] ὁ ab ‖ ὃ δὴ A_2BG ὁ δὴ ab ᾠδῇ? 11 ἱεραρχείας G ἱεραρχίας O 14 Βλεμμύδην scripsi βλεμμίδην B ι in υ sec. m. G βλεμίδην A_2 17 μελλήσειν] μελήσειν BG 20 εὐχάς] ψυχάς A_2 21 οἱουδήτινος] οἱδήτινος B 24 τοῦτο post κρεῖττον pos. A_2B 27 ταῖς] τοῖς G ‖ τρισὶ] τρισὶν ab

τεσσαρακαιδεκάτην ἦγε τότε ὁ Αὔγουστος. εἰσελθεῖν γοῦν εἰς τὴν Κωνσταντινούπολιν οὐκ ἠθέλησε τὴν αὐτὴν ἡμέραν, ἀλλὰ τὰς σκηνὰς ἐν τῇ μονῇ τοῦ Κοσμιδίου ἐπήξατο, τῇ ἄγχι διακειμένῃ τῶν Βλαχερνῶν. ἐκεῖσε γοῦν διανυκτερεύσας ἕωθεν ἀναστὰς τὴν εἰς Κωνσταντινούπολιν εἴσοδον ἀπειργάσατο τρόπον τοιοῦτον. ἐπεὶ δὲ ὁ μὲν πατριάρχης Ἀρσένιος οὐ παρῆν, οἷα ἐκεῖνος ἀνὴρ νωθρότερος περὶ τὰ καλὰ καὶ δύσνους πρὸς τὸν βασιλέα τελῶν καὶ μικροῦ δυσχεραίνων, ὅτι πρὸς τοῦ βασιλέως ἡ τῆς Κωνσταντίνου τῇ τῶν Ῥωμαίων ἀρχῇ συγκατείλεκται, ἔδει δὲ ἄρα τῶν τινα ἀρχιερέων τὰς εὐχὰς εἰς ἐπήκοον ἐξειπεῖν, ὁ τῆς Κυζίκου μητροπολίτης Γεώργιος, ὃν καὶ Κλειδᾶν κατωνόμαζον, ἐπλήρου τὴν χρείαν, καὶ εἰς ἕνα τῶν πύργων τῶν τῆς Χρυσείας ἀναβάς, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸ τῆς θεοτόκου ἐκτύπωμα τὸ οὕτω πως ἐκ τῆς μονῆς παρωνομασμένον τῶν Ὁδηγῶν, εἰς ἐπήκοον ἁπάντων ἀπεστομάτισε τὰς εὐχάς. ὁ μὲν οὖν αὐτοκράτωρ τὴν καλύπτραν ἀποβαλὼν καὶ γόνυ κλίνας 197 ed. B.
ἔπεσε χαμαί, καὶ πάντες δὲ οἱ σὺν αὐτῷ ὄπισθεν αὐτοῦ ἐπὶ γόνυ κατέπεσον. ἐπεὶ δὲ ἡ πρώτη τῶν εὐχῶν ἐκτετέλεσται καὶ ὁ διάκονος ἐσήμηνε τὴν ἀνέγερσιν, πάντες ἀναστάντες τὸ κύριε ἐλέησον, εἰς ἑκατὸν ἀριθμήσαντες, ἐπεβόησαν. καὶ τούτων τετελεσμένων πρὸς τοῦ ἀρχιερέως καὶ αὖθις ἑτέρα τις ἐξεφωνήθη εὐχή. ὡς ἐν τῇ πρώτῃ γοῦν καὶ ἐν τῇ δευτέρᾳ γεγένηται, καὶ οὕτω πως διαπέπρακται μέχρι καὶ συμπληρώσεως τῶν ὅλων εὐχῶν. ἐπεὶ γοῦν οὑτωσί πως τὰ τῆς ἱεροπραξίας ταύτης γεγένηται, θεοπρεπῶς μᾶλλον ἢ βασιλικῶς τὴν τῆς Χρυσείας πύλην εἰσῆλθεν ὁ βασιλεύς· πεζὸς γὰρ ἐβάδιζε, προήρχετο δὲ τούτου τῆς θεομήτορος ἡ εἰκών. μέχρι μὲν οὖν τῆς τοῦ Στουδίου μονῆς ἀπελθών, ἐκεῖσε τὴν εἰκόνα καταλιπὼν τῆς ὑπεράγνου μητρὸς τοῦ θεοῦ, ἐπιβὰς τοῦ ἵππου περὶ τὸ τῆς Σοφίας τοῦ θεοῦ

---

1 ἦγε] ἦγεν ab 3 σκηνὰς] σκηνὰς ἐν τῷ κοσμιδίῳ ἐπήξατο G ‖ ἐπήξατο om. G 6 ἐπεὶ δὲ] ἐπειδὴ? 7 οἷα — 10 συγκατείλεκται G om. O 20 ἐσήμηνε] ἐσήμαινε A_2 22 ἑτέρα et reliqua tertia man. add. A_2 29 τῆς τοῦ] τοῦ τῆς A_2 B ‖ Στουδίου] στοδ[illegible] [illegible] τοῦ] ἐπὶ b

ἀφίκετο τέμενος. ἐκεῖσε γοῦν τῷ δεσπότῃ προσκυνήσας Χριστῷ καὶ τὰ εἰκότα τούτῳ εὐχαριστήσας, περὶ τὸ μέγα κατηντήκει παλάτιον. ἐν εὐφροσύνῃ γοῦν καὶ θυμηδίᾳ πολλῇ καὶ ἀπλέτῳ χαρᾷ τὸ Ῥωμαϊκὸν τῷ τότε γεγένηται πλήρωμα· οὐδεὶς γὰρ ἦν ὁ μὴ σκιρτῶν τε καὶ ἀγαλλόμενος καὶ μικροῦ δεῖν τῷ πράγματι ἀπιστῶν διὰ τὸ ἀπροσδόκητον τοῦ ἔργου καὶ τὸ ὑπερβάλλον τῆς ἡδονῆς.

Ἐπεὶ δὲ ἔδει καὶ τὸν πατριάρχην ἐντὸς γενέσθαι τῆς Κωνσταντίνου, μετὰ παραδρομήν τινων ἡμερῶν λόγοις καὶ τῇ παρὰ τούτων πειθοῖ εἰσῆλθε. καὶ ὁ βασιλεὺς εἰς τὸ ἱερὸν ἀπῆλθεν ἀνάκτορον, τὸ τῆς μεγάλης Σοφίας τέμε-
198 ed. B. *νος, ἵν' ἐγχειρίσῃ τὴν καθέδραν τῷ ἀρχιερεῖ. καὶ συνήθροιστο μετὰ τοῦ βασιλέως καὶ τῶν ἐν τέλει πάντες καὶ τῶν ἀρχόντων οἱ πρόκριτοι καὶ πᾶσα πληθύς. ὁ βασιλεὺς δὲ τῆς χειρὸς τοῦ πατριάρχου ἐπιλαβόμενος 'ἔχεις,' φησί, 'τὸν θρόνον σου, δέσποτα, καὶ οὗτινος ἐκ μακροῦ ἐστέρησαι, νυνὶ τῆς καθέδρας ἀπόλαυε.' καὶ οὕτω μὲν καὶ ἐπὶ τῷ πατριάρχῃ τὰ τοῦ βασιλέως ξυνέβη.*

89. *Ἐγένετο δὲ τῷ τότε καί τι τοιοῦτον, ὃ μὴ παραδοῦναι γραφῇ τῶν οὐ δεόντων ἐλογισάμην. λόγον ἐπὶ τῇ ἀναρρύσει τῆς Κωνσταντίνου συνεγραψάμην. καὶ ὁ σκοπὸς τοῦ λόγου κατὰ τὰς ἀρχὰς εὐχαριστία τε ἦν πρὸς θεὸν τῆς πρὸς Ῥωμαίους τούτου ἀγαθουργίας καὶ τῆς εὐσπλάγχνου κηδεμονίας καὶ ἀντιλήψεως, συνανεκεράννυτο δὲ τῷ λόγῳ καὶ εὐφημία πρὸς τὸν βασιλέα εὐχαριστήριος· ἡ δ' ἐπὶ τέλει τοῦ λόγου ἀξίωσις συναναγορευθῆναι τῷ βασιλεῖ καὶ πατρὶ τὸν βασιλέως πρωτογενῆ παῖδα, τὸν Κομνηνὸν Ἀνδρόνικον. τοῦτο ἐλάνθανε τοὺς πολλοὺς καὶ μάλιστα τῶν ἐν τέλει, οἷς καὶ οὐ κατὰ γνώμην ὑπῆρχε τὸ πρᾶγμα. οἱ μὲν προύχοντες τῶν ἡμετέρων, ὅ τε δεσπότης Ἰωάννης ὁ*

---

1 *προσκυνήσας* post *Χριστῷ* pos. B **2** *περὶ*] *ἐπὶ* b **15** *ἔχεις*] *ἔχῃς*? **16** *οὗτινος*] *ἧστινος*? ‖ *ἐστέρησαι, νυνὶ*] *ἐστέρησαι. νυνὶ* ab **19** *τῷ* om. ab **21** *ἀναρρύσει* ab *ἀναρρήσει* O **22** *τε* om. ab **24** *συνανεκεράννυτο*] *συνεκεράννυτο* A_3 **25** *δ' ἐπὶ* G *δὲ ἐπὶ* O **27** *Ἀνδρόνικον* om. A_3 **28** *ἐλάνθανε τοὺς*] *ἐλάνθανεν αὐτοὺς* A_3 **30** *μὲν*] *μὲν οὖν*?

τοῦ βασιλέως αὐτάδελφος καὶ ὁ πενθερὸς τούτου ὁ σεβαστοκράτωρ Τορνίκιος — ὁ γὰρ καῖσαρ Στρατηγόπουλος, καὶ εἰ παρῆν ἐν τοῖς τοιούτοις, οὐδ' εἶχε περὶ τούτων φροντίδα — τὸν σκοπὸν ἀγνοοῦντες καὶ τὴν ἀξίωσιν τοῦ προβλήματος, ἠνάγκασαν τὸν βασιλέα ἐπ' ἀκροάσει γενέσθαι τοῦ λόγου. ὁ μὲν βασιλεὺς ἐδυσχέραινεν, ἤδη γὰρ μεσεμβρινὰς τὰς ἀκτῖνας ὁ ἥλιος ἔβαλλε καὶ ὁ τοῦ ἀρίστου παρῄει καιρός ***

---

6 μὲν] δὲ ab   7 ἔβαλλε] ἔβαλε A_8

ΓΕΩΡΓΙΟΥ ΜΕΓΑΛΟΥ ΛΟΓΟΘΕΤΟΥ
ΤΟΥ ΑΚΡΟΠΟΛΙΤΟΥ
ΠΟΙΗΜΑ ΧΡΟΝΙΚΟΝ ΗΜΙΤΕΛΕΣ.

1. *Τὸ τῆς ἱστορίας χρήσιμον καὶ πρὸ ἡμῶν οἱ συγγραψάμενοι διωρίσαντο, καὶ ἅπερ ἂν ἐκείνοις ἐπῆλθεν εἰπεῖν, ταῦτα ἂν καὶ ἡμεῖς ἐρεῖν ἔχωμεν· τί γὰρ ἂν καὶ εὕροιμεν καινότερον νόημα τοσούτων ἱστορησάντων καὶ σύμπαν καλὸν τῆς ἱστορίας ἀποφηναμένων ἐν τοῖς σφετέροις συγγράμμασι; τάχα δέ, ὃ πλέον ἐκείνων ἐν τοῖς νῦν προκειμένοις ἡμῖν λέξειν ἄξιον, τοῦτό γε ἂν τῆς ἡμετέρας συγγραφῆς προβαλούμεθα. τὸ δέ ἐστιν ὅτι καινοτέρων ἡμῖν προκειμένων πραγμάτων, ἃ μήπω τις γραφῇ παραδέδωκε, καινότερον συμβαίνει εἶναι καὶ τὸ ὠφέλιμον, ἐκείνων ἐν γνώσει τῶν ἀνθρώπων γεγενημένων ἅπερ ὁ χύδην ῥέων λόγος οὐκ ἀληθῶς ἀποφαίνεται. οἱ μὲν οὖν τὰ καθ' ἡμᾶς ἱστορικῶς συγγραψάμενοι ἄλλην ἄλλος πεποίηνται τὴν ἀρχήν· οἱ μὲν*

---

3 *Γεωργίου τοῦ Ἀκροπολίτου τοῦ μεγάλου λογοθέτου πόνημα χρονικὸν ἡμιτελές* inscr. a *Γεωργίου Λογοθέτου Ἀκροπολίτου χρονικὸν ὡς ἐν συνόψει τῶν ἐν ὑστέροις* inscr. L d = ed. Dousae
6 *ἔχωμεν*] *ἔχομεν* a   11 *ἡμῖν*] *ὑμῖν* V   16 *ἄλλος*] *ἄλλως* V

---

hoc prooemium habent La: *Τὸ τῆς ἱστορίας χρήσιμον καὶ οἱ πρὸ ἡμῶν συγγραψάμενοι διωρίσαντο, καὶ ἅπερ αὐτοὶ ἐκεῖνοι εἶχον ἂν εἰπεῖν ἀπὸ τῶν πραχθέντων ἀναμαθόντες, ταῦτα ἡμεῖς νῦν προϊόντες ἐροῦμεν, τῶν ἱστορίαν συγγραψαμένων ὡς ἑνὸν τὸν στῦλον* (*στῆλον* Ld *τοῦ στύλου* coni. b) *ἐχόμενοι καθὰ μιμηταί, τοῦ καλοῦ τῆς ἱστορίας ἐθέλοντες ἐπακούειν. καινοτέρων τοίνυν προκειμένων πραχθέντων πραγμάτων, καὶ μήπω ἔτι οὐδενὶ συγγραφῇ παραδεδομένων, καινότερον συμβαίνει πως γενέ-*

L = cod. Lipsiensis Gr. bibl. urb. I 22 saec. XVI.
M = cod. Venetus Marcianus Gr. VII 38 (Nanian. 154) saec. XVI.
S = cod. Venetus Marcianus Gr. 407 saec. XV.
V = cod. Vaticanus Gr. 981 saec. XIV/XV.
a = editio Leonis Allatii.
b = editio Imm. Bekkeri.
d = editio Theodori Dousae.
s = *Σύνοψις χρονική* edid. C. Sathas.

ΓΕΩΡΓΙΟΥ ΜΕΓΑΛΟΥ ΛΟΓΟΘΕΤΟΥ ΤΟΥ ΑΚΡΟΠΟΛΙΤΟΥ ΠΟΙΗΜΑ ΧΡΟΝΙΚΟΝ ΗΜΙΤΕΛΕΣ.

1. *Τὸ τῆς ἱστορίας χρήσιμον καὶ πρὸ ἡμῶν οἱ συγγραψάμενοι διωρίσαντο, καὶ ἅπερ ἂν ἐκείνοις ἐπῆλθεν εἰπεῖν, ταῦτα ἂν καὶ ἡμεῖς ἐρεῖν ἔχωμεν· τί γὰρ ἂν καὶ εὕροιμεν καινότερον νόημα τοσούτων ἱστορησάντων καὶ σύμπαν καλὸν τῆς ἱστορίας ἀποφηναμένων ἐν τοῖς σφετέροις συγγράμμασι; τάχα δέ, ὃ πλέον ἐκείνων ἐν τοῖς νῦν προκειμένοις ἡμῖν λέξειν ἄξιον, τοῦτό γε ἂν τῆς ἡμετέρας συγγραφῆς προβαλούμεθα. τὸ δέ ἐστιν ὅτι καινοτέρων ἡμῖν προκειμένων πραγμάτων, ἃ μήπω τις γραφῇ παραδέδωκε, καινότερον συμβαίνει εἶναι καὶ τὸ ὠφέλιμον, ἐκείνων ἐν γνώσει τῶν ἀνθρώπων γεγενημένων ἅπερ ὁ χύδην ῥέων λόγος οὐκ ἀληθῶς ἀποφαίνεται. οἱ μὲν οὖν τὰ καθ' ἡμᾶς ἱστορικῶς συγγραψάμενοι ἄλλην ἄλλος πεποίηνται τὴν ἀρχήν· οἱ μὲν*

---

3 *Γεωργίου τοῦ Ἀκροπολίτου τοῦ μεγάλου λογοθέτου πόνημα χρονικὸν ἡμιτελές* inscr. a *Γεωργίου Λογοθέτου Ἀκροπολίτου χρονικὸν ὡς ἐν συνόψει τῶν ἐν ὑστέροις* inscr. L d = ed. Dousae
6 *ἔχωμεν*] *ἔχομεν* a 11 *ἡμῖν*] *ὑμῖν* V 16 *ἄλλος*] *ἄλλως* V

---

hoc prooemium habent La: *Τὸ τῆς ἱστορίας χρήσιμον καὶ οἱ πρὸ ἡμῶν συγγραψάμενοι διωρίσαντο, καὶ ἅπερ αὐτοὶ ἐκεῖνοι εἶχον ἂν εἰπεῖν ἀπὸ τῶν πραχθέντων ἀναμαθόντες, ταῦτα ἡμεῖς νῦν προϊόντες ἐροῦμεν, τῶν ἱστορίαν συγγραψαμένων ὡς ἑνὸν τὸν στῦλον* (*στῆλον* Ld *τοῦ στύλου* coni. b) *ἐχόμενοι καθὰ μιμηταί, τοῦ καλοῦ τῆς ἱστορίας ἐθέλοντες ἐπακούειν. καινοτέρων τοίνυν προκειμένων πραχθέντων πραγμάτων, καὶ μήπω ἔτι οὐδενὶ συγγραφῇ παραδεδομένων, καινότερον συμβαίνει πως γενέ-*

γὰρ αὐτῶν ἀπὸ τῆς τοῦ κόσμου γενέσεως ἤρξαντο, οἱ δὲ ἐξ ἀξιολόγου τινὸς ἀρχῆς, ἢ Περσῶν ἢ Ἑλλήνων ἢ Ῥωμαίων ἢ ἄλλου οὑτινοσοῦν τῶν ἐθνῶν, ἕκαστος πρὸς τὸν ἑαυτοῦ σκοπὸν τὸ οἰκεῖον καταρτιζόμενος σύγγραμμα. καὶ

σθαι καὶ τὸ ὠφέλιμον. ἐκεῖνα γὰρ νῦν διηγησόμεθα, ἃ χύδην καὶ πολυτρόπως πολλοὶ ἐσημείωσαν, ἐκλεξάμενοι καὶ ἀναμαθόντες τὴν ἀλήθειαν τῶν πεπραγμένων. οἱ μὲν οὖν τῶν συγγραφέων αὐτῶν ἄλλην ἄλλος πεποίηται τὴν ἀρχήν, ἢ ἀπὸ τῆς γενέσεως τοῦ παντὸς ἀρξάμενοι ἢ ἀπὸ ἀξιολόγου ἀρχῆς, ὡς Περσῶν (πέρσων L) Ἑλλήνων Ῥωμαίων ἢ καὶ ἄλλων, ἕκαστος πρὸς τὸν σκοπὸν ἑαυτοῦ τὸ οἰκεῖον ἐξυφαινόμενος σύγγραμμα. ἡμῖν δ' οὐχ οὕτω τὰ τῆς συγγραφῆς ἡμῶν ἔσται, τοῦτο μὲν ὡς πολλοῖς συγγεγραμμένα, τοῦτο δὲ (δὴ ad) ὅτι καὶ πρὸς ἀλλήλους ἀντιλεγόμενα, μὴ καὶ ἡμεῖς ἀντιμάχης τυχόντες τὴν ἀλήθειαν ἀδικήσωμεν, ὡς οἱ παραχαράκται ἢ οἱ τὰ βασιλικὰ κέρματα λυμαινόμενοι. οὔτε γοῦν ἀφανῆ τινὰ καὶ πολυχρόνια ἀσάφειαν ἔχοντα συγγράφειν ἐπιχειρήσομεν, οὔτε πρὸς χάριν ἢ ἀπέχθειαν ἢ φθόνον ἢ*** ἄλλων (ἄλλο τι coni. b, sed lacunam video, quam ita fere suppleveris: ἢ ⟨καὶ πρὸς εὔνοιαν, οὔτε μιμεῖσθαι συγγράμματα⟩ ἄλλων) τῶν συσκιαζόντων ἀλήθειαν (τὴν ἀλήθειαν abd) καὶ πιθανῶς ἢ καὶ διαλεκτικῶς ἄλλα ἀντ' ἄλλων ἀναπλαττόντων ἢ καὶ τὰ μὴ ὑπάρξαντα θαυμαστὰ μὲν ἀλλ' οὐ πιστὰ τῇ φύσει ἀναπλαττόντων ἢ καὶ τὰ μικρὰ μεγαλυνόντων ἢ καὶ τὰ μεγάλα σμικρυνόντων τῇ πανδήμῳ ῥητορικῇ, ἀλλὰ φιλαλήθως τὰ ἐμφανῆ καὶ ἐπὶ τοῖς χρόνοις εἰπεῖν ἡμῶν πεπραγμένα, ἐξ ὧν ἄλλα μὲν ἀπὸ τῶν ἀκριβῶς εἰδότων ἠκούσαμεν καὶ πεπληροφορήμεθα, ἄλλα δὲ καὶ ἀπὸ σημειωμάτων τῶν σπουδαιοτέρων, ἄλλα δὲ καὶ εἴδομεν καὶ ἐνωτίσθημεν νέα εἰπεῖν καὶ πρόσφατα, ἐν οἷς ἀλήθεια γυμνῶς ἀναγράφεται, ὡς ἐπὶ στήλης ὁ ἀνδριὰς καὶ τὰ βασιλικὰ ἀπεικονίσματα τῆς μνήμης χάριν ἐπὶ στηλῶν ἢ ζωγραφούμενα ἢ πλαττόμενα ἢ ἐγγεγλυμμένα (ἐγγελυμένα L ἐγγλυφόμενα abd) ἀνά τε τοὺς πολυάνδρους (πολυανδρείους abd) τόπους καὶ φόρους καὶ συνελεύσεις τεχνουργημένα (τετεχνουργημένα ab) ἀνεστηλωμένα τε καὶ ἰσχυρῶς ἐνιδρυμένα. ἀρχὴ δὲ ἡμῖν γενέσθω τοῦ παρόντος συγγράμματος τῆς ἱστορίας ἅλωσις Λατίνων ἡ τῆς πασῶν μὲν πόλεων εὐτυχεστάτης, προκαθημένης καὶ βασιλίδος, τῆς Κωνσταντίνου, τοῦ Βύζαντός (βύσαντος L) ποτε, νῦν δὲ δυστυχεστάτης, ὡς ἐμφυλίοις κακοῖς ἐντυχούσης καὶ πράγμασι γειτονικοῖς καθὰ εἰπεῖν κυκλομερῶς καὶ ἁπανταχόθεν πολιορκηθείσης, ἵνα τὴν ταύτης κάραν εἴπω τὴν κομώεσσαν (κομόεσσαν ab) καὶ χαρίτων συρμάδας τὰς παντοίας κλινοῦσι, καὶ διαμεριοῦνται τὸν ταύτης πλουτισμόν· ἣν δὴ (δὴ b δὲ Lad) ἅλωσιν δουπήσασαν ταραχαῖς πολέμοις ἀνδροκτασίαις αἰχμαλωσίαις καὶ

Nic. Gregor. encom. Theoph. ed. Kurtz 44,21.

ἡμῖν οὐχ ἥκιστα οὕτω τὰ τῆς συγγραφῆς τελεσθήσεται. τὰ μὲν γὰρ ἀπ' ἀρχῆς γεγενημένα τῆς τοῦ κόσμου γενέσεως πολλοῖς τε πολλάκις ἐξιστορήθη, οὐ χρὴ δὲ λέγειν καὶ εἰ πρὸς ἀλλήλους οἱ πλείους ἠναντιοφώνησαν τὰ τῶν βασιλέων συγγράφοντες, ἀλλοιώσεις τε χωρῶν καὶ πόλεων στάσεις καὶ πολέμων συρρήξεις καὶ ἀνδραποδισμοὺς καὶ νίκας καὶ ἥττας καὶ ὅσα τοιαῦτα συμβαίνει τοῖς καθ' ἡμᾶς. πολυσχιδῶν γὰρ τουτωνὶ τελούντων καὶ μηδὲ παρ' αὐτῶν ἴσως τῶν ἐνεργούντων γινωσκομένων, σχολῇ γε ἂν τοῖς ἐξιστοροῦσι τοῦ ἀληθοῦς παντάπασι γενήσεται ἡ ἐπίτευξις. ἐκ τοῦ μᾶλλον δὲ καὶ ὅσα τῇ κοινῇ φήμῃ γνωρίζεται, ταῦτα τὸν ἐξιστοροῦντα παραλήψεσθαι δέον, εἰ μὴ ἀδικεῖν οὗτος ἐθελήσειε τὴν ἀλήθειαν ὡς οἱ τοὺς ὀβολοὺς κερματίοις ἐλλυμαινόμενοι ἢ καὶ παραχαράττειν βουλόμενοι. οὔτε γοῦν πρὸς χάριν οὔτε πρὸς φθόνον, ἀλλ' οὐδὲ πρὸς μῖσος ἢ καὶ πρὸς εὔνοιαν συγγράφειν χρεών ἐστι τὸν συγγράφοντα, ἀλλ' ἱστορίας μόνον χάριν καὶ τοῦ μὴ λήθης βυθῷ, ἣν ὁ χρόνος οἶδε γεννᾶν, παραδοθῆναι τὰ ὑπό τινων γεγενημένα, εἴτ' ἀγαθὰ εἴτε φαῦλα τυγχάνοιεν. ἀρχὴ δὲ ἡμῖν γενέσθω ἡ τῆς Κωνσταντινουπόλεως ἅλωσις, οὕτω τοι περιφανὴς καὶ γνώριμος σύμπασιν οὖσα, ὡς μηδὲ ἓν εἶναι τῶν ἐθνῶν ὃ μὴ ταύτην ἐγνώρισεν.

2. Ἀλεξίου τοῦ Ἀγγέλου τὰ τῶν Ῥωμαίων τότε διιθύνοντος σκῆπτρα, οἱ ἐξ Ἰταλίας κατὰ τῆς Κωνσταντίνου ἐξεστράτευσαν. ἡ δὲ αἰτία τοιάδε. κατέβαλε μὲν τῆς ἀρχῆς τὸν ἀδελφὸν Ἰσαάκιον καί οἱ τὰς ὄψεις ἐπήρωσεν. ὑπῆρχε δὲ τῷ Ἰσαακίῳ υἱός, ὃς δυσανασχετήσας τῇ τοῦ πατρὸς

23 post Ἀλεξίου add. τοιγαροῦν L 24 Κωνσταντίνου] Κωνσταντινουπόλεως La 25 ἡ δὲ] ἦν δὲ ἡ L 26 post ἀδελφὸν add. αὐτοῦ L || οἱ] τούτου L 27 post Ἰσαακίῳ add. αὐτῷ L

ἐνωτισθεῖσαν ἁπανταχοῦ ἔθνεσιν ἅπασι (ἁπάσοις L) καὶ σύμπασι φάναι (sec. man. in lac. add.) φήμη ὡς θεά τις καθ' Ὅμηρον καὶ αὐτὴ καὶ τὰ πρὸς ἀλλήλους ἐρωτήματα τὰ συνήθη ἀνθρώπων καὶ διηγήματα ἐποίησε γνώριμον καὶ διάδηλον.

παροινίᾳ τὴν φυγήν τε μηχανησάμενος περὶ τὴν Ῥώμην χωρεῖ καὶ τῷ ταύτης ἀρχιερεῖ ἑαυτὸν προσρίπτει, πατρικὴν ἐκδίκησιν ἐπιζητῶν. ἐπεὶ δὲ τῷ τότε τύχοι πλήθη πολλὰ εἰς ἓν συναχθῆναι — οἱ μὲν ἐξ αὐτῆς Ἰταλίας, οἱ δ' ἐκ τῆς τῶν Φράγγων ἀρχῆς, ἐκ δὲ Ἐνετῶν ἕτεροι, καὶ ἐξ ἄλλων ἄλλοι, καὶ ἡ πρόφασις εἰς ἐλευθερίαν τῆς Ἱερουσαλὴμ ἀπελθεῖν, ὅπου ὁ κυριακὸς τυγχάνει τάφος· ἦν δὲ ὁ τούτους συναθροίσας ὁ πάπας, ὃς ταῖς παρακλήσεσι τοῦ παιδὸς καταδυσωπηθείς, μᾶλλον δὲ ταῖς ὑποσχέσεσιν — ἐτύγχανον γὰρ ἁδραί — παραδίδωσι τὸν παῖδα τοῖς ἡγεμόσι τῶν στρατευμάτων, ὡς ἂν αὐτὸν τῆς προκειμένης ἐκνεύσαντες τῷ πατρικῷ ἐγκαταστήσαιεν θρόνῳ ἀναλώματά τε παρ' αὐτοῦ λάβοιεν, ὁπόσα ἂν καθ' ὁδὸν ἀναλώσαιεν καὶ ὁπόσα περὶ τὴν Κωνσταντίνου βραδύναντες. ἀνήχθησαν οὖν οὗτοι τριήρεσι καὶ ναυσὶ κοίλαις. ἐπεὶ δὲ τῇ Κωνσταντίνου προσώκειλαν εὐτυχῶς ἐν πνεύμασι φοροῖς, γνωρίζουσι τοῖς ἐκεῖσε τὸν παῖδα, τὴν ἀδικίαν, τὰ διὰ ταῦτα τοῦ Ῥώμης ἐντάλματα. μέχρι μὲν οὖν τινὸς λόγοι τε ἐξ ἀμφοτέρων ἐγεγόνεισαν καὶ μάχαι. ἐπεὶ δὲ ὁ βασιλεὺς

---

1 *τὴν φυγήν* — 2 *χωρεῖ*] *καὶ ἀποφυγὼν τὴν παλαιὰν ῥώμην κατέλαβε* L 3 *ἐπιζητῶν*] *δεόμενος* L ‖ *τῷ τότε τύχοι*] *ὥρισεν ὁ μακαριώτατος, τὰ τότε* L ‖ post *πολλὰ* add. *καὶ διάφορα συνέβη* L 4 *αὐτῆς* om. L ‖ *δ' ἐκ*] *δὲ ἐκ* La 5 *ἐκ* — 6 *ἡ*] *λογκιβαρδίας, οὐενετίας καὶ ἄλλοθεν ἄλλοι συνῆλθον. ἡ δὲ φήμη καὶ* L 5 *Ἐνετῶν* a *εὐνετῶν* V 6 post *πρόφασις* add. *ἡ ἐπιβοωμένη τοῖς σύμπασιν* L 7 *ὅπου* — 9 *δὲ*] *ἐλευθερώσασθαί τε τὸν κυριακὸν ἅγιον τάφον· ταῦτα δὲ ἐκινήθη ὡς εἴρηται παρακλήσεσι τοῦ δεσποτικοῦ παιδός, νεύσαντος τοῦ μεγάλου πατρὸς πάπα, ἢ μᾶλλον εἰπεῖν* L 8 *συναθροίσας*] *ἀθροίσας* Va 9 *ἐτύγχανον* — 10 *ἁδραί*] *ταῖς ἁδραῖς καὶ οὐκ εὐαριθμήτοις* L 10 post *τὸν* add. *δεσποτικὸν αὐτὸν* L 11 *τῆς* — *ἐκνεύσαντες* om. L 12 *ἐγκαταστήσαιεν*] *καταστήσαιεν* La 13 *καὶ ὁπόσα*] *ὁπόσα τε* L 15 post *κοίλαις* add. *τε καὶ μεγάλαις* L 16 *ἐν πνεύμασι φοροῖς*] *ἀναβάντες ἐν εὐπλοΐᾳ* L 17 *ἐκεῖσε*] *ἐκεῖ* L ‖ post *παῖδα* add. *τὸν δεσποτικὸν αὐτὸν* L ‖ *τὰ διὰ ταῦτα*] *ἀναδιδάσκουσι, τά τε* L 18 *Ῥώμης*] *τῆς παλαιᾶς ῥώμης ἀρχηγοῦ καὶ πάπα τοῦ μακαριωτάτου* L ‖ *τε* om. L 19 *ἐγεγόνεισαν καὶ μάχαι*] *ἐλέγοντό τε καὶ ἠκούοντο, ἢ ἀντελέγοντο, καὶ διαμάχαι τινές.* L ‖ *δὲ*] *δ'* L

Ἀλέξιος τοῖς τοιούτοις ἀπώκνησε πράγμασι, μάλιστα δὲ ἀπείρηκε τοῖς ἐντὸς εἰς σύγχυσιν ἀποβλέπουσι καὶ νοσοῦσι τὸ ἄστατον, τὰ πάντα χαίρειν ἐάσας φυγῇ ἐχρήσατο, τοῦτο προσειπὼν τό· 'Δαυὶδ φυγὼν ἐσώθη.'

3. *Πρεσβεύουσι πρὸς τοὺς Ἰταλοὺς οἱ οἰκήτορες, ὡς ἂν ὁ τοῦ Ἰσαακίου υἱὸς Ἀλέξιος ἐντὸς εἰσαχθείη καὶ βασιλεὺς ἀναγορευθείη. εἰσάγεται γοῦν ἐπὶ ταῖς συνθήκαις, αἷς ὑπέσχετο τοῖς ἀναβιβάσασιν αὐτὸν Ἰταλοῖς, καὶ βασιλεὺς παρὰ παντὸς ἀναγορεύεται τοῦ λαοῦ. ἦσαν οὖν τὸ ἀπὸ τοῦδε οἵ τε πολῖται καὶ οἱ Ἰταλοὶ τῷ δοκεῖν εἰρηνεύοντες, τῶν μὲν Ἰταλῶν τὰς ὑποσχέσεις ἀπαιτούντων καὶ τὰ ἀναλώματα, τῶν δὲ οἰκητόρων τῆς πόλεως ὑπὲρ ἀριθμὸν ἡγουμένων τὸ χρῆμα καὶ δισχυριζομένων, ὡς οὐκ ἂν ἔχοιεν τοσαῦτα τοῖς Ἰταλοῖς ἐπιδοῦναι. συνέβη δὲ τῷ τότε καὶ τούτου χάριν γογγυσμὸν ἐν τῇ πόλει γενέσθαι. ὁ γὰρ πατὴρ Ἀλεξίου ὁ Ἄγγελος Ἰσαάκιος, μήπω ἁλούσης τῆς πόλεως, γνώμην δέδωκεν, ὡς τῶν ἱερῶν κειμηλίων συνάθροισιν γεγονέναι τὰ πρῶτα ἐκεῖθέν τε ἄρξασθαι τοῦ πρὸς Ἰταλοὺς χρέους, τὸ δ' ἐλλεῖπον ἐκ τῶν βασιλικῶν ταμιείων δοθῆναι καὶ τῶν οἰκητόρων*

---

1 *τοῖς τοιούτοις*] *ταῦτ' ἐνωτισάμενος* L || post *ἀπώκνησε* add. *τε καὶ ἐδειλίασε τοιούτοις ἐμπεσεῖν* L || *μάλιστα — 2 καὶ*] *ἃ* L 3 *τὰ — ἐάσας* om. L || post *τοῦτο* add. *καὶ μόνον* L 4 *τὸ* om. La || *ἐσώθη*] *διεσώθη* La 5 *ὡς ἂν — 6 ἀναγορευθείη* om. L 7 *γοῦν ἐπὶ*] *δὲ ὁ βασιλέως παῖς* L || *αἷς*] *ἃς* L 8 *τοῖς — Ἰταλοῖς*] *τῆς ἀναβάσεως* L || *παντὸς*] *πάντων* L 9 *τοῦ λαοῦ*] *μεγιστάνων ἀρχόντων καὶ τοῦ λαοῦ* L || *ἦσαν — 10 εἰρηνεύοντες* om. a 10 *οἱ* om. V || *τῷ*] *τὸ* L || *τῶν μὲν*] *δὲ τῶν* L || *δὲ τῶν — 11 ὑποσχέσεις* post *ἀπαιτούντων* pos. L 11 *τῶν δὲ — 13 δισχυριζομένων*] *ἐδόκει τοῖς αὐτοχθόσι βαρύτατον, ὡς ὑπεράριθμον ἡγουμένοις τὸ χρῆμα καὶ διισχυριζομένοις* L 14 *συνέβη — 15 Ἀλεξίου*] *ὡς οὐ καλῶς ἔχουσιν οὔτε συνεφωνήθησαν εὐλόγως διὰ τὸ κατὰ δύναμιν ὃ καὶ θεῷ φίλον ἐπ' ὀφείλουσαν συνδεθῆναι. γογγυσμὸς μὲν ἐγένετο. ἐπεὶ δὲ* (L *δ'* d) *ὁ πατὴρ τοῦ ἀλεξίου τοῦ βεβασιλευκότος* L 16 *πόλεως*] *κωνσταντίνου* V || *δέδωκεν*] *ἔδωκεν* L 17 post *ἱερῶν* add. *σκευῶν τε καὶ* L || *γεγονέναι τὰ πρῶτα*] *γενέσθαι* L 18 *τε*] *ἐφάνη τισὶν* L || *τοῦ — χρέους*] *τὴν ἀπότισιν τῶν πρὸς ἰταλοὺς ὑποσχέσεων καὶ ἀπαιτήσεων* L || *ἐλλεῖπον*] *ἐκλεῖπον* a 19 *ἐκ*] *ἀπὸ* L || post *δοθῆναι* add. *συμβοηθοῦντος ἀναλόγως εὐλόγως κατὰ τὴν εὐπορίαν*

τῆς πόλεως. ἐν τῷ μεταξὺ δὲ τῆς ἀμφισβητήσεως οὔσης καὶ ἐξ ἑκατέρων τῶν μερῶν ἀφικνουμένων τῶν πρέσβεων, φονεύεται ὁ παῖς τοῦ Ἰσαακίου Ἀλέξιος παρὰ Ἀλεξίου τοῦ Δούκα, ὃν πρωτοβεστιάριον οὗτος τετίμηκεν, οἱ δὲ τῆς πόλεως εἴς τι τῶν αὐτοῦ ἐπιμεμφόμενοι Μούρτζουφλον ἐκάλουν. ἀνηγορεύθη γοῦν παρὰ τῶν πολιτῶν ὁ ῥηθεὶς Ἀλέξιος Μούρτζουφλος βασιλεύς. τούτου γοῦν χάριν ἐπὶ πλέον μανέντες οἱ Ἰταλοὶ ἄσπονδον τὴν ἔχθραν κατὰ τῶν Κωνσταντινουπολιτῶν πεποιήκασι. συνέβη δὲ καὶ ἕτερόν τι γενέσθαι τοῖς πολίταις βούλευμα ἐπαίνου ἄξιον. τοὺς γὰρ Λατίνους, οὓς οἰκήτορας εἶχεν ἡ Κωνσταντίνου, οἱ προύχοντες καὶ τῶν ἐν τέλει συνεβουλεύσαντο ἀποπέμψαι τῆς πόλεως, ὡς μὴ ἐπιβούλους αὐτοὺς ἐντὸς ἔχοιεν. οἱ δὲ αὐτόμολοι πρὸς τοὺς πολεμίους χωροῦσι χιλιοστύες πολλαί, ὅρκοις ἀρρήκτοις τὸ πρῶτον τοὺς πολίτας πληροφοροῦντες μὴ ἄν ποτε μελετῆσαι κατ' αὐτῶν προδοσίαν, συναποθανεῖν δὲ εἰ συμβαίη αὐτοῖς ὡς ἰθαγενεῖς καὶ αὐτόχθονας. καίτοι καὶ γυναῖκας καὶ παιδία διδόντες ἐν ἀσφαλεστέροις τόποις ἀπαγαγεῖν οὐκ ἔπεισαν. ἐξελθόντες

ἑκάστου καὶ πλουτισμόν L **2** *τῶν μερῶν—πρέσβεων*] *μερῶν πρέσβεων ἀφικνουμένων πρὸς ἀλλήλους* L *τῶν μερῶν πρέσβεων ἀφικνουμένων* a **3** *παρὰ*] *παρ'* L **4** *Δούκα*] *δουκᾶ* L **5** *Μούρτζουφλον*] *μουρτζούφλον* L **6** *γοῦν*] *οὖν* La ‖ *πολιτῶν*] *πολίτων* L **7** *Μούρτζουφλος*] *ὁ μουρτζούφλος* L ‖ *γοῦν*] *οὖν* L **8** post *Ἰταλοὶ* add. *καὶ πάντες οἱ σὺν αὐτοῖς* L ‖ *τῶν Κωνσταντινουπολιτῶν*] *τὴν κωνσταντίνου πόλιν καὶ τῶν ταύτης πολίτων* L **10** *τι* om. L ‖ *βούλευμα ἐπαίνου ἄξιον* pr. m. in marg. add., in contextu *ἀτόπημα* L **11** *οἰκήτορας—Κωνσταντίνου*] *συνοικοῦντας εἶχον τῇ πόλει* L ‖ *Κωνσταντίνου*] *Κωνσταντινούπολις* a **12** *τῶν*] *οἱ* L ‖ *ἀποπέμψαι—13 ἔχοιεν*] *καὶ τῆς πόλεως ἐξέπεμψαν, ὡς τάχα μὴ ἔχωσιν αὐτοὺς ἐμφωλεύοντας ἐπιβουλαῖς ταῖς γενεαῖς αὐτῶν* L ‖ *οἱ δὲ—15 τὸ* om. a **14** *χιλιοστύες*] *χιλιοστίαι* L **15** post *ἀρρήκτοις* add. *τὸ δοκεῖν* L ‖ post *πολίτας* add. *τοὺς ματαιόφρονας* L ‖ *πληροφοροῦντες*] *πληροφορήσαντες* L *πληροφοροῦντας* a **16** *ἄν—προδοσίαν*] *κατ' αὐτῶν κινηθῶσιν* L **17** *συμβαίη*] *συμβῇ* La ‖ *ὡς—αὐτόχθονας* om. L **18** *καὶ γυναῖκας*] *γυναῖκας αὐτῶν* L ‖ *παιδία*] *παδία* L *παῖδας* sec. m. in marg. et d ‖ *διδόντες* om. L **19** *ἀπαγαγεῖν — 199,1 συνήραντο*] *ἐναποθεμένους ὁρῶντες, ἐξῆλθον οὖν καὶ συνεμίγησαν τοῖς πολιορκοῦσι καὶ*

δὲ πολλὰ τοῖς ἐναντίοις συνήραντο ἅτε πλῆθος πολὺ ὄντες καὶ εἰδήμονες τῶν πραγμάτων.

4. Τεσσαράκοντα παρῆλθον γοῦν ἡμέραι καὶ ἑάλω παρὰ τούτων ἡ Κωνσταντίνου, δωδεκάτην τοῦ Ἀπριλλίου ἄγοντος. τῷ γὰρ δεκάτῳ ἔτει Μαΐου ὄντος τῇ πόλει προσώρμισαν, ἐν ἕνδεκα δὲ μησὶ συνέβη γενέσθαι τὴν πόρθησιν. καὶ ἡ μεγίστη πόλις ἑάλω, ἑνὸς ὥς φασιν ἢ καὶ δύο ἐπιπηδησάντων τῷ τείχει ἀπὸ κλίμακος εἰς ἱστὸν κειμένης μεγίστης κοίλης νηός. ὅσα μὲν οὖν συνέβη τῇ πόλει μακροτέρων ἂν εἴη λόγων καὶ οὐ πρὸς τὴν παροῦσαν ὑπόθεσιν· πάντως δὲ νοεῖν ἔξεστι πᾶσιν, ὁπόσα ταῖς αἰχμαλωτιζομέναις πόλεσιν ἐπιπέπτωκε πάθη, φόνοι ἀνδρῶν, γυναικῶν ἀνδραποδισμοί, σκυλεύσεις, οἰκιῶν κατασκάψεις, τἆλλά τε πάντα ὁπόσα μαχαίρας ἔργον καθέστηκεν. ἐπεὶ γοῦν ἐγκρατεῖς

κύκλῳ ἐπικαθημένοις. καὶ συνῆσαν L 2 καὶ—πραγμάτων] ἀδαήμοσιν (om. d) ἀνελθοῦσιν ὡς πολῖται καὶ εἰδήμονες ἐξελθόντες τῆς πόλεως ἰταλοί L 3 παρῆλθον γοῦν] δὲ ἔκτοτε παρῆλθον L 4 Κωνσταντίνου] κωνσταντινούπολις La ‖ τοῦ Ἀπριλλίου post ἄγοντος pos. La 5 προσώρμισαν] προσώρμησαν La 7 post μεγίστη add. καὶ περιφανεστάτη L ‖ post ἑάλω add. καὶ δυστυχεστάτη ἐγένετο καὶ διάρπαγμα μὲν πολλῶν· δρυὸς γάρ φασι πεσούσης πᾶς ἀνὴρ ξυλεύεται L ‖ post ἐπιπηδησάντων add. πρῶτον La 8 ἀπὸ—9 νηός] αὐτῆς διὰ κλίμακος καὶ ἱστῶν μεγάλων νηῶν ἀνελθόντες καὶ ἐμπεσόντες ὡς ἔθος καὶ ἁπάντων συνεπομένων καὶ διὰ τοῦτο ἐκστρατευσάντων διὰ τὴν πόρθησιν L 10 post λόγων add. τε καὶ ἐκφράσεων L ‖ ὑπόθεσιν] σύντομον σαφήνειάν τε καὶ ἱστορίαν ἡμῶν L 12 πάθη] πάθη, καὶ ταῦτα ἀνηλεῶν καὶ φύσει ἐχθρῶν Γραικῶν ὄντων Λατίνων καὶ πάντων ἐθναρχιῶν ὁμόρων αὐτῶν, πλὴν ἐκλαμπροτάτων Ἀλαμάνων τῶν Γερμάνων (γερμανῶν d) καὶ Γάλλων, ὡς ἀνέκαθεν φίλων ἀναγράπτων καὶ γνωριζομένων τοῖς χρόνοις τοῖς ἐντυγχάνουσιν. ἀμέρα γάρ φησιν ἡ Πινδάρου λύρα ἐπίλοιπος μάρτυρ εἰς σοφώτατος L ‖ post γυναικῶν add. ἐπιχρεμετισμοί, παιδίων L 13 σκυλεύσεις] συνελεύσεις L ‖ οἰκιῶν] οἰκίων L ‖ τἆλλά—14 ὁπόσα] καὶ τὰ λοιπὰ ὅσα L 14 ἔργον καθέστηκεν] ἔργα καὶ βροτολοιγοῦ ἄρεως L ‖ ἐπεὶ—200,5 πληγῆς] ἐπεὶ δὲ τῆς κωνσταντίνου Ἰταλοὶ γεγόνασιν ἐγκρατεῖς, θεοῦ παραχωρήσαντος καὶ ταῦτα πάντα ἐπαγαγόντος διὰ τὰς ἁμαρτίας, ὡς ἦσαν (ἦσαν L) οἱ ἅγιοι τρεῖς παῖδές ποτε καὶ συνᾴδει καὶ πᾶσα θεία γραφή, ὡς

τῆς πόλεως γεγόνασιν Ἰταλοί, ὡς ἐξ ὑπερδεξίων ὁρμώμενοι τήν τε δυσμὴν πᾶσαν κατέδραμον, ἀλλὰ δὴ καὶ τῆς ἑῴας μέρος οὐκ ἔλαττον. πρῶτον μὲν οὖν χειροῦνται τὰ τῆς δυσμῆς, πάντων ὑποφευγόντων αὐτοὺς ὑπό τινος θεηλάτου ἐλαυνομένων πληγῆς.

5. Ὁ μὲν οὖν βασιλεὺς Ἀλέξιος ὁ Ἄγγελος, ὃν ἀποδρᾶναι λόγος εἰρήκει τῆς Κωνσταντίνου, περὶ τὴν Φιλιππούπολιν ἀφικόμενος καὶ μὴ πρὸς τῶν οἰκητόρων δεχθεὶς περὶ τὴν Μοσυνούπολιν ἀφικνεῖται κἀκεῖσε τὰς διατριβὰς ἐποιεῖτο. Ἀλέξιος δὲ ὁ Δούκας, ὃς τὸν υἱὸν τοῦ Ἰσαακίου ἀπέκτεινε, βουλόμενος ἐκδήμους αὐτῷ προσαρμόσασθαι, ἅμα τε τοῦ Ἰσαακίου υἱὸν πεφόνευκε καὶ ἅμα τὴν τοῦ βασιλέως Ἀλεξίου θυγατέρα Εὐδοκίαν προσηγάγετο εἰς γυναῖκα, ὑστάτην οὖσαν τῶν θυγατέρων ἐκείνου. τρεῖς γὰρ ὑπῆρχον αὐτῷ, καὶ ἡ μὲν πρώτη Εἰρήνη κατωνομάζετο, ἣν καὶ ἀνδρὶ συνέζευξεν Ἀλεξίῳ τῷ Παλαιολόγῳ, ὃν καὶ δεσπότην τετίμηκεν, ἀλλὰ προῴχετο οὗτος τῆς Κωνσταντίνου ἁλώσεως· ἡ δὲ δευτέρα ἐκαλεῖτο Ἄννα, εἰς ἣν Θεόδωρον τὸν Λάσκαριν ἐπεγάμβρευσεν· ἡ δὲ τρίτη Εὐδοκία, ἣν πρὸ καιροῦ ὁ πατὴρ αὐτῆς τῷ κράλῃ Σερβίας συνέζευξεν, ἐπί τινι δὲ πάθει, ὡς ἔφασκον, ταύτην οὗτος φωράσας ἐπὶ τὸν πατέρα πάλιν ἐκπέμπει· καὶ ἦν οὕτως. ταύτην εἰλήφει ὁ εἰρημένος Ἀλέξιος

ὑπερδέξιοι (ὑπερδέξιον d) Ἰταλοὶ φερόμενοι καὶ τοῦ δὲ (τὸ τοῦ?) λόγου φάναι κεφαλαῖς αὐτῶν δοξάζοντες οὐρανὸν ἐγγίσειν καὶ μετὰ πηγάτου ἱππηλατεῖν, δυσμὴν πᾶσαν καὶ ἑῴαν κατέδραμον τὸ δυνατόν. L 1 Ἰταλοί] οἱ Ἰταλοὶ διὰ τὰς ἁμαρτίας—γραφή ex d inseruit a 7 Κωνσταντίνου] κωνσταντινουπόλεως La 9 τὰς om. a d 10 δὲ om. a 11 βουλόμενος] βουλόντος V 12 τοῦ—πεφόνευκε] αὐτὸν Ἰσαάκιον ἐφόνευσε L 13 προσηγάγετο post γυναῖκα pos. a ἠγάγετο post νόμιμον γυναῖκα pos. L 14 τρεῖς—15 αὐτῷ om. L 15 καὶ ἡ μὲν] ἡ γὰρ L ‖ κατωνομάζετο—16 Παλαιολόγῳ] ἀλέξιον παλαιολόγον ἔσχεν L 17 τετίμηκεν] ἐτίμησεν L ‖ ἀλλὰ—ἁλώσεως om. L ‖ ἁλώσεως] πόλεως a 18 ἡ δὲ—19 ἐπεγάμβρευσεν] ἡ δευτέρα ἄννα εἶχε θεόδωρον τὸν λάσκαριν L 20 αὐτῆς] ταύτης L ‖ τινι—21 οὗτος] τι δὲ ταύτην L 20 ὡς ἔφασκον post ταύτην pos. a 22 καὶ—οὕτως om. L ‖ ἦν] ἣν a ‖ εἰλήφει] δὲ εἴληφεν L

Δούκας ὁ Μούρτζουφλος, τὴν οἰκείαν καταλιπὼν γαμετήν. ὡς γοῦν παρὰ τῶν Ἰταλῶν ἑάλω ἡ Κωνσταντίνου, ἀπέδρα καὶ οὗτος ἐκεῖθεν, ἐπιφερόμενος καὶ τὴν σύζυγον Εὐδοκίαν. μαθὼν δὲ ὡς ἐν Μοσυνουπόλει τὰς διατριβὰς ποιεῖται ὁ πενθερὸς αὐτοῦ βασιλεὺς Ἀλέξιος θαρρούντως πρὸς αὐτὸν ἀπήει. ὁ δὲ τοῦτον πολλῶν τε ἄλλων χάριν καὶ οὐδὲν ἧττον τῆς θυγατρὸς ἐμυσάττετο. κηδεστείας γοῦν ὑποδὺς προσωπεῖον ὑποδέχεται τὸν Ἀλέξιον, καὶ λουτρὸν εὐτρεπίσας ἅμα τῇ θυγατρὶ λουθῆναι τοῦτον προστέταχεν. ἐντὸς οὖν γενομένου τοῦ λουτῆρος τοῦ Ἀλεξίου ἐπεισπίπτουσιν ἀθρόως αὐτῷ οἱ τοῦ βασιλέως Ἀλεξίου ὑπηρέται κἀκεῖσε τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐξορύττουσιν. ἔφασκον δὲ οἱ ξυντυχόντες ὡς ἡ θυγάτηρ ἑστῶσα παρὰ τὴν θύραν τοῦ λουτροῦ τὸν πατέρα ὕβρεσιν ἔπλυνε, κἀκεῖνος ταύτην τῆς ἀναιδείας καὶ τῆς ἀσελγοῦς ἀγαπήσεως ἐλοιδόρει. τυφλὸς οὖν γεγονὼς ὁ Δούκας Ἀλέξιος περὶ τὰ τῆς Μοσυνουπόλεως ἐπλανᾶτο μέρη, ἀλήτης διερχόμενος τὰ ἐκεῖσε. ὁ δὲ βασιλεὺς Ἀλέξιος ἀπάρας ἐκεῖθεν περὶ τὰ μέρη τῆς Θεσσαλονίκης ἐχώρει. ἐπεὶ δὲ ἐξώρμησαν τῆς Κωνσταντίνου οἱ Ἰταλοὶ καὶ ἀπῆλθον περὶ τὴν Μοσυνούπολιν, εὑρόντες ἐκεῖσε τὸν Μούρτζουφλον εἰς τὴν Κωνσταντίνου ἀπήγαγον· τοῦ δὲ μιάσματος

---

2 *γοῦν*] *οὖν* L ‖ *Κωνσταντίνου*] *κωνσταντινούπολις* La 3 *τὴν — Εὐδοκίαν*] *αὐτήν* L 4 *ὡς*] ὅτι ὃς a ὅτι L ‖ *τὰς — ποιεῖται*] *ἦν* L 5 *βασιλεὺς Ἀλέξιος* om. L 6 *τοῦτον* om. L ‖ *τε* om. La ‖ *χάριν*] *ἕνεκα* L 7 *θυγατρὸς*] *θυγατέρος* La ‖ *κηδεστείας*] *κηδεστίας* La ‖ *γοῦν*] *οὖν* La 9 *τοῦτον* om. L ‖ *ἐντὸς οὖν*] *ἔνδον δὲ* L 10 *γενομένου*] *γενόμενοι* L ‖ *λουτῆρος*] *λουτροῦ* L ‖ *τοῦ Ἀλεξίου* om. a ‖ *ἐπεισπίπτουσιν — αὐτῷ* post *Ἀλεξίου* pos. a ‖ *ἐπεισπίπτουσιν*] *ἐπιπίπτουσιν* L ‖ *ἀθρόως* om. a 11 *αὐτῷ*] *αὐτὸν* L ‖ *οἱ — Ἀλεξίου* om. L ‖ *κἀκεῖσε*] *καὶ ἐκεῖσε* V *κἀκεῖθε* a *καὶ* L 12 *αὐτοῦ* om. L ‖ *ἔφασκον — ὡς*] *ὅτι καὶ* L 13 *ἑστῶσα — λουτροῦ* om. L 14 *καὶ τῆς*] *καὶ* La 15 *ἀγαπήσεως*] *ἀγάπης* L ‖ *οὖν γεγονὼς*] *δὲ καταστήσας* L 16 *Ἀλέξιος* om. L ‖ *περὶ — Μοσυνουπόλεως*] *παρά τε τὰ ἐκεῖ* L 17 *ἀλήτης — ἐκεῖσε*] *ἀλιτεύων* L 18 *περὶ*] *εἰς* L ‖ *τῆς* om. L 19 *δὲ*] *δ'* La ‖ *καὶ — 20 Μοσυνούπολιν*] *εἰς μοσυνούπολιν ἀπῆλθον* L ‖ *εὑρόντες*] *καὶ εὑρόντες* d ‖ *ἐκεῖσε*] *ἐκεῖθεν* L 21 *Κωνσταντίνου*] *κωνσταντινούπολιν* La

ἀμυνόμενοι, ὃ εἰς τὸν Ἰσαακίου πεποίηκεν υἱόν, ἐκ Ταύρου κρημνίζουσι κίονος.

6. Τῆς οὖν Μοσυνουπόλεως κυριεύσαντες οἱ Ἰταλοὶ ἄδειαν δεδώκασι τοῖς ταύτης οἰκήτορσι τοὺς θέλοντας μένειν τε καὶ ὑπὸ χεῖρα εἶναι αὐτῶν, τοὺς δὲ ἀκωλύτως ἀπέρχεσθαι ὅπῃ ἂν βούλοιντο. ἐξήρχοντο τοίνυν οἱ μὲν φανερῶς οἱ δὲ καὶ κρύφα, ὅσοι τῶν περιφανεστέρων ἐτύγχανον. ὁ δὲ Λάσκαρις Θεόδωρος ἅμα τῇ γαμετῇ Ἄννῃ προεξελθεῖν πέφθακε Κωνσταντίνου, δεσπότης ὑπ' ἐκείνου τετιμημένος. ἀπελθὼν τοίνυν μετὰ καὶ τῶν θυγατρίων Εἰρήνης Μαρίας καὶ Εὐδοκίας εἰς Νίκαιαν παρεκάλει τοὺς Νικαεῖς, εἴσω τῆς πόλεως δέξασθαι τοῦτον. οἱ δὲ οὐκ ἐδέχοντο. ὁ δὲ καὶ κἂν τὴν γυναῖκα δέξασθαι δυσωπῶν, μόλις ἔπεισεν. ἀφεὶς οὖν τὴν γυναῖκα διήρχετο τὰ πέριξ, Προῦσάν τε καὶ τὰ περὶ αὐτήν, ὅπως ὑπὸ χεῖρα ταῦτα ποιήσαιτο καὶ ὡς βασιλεὺς ἀντὶ τοῦ πενθεροῦ Ἀλεξίου τούτων κατάρξειεν. οὗ δὴ καὶ τετύχηκεν. καὶ γὰρ ἐν τῷ μεταξὺ καὶ περὶ τὸν περσάρχην ἀφίκετο, συνήθη τούτῳ τελοῦντα, καὶ συμμαχίαν προσείληφε, καὶ τὰ πρὸς σκοπὸν διεπράξατο.

7. Δύο γοῦν παραδραμόντων ἐνιαυτῶν καὶ ὡς δεσπότου φημιζομένου παρὰ πᾶσι τοῦ Λασκάριος, ἐπεὶ συνδρομὴ γέγονε κατὰ Νίκαιαν ἀπό τε περιφανῶν ἀνδρῶν καὶ τῶν λογάδων τῆς ἐκκλησίας, σκέψις τούτοις ἐγένετο, ὅπως βασιλεὺς φημισθείη ὁ δεσπότης Θεόδωρος. πατριάρχου δὲ μὴ παρόντος ἐκεῖσε — ὁ γὰρ Καματηρὸς Ἰωάννης, ὃς τὸν πατριαρχικὸν ἐκόσμει

1 πεποίηκεν υἱόν] υἱὸν ἐποίησεν L υἱὸν ἐποίησαν d 2 κρημνίζουσι] ἀποκρημνίζουσι d ἀποκρεμνίζουσι L ‖ κίονος] τοῦ κίονος La 3 οὖν] δὲ L 4 ταύτης om. L ‖ τε om. L 5 αὐτῶν om. L ‖ τοὺς d τοῖς L ‖ post δὲ add. μὴ a 6 ὅπῃ V ὅποι L ὅπου d 6 φανερῶς] ἐμφανεστέρως L 7 καὶ om. L ‖ ὅσοι] καὶ ταῦτα ὅσοι L 8 γαμετῇ] γυναικὶ L 9 post πέφθακε add. τῆς a 10 τοίνυν] δὲ L ‖ καὶ om. L ‖ post θυγατρίων add. αὐτοῦ L 11 εἴσω] ἔνδον L 12 οἱ δὲ om. L ‖ post ἐδέχοντο add. δέ L 13 post μόλις add. αὐτοὺς L 14 ἀφεὶς—γυναῖκα] ἣν καὶ ἀφεὶς L 15 περὶ αὐτήν] ἐπ' αὐτῆς L 21 παρὰ πᾶσι] ὑπὸ πάντων L ‖ Λασκάρεως] λασκάρεως τούτου L 24 Θεόδωρος om. L 25 ὃς—203,1 Ἰταλοί] ὁ πατριάρχης τότε L

θρόνον, ἡνίκα τῆς Κωνσταντίνου ἐκράτησαν Ἰταλοί, περὶ τὸ Διδυμότειχον ἀπῆρε κἀκεῖσε τὰς διατριβὰς ἐποιεῖτο, καὶ διαμηνυθεὶς παρὰ τοῦ Λασκάριος καὶ τῶν λοιπῶν ἀπηνήνατο τὴν πρὸς αὐτοὺς ἄφιξιν, ἔγγραφον τὴν παραίτησιν ποιησάμενος. ψηφίζεται γοῦν πατριάρχης Μιχαὴλ ὁ Αὐτωρειανός, λόγιος τυγχάνων καὶ πάσης γραφῆς ἔμπειρος, τῆς τε ἡμετέρας καὶ τῆς θύραθεν, ὃς καὶ τὸν δεσπότην Θεόδωρον τῷ τῆς βασιλείας διαδήματι ταινιοῖ.

Ἐντεῦθεν βασιλεὺς ὁ Λάσκαρις ἀναγορευθεὶς συντονώτερον ἐφήψατο τῶν πραγμάτων, μάχαις δὲ προσέκυρσεν οὐκ ὀλίγαις καὶ χαλεπαῖς. οἵ τε γὰρ Ἰταλοὶ κατὰ τὴν ἑῴαν τὸν πόρον πεποιηκότες, τὰ πλείω ταύτης ὑφ' ἑαυτοὺς ἐποιήσαντο. τό τε γὰρ ἅπαν θέμα Ὀψικίου καὶ Αἰγαίου καὶ αὐτὸ δὴ τὸ Ἀτραμύτιον τῶν Ἰταλῶν ἐγεγόνει, Βάρις τε καὶ Αὐλωνία, Ποιμανηνόν τε καὶ Λεντιανὰ μέχρι τοῦ Λοπαδίου αὐτοῦ δεσπότας ἐγίνωσκον Ἰταλούς, ἀλλά γε δὴ καὶ τὰ τῆς Θυνίας πάντα μέχρι καὶ Νικομηδείας αὐτῆς. ἐντεῦθεν ἐστενοῦτο πολὺ ὁ βασιλεὺς Θεόδωρος. οὐδὲν δὲ ἧττον καὶ πρὸς Ῥωμαίων κατεβιάζετο. ἐν γὰρ τῇ συγχύσει τῆς Κωνσταντίνου ἁλώσεως ἄλλοθεν ἄλλος ἡγεμόνες εἶναι τυχόντες ἢ καὶ οἱ τῶν ἄλλων προύχοντες ὡς οἰκείαν ἀρχὴν τὴν ὑφ' αὐτοὺς ἐποιοῦντο χώραν, ἢ ἐξ αὐτῶν εἰς τοῦτο ὁρμήσαντες ἢ καὶ παρὰ τῶν οἰκητόρων μετακληθέντες εἰς τὴν τῆς χώ-

---

2 *Διδυμότειχον* La *διδυμότοιχον* V ‖ *τὰς διατριβὰς ἐποιεῖτο*] *διέτριβε* L **3** *παρὰ—λοιπῶν*] *αὐτοῖς* L ‖ *Λασκάριος*] *Λασκάρεως* a **4** *ἄφιξιν*] *ἔλευσιν* L ‖ *τὴν* om. L **5** *ποιησάμενος*] *πέμψας* L ‖ *γοῦν*] *δὲ* L ‖ *Αὐτωρειανός*] *αὐτωριανός* La **6** *τυγχάνων* om. L ‖ *πάσης* om. L, post *γραφῆς* pos. a **7** *δεσπότην—8 διαδήματι*] *βασιλέα τοῦτον* L **9** *ἀναγορευθεὶς*] *ἀνηγορεύθη καὶ* L **10** *μάχαις δὲ*] *καὶ μάχαις* L ‖ *προσέκυρσεν*] *προσέκρουσε* L **11** *οὐκ ὀλίγαις*] *πολλαῖς* L **12** *τὸν* om. L ‖ *ὑφ' ἑαυτοὺς ἐποιήσαντο*] *ὑπεποιήσαντο* L **13** *Ὀψικίου*] *ψικίου* L **14** *Βάρις*] *βοάρις* L ‖ *τε* om. L **15** *Λεντιανὰ*] *λεοντίνα* L **17** *Θυνίας*] *θινίας* V ‖ *ἐντεῦθεν*] *ὅθεν καὶ πολὺ* L **18** *πολὺ* om. L ‖ post *βασιλεὺς* add. *οὗτος* L **19** *κατεβιάζετο*] *προσεβιάζετο* L **20** *ἄλλος*] *ἄλλοσε* L ‖ *εἶναι—21 προύχοντες* om. L **21** *οἱ* om. a ‖ *τὴν*] *τὴν ἰδίαν* L **22** *ἑαυτοὺς*] *αὐτοὺς* L **23** *μετακληθέντες—204,1 δεφένδευσιν*] *ἀξιούμενοι* L

ρας δεφένδευσιν. αὐτίκα Θεόδωρος, ὃν καὶ Μωροθεόδωρον ἀπεκάλουν, ἄρχων ἦν τῆς Φιλαδέλφου πόλεως. ἕτερος δὲ Σάββας τοὐπίκλην τοῦ ἄστεος ἐδέσποζε τοῦ Σαμψὼν μετὰ καὶ τῶν πλησίον τυγχανόντων αὐτῷ. Παφλαγονίας δὲ πάσης ἐγκρατὴς ἦν Δαυίδ, ἀδελφὸς ὢν Ἀλεξίου τοῦ τῆς Τραπεζοῦντος κρατήσαντος, ὃς καὶ μέγας ὠνομάζετο Κομνηνός, οἳ τοῦ βασιλέως Ἀνδρονίκου ὑπῆρχον ἔγγονοι, Μανουὴλ τῷ τούτου τεχθέντες υἱῷ. ἀλλὰ τὸν μὲν Μωροθεόδωρον καὶ τὸν Σάββαν εὐχερῶς μετῆλθε, κἀντεῦθεν ἐδέσποζεν ἀδεῶς Κελβιανοῦ τε παντός, Μαιάνδρου, Φιλαδελφείας καὶ Νεοκάστρων.

8. Ἀλλ' ἐνταῦθά μοι ὁ λόγος ἀναμεινάτω· ἱστορῆσαι γὰρ βούλεται τὰ τῷ βασιλεῖ Ἀλεξίῳ συμβάντα. ἀφίκετο μὲν οὖν, ὡς εἰρήκειν, εἰς Θεσσαλονίκην, καὶ ὑπεδέχθη παρὰ τῆς αὐτοῦ νύμφης, ἣ ἐξ Οὔγγρων μὲν ὥρμητο, ἐπεγαμβρεύθη δὲ τῷ βασιλεῖ Ἰσαακίῳ μετὰ τὴν τῆς γυναικὸς αὐτοῦ τελευτήν, ἣν καὶ ὡραίαν πάνυ τῷ εἴδει οἱ κατιδόντες ἔφασκον εἶναι. τῶν γοῦν Ἰταλῶν εἰς πολυμέρειαν τὰ τῆς Ῥωμαΐδος κληρωσαμένων καὶ τοῦ μὲν ἐκ Φλάντρας ὡρμημένου Βαλδουΐνου βασιλέως ἀναγορευθέντος, τοῦ δὲ δουκὸς Βενετίας, ὃς καὶ αὐτοπροσώπως συνῆν, μερίδα οὐ μικρὰν

---

1 Θεόδωρος—2 ἀπεκάλουν] ὁ μωροθεόδωρος καλούμενος L 2 ἀπεκάλουν] ἐπεκάλουν a ἦν om. L ‖ post πόλεως add. ἐγνωρίζετο L 3 Σάββας] σάβας V ‖ τοὐπίκλην om. L ‖ ἄστεος] ἄστεως La ‖ ἐδέσποζε] ἐδέσποσε L 4 πλησίον—αὐτῷ] πλησιοχώρων αὐτοῦ L 5 τῆς] τῶν L ‖ Τραπεζοῦντος] τραπεσοῦντος L 6 μέγας om. L 7 οἳ τοῦ] τοῦ γὰρ L 8 τούτου—υἱῷ] υἱῷ αὐτοῦ τεχθέντες L ‖ post Μωροθεόδωρον add. αὐτὸν L 9 Σάββαν] σάβαν V ‖ κἀντεῦθεν om. L ‖ ἐδέσποζεν] ὁ δεσπόζων δ' L 10 post ἀδεῶς add. καὶ La ‖ Φιλαδελφείας om. L Φιλαδελφίας a 12 post ἀναμεινάτω add. μικρόν L ‖ ἱστορῆσαι—13 συμβάντα] εἴπω γὰρ τὰ συμβάντα ἀλεξίῳ τῷ βασιλεῖ L 13 μὲν—14 εἰρήκειν] δὲ L 17 ἣν—18 εἶναι] ἣ καὶ τῷ εἴδει ἦν ὡραιοτάτη L 18 γοῦν] δ' La ‖ πολυμέρειαν] πολυμερίαν L ‖ τῆς—19 κληρωσαμένων] ῥωμαίων πληρωσαμένων L 19 Φλάντρας] Φλάνδρας a φλάνδρων L 21 ὃς—22 τιμηθέντος] δεσπότου τιμηθέντος ὡς σωματικῶς συμπαρόντος L 21 αὐτοπροσώπως] αὐτοπρόσωπος a

ἐσχηκότος καὶ δεσποτικῷ ἀξιώματι τιμηθέντος, ἔχειν τε ἐξ ὅλου πρὸς τὸ ὅλον, ὃ τὸ τῶν Φράγγων ἐκτήσατο μέρος, τὸ τέταρτον καὶ τοῦ τετάρτου τὸ ἥμισυ, ἐπειδὴ καὶ ὁ μαρκέσιος ἀξιόλογον μοῖραν τῆς συμμαχίας ἦν ἐνεγκάμενος, ῥὴξ Θεσσαλονίκης παρὰ τοῦ Φλάντρα τετίμηται, προσλαβόμενος καὶ γυναῖκα τὴν δηλωθεῖσαν Μαρίαν. ὑπὸ ταύτης ὑπεδέχθη Ἀλέξιος. μετὰ μικρὸν δὲ φωραθεὶς τοῖς ἐκεῖσε νεωτερίζεσθαι, ἀπεδιώχθη συνάμα τῇ γυναικὶ καὶ τῇ θυγατρὶ Εὐδοκίᾳ, ἣν καὶ εἰς Κόρινθον ἀφικόμενος τῷ Σγουρῷ συνεζεύξατο. μικρὸν δὲ τοῖς ἐκεῖσε προσδιατρίψας, γνοὺς παρά τινων ὡς ἁλίσκεσθαι μέλλει, ἀπέδρα· ἐκ Λογγιβαρδίας δέ τισι ξυντυχὼν ἁλίσκεται, πρὸς τὸν πρωτεξάδελφον αὐτοῦ Μιχαὴλ τὰς κινήσεις ποιούμενος· ἦν γὰρ κἀκεῖνος τῷ τότε μέρους τινὸς παλαιᾶς Ἠπείρου κρατήσας καὶ πολλὰ τοῖς πρὸς τὰ ἐκεῖσε μέρη ἀφιγμένοις Ἰταλοῖς παρέχων πράγματα. καὶ ἦν οὗτος δυναστεύων τῆς τοιαύτης χώρας, Ἰωαννίνων γὰρ ἦρχε καὶ Ἄρτης καὶ μέχρι Ναυπάκτου. ὡς γοῦν ἑάλω παρὰ Λογγιβάρδων ὁ βασιλεὺς Ἀλέξιος, καὶ ἀπεμπολεῖται παρ᾽ αὐτῶν συνάμα τῇ γυναικί. μικρὸν δὲ μετὰ τοῦ Μιχαὴλ προσκαρτερήσας βουλεύεται πρὸς τὸν Ἰκο-

---

1 ἐσχηκότος] ἐσχηκότες V ‖ τε] τε καὶ L ‖ ἐξ ὅλου—7 ἐκεῖσε] τὸ τέταρτον τῶν ὅλων προδοκοῦντος, ὡς καὶ οὕτω δαπανήσαντος καὶ συμφωνήσαντος, καὶ τοῦ μαρκεσίου ἄλλα, ὡς ἀξιόμαχον συμμαχίαν εἰσκεκομικότος, ὃν καὶ ῥῆγα τῆς θεσσαλονίκης ἐτίμησεν ὁ ἀπὸ φλάνδρας, καὶ γυναῖκα λαβόντα τὴν αὐτὴν μαρίαν, ἀποδεξαμένην ἀλέξιον. ὃν καὶ μετὰ μικρὸν φωραθέντα L 4 post ῥὴξ add. τῆς a 5 Φλάντρα] Φλάνδρα a ‖ τετίμηται] τετίμητο a 6 ὑπεδέχθη] ὑποδέχθη a 8 συνάμα—9 Εὐδοκίᾳ] σὺν τῇ αὐτοῦ θυγατρὶ L 9 καὶ om. L ‖ ἀφικόμενος] ἀπελθὼν L 10 συνεζεύξατο] συνέζευξε La ‖ ἐκεῖσε] ἐκεῖ La ‖ προσδιατρίψας] συνδιατρίψας La 11 ἐκ] ἀπὸ L 12 πρὸς—13 ποιούμενος] ποιούμενος τὰς κινήσεις πρὸς μιχαὴλ τὸν πρωτεξάδελφον αὐτοῦ L 13 τῷ—14 κρατήσας] ἄρχων μέρεος ἠπείρου τινός L 14 Ἠπείρου post κρατήσας pos. a ‖ καὶ om. L 15 τοῖς—ἀφιγμένοις post πράγματα pos. a ‖ τοῖς—Ἰταλοῖς] ἰταλοῖς τοῖς ἐκεῖ ἀφιγμένοις post πράγματα pos. L 16 οὗτος] οὕτως La, ante ἦν pos. L ‖ τῆς—17 Ἄρτης] ἰωάννης L 19 αὐτῶν] αὐτῷ L

νίου σουλτὰν ἀπελθεῖν, ὃν Ἰαθατίνην ὠνόμαζον· ἦν γὰρ τούτῳ συνήθης. ὁ γὰρ εἰρημένος Ἰαθατίνης τὰς τοῦ ἀδελφοῦ αὐτοῦ χεῖρας ἀποδρὰς Ἀζατίνου, κατάρχοντος τότε τῶν Μουσουλμάνων, ἐς Ἀλέξιον ἧκε τοῦτον καὶ παρ' αὐτοῦ υἱοθετεῖται, ὃς καὶ τῷ βασιλεῖ τούτῳ συναπέδρα. ἀλλ' οὐ συχναὶ παρῆλθον ἡμέραι, καὶ ἀφικνεῖται πρὸς αὐτὸν ἀνὴρ τὸν ἀδελφοῦ αὐτοῦ μόρον μηνύων αὐτῷ κρύφα· ὃς καὶ ῥάκεσι πενιχροῖς ἐσταλμένος μετ' αὐτοῦ ἀφικνεῖται καὶ τοῖς αὐτοῦ καταστὰς γνώριμος περσάρχης ἐπιφημίζεται. οὗτος καὶ τῷ βασιλεῖ Θεοδώρῳ χρήσιμος ἀνεφάνη συμμαχίαν δούς· ὡς ἀδελφὴν γὰρ τὴν βασιλίδα Ἄνναν ὠνόμαζεν.

9. *Ἐφοδίοις ἀπάρας τῆς τοῦ Μιχαὴλ γῆς καὶ φορῷ χρησάμενος πνεύματι, τῇ τῆς Ἀττάλου προσώρμισεν. ἀσμενέστατα οὖν παρὰ τοῦ σουλτάνου προσδέδεκται. ὁ βασιλεὺς δὲ Θεόδωρος διῆγεν ἐν τῇ Νικαίᾳ, καὶ πρεσβεία πρὸς τοῦ σουλτὰν παρ' αὐτὸν ἀφικνεῖται, τὴν τοῦ βασιλέως καὶ πενθεροῦ γνωρίζουσα ἄφιξιν, καὶ ὡς ἄδικος εἴη ξένης ἐπειλημμένος ἀρχῆς. ἐταράχθη γοῦν ἐπὶ τοῖς λόγοις ὁ βασιλεύς. ὁ μὲν γὰρ σουλτὰν πρόφασιν εἶχεν Ἀλέξιον, σκοπὸς δ' ἦν αὐτῷ τὴν τῶν Ῥωμαίων καταδραμεῖν. καὶ ἦν ἐπὶ ξυροῦ, ὅ φασι, τούτῳ τὰ πράγματα. συναγαγὼν γοῦν τοὺς αὐτοῦ ἐπειρᾶτο τούτων, εἴτε αὐτῷ προσανέχοντες εἶεν εἴτε τῷ πενθερῷ. οἱ δὲ πανσυδὶ ἢ συζῆν αὐτῷ ἢ συναπολέσθαι εἰρήκεισαν. θαρ-*

---

1 *σουλτὰν*] *τὸν σουλτὰν* L ‖ *Ἰαθατίνην*] *ἰαθανίτην* L 2 *τούτῳ*] *αὐτῷ* post *συνήθης* pos. L ‖ *ὁ γὰρ*—3 *Ἀζατίνου*] *οὗτος γὰρ τὰς ἀδελφικὰς ποτε χεῖρας ἀζατίνου ἀποφυγὼν* L 4 *παρ' αὐτοῦ*] *αὐτῷ* post *υἱοθετεῖται* pos. L 5 *ὃς* om. L 4 *καὶ παρ'*—5 *ὃς*] *υἱοθετήθη μηνύσας αὐτῷ κρύφα. καὶ υἱοθετήθη αὐτῷ* d 7 *τὸν*—*μόρον* omissa voce *αὐτοῦ* post *ἐσταλμένος* pos. L ‖ *ὃς καὶ* om. L 8 *ἐσταλμένος*] *ἐνδεδυμένος* L ‖ *μετ'*—*ἀφικνεῖται* om. L 9 *ἐπιφημίζεται*] *κατονομάζεται* L 10 *ὠνόμαζεν*] *ὠνόμαζον. καὶ* L 12 *τῆς*—*γῆς* om. L ‖ *φορῷ*] *αἰσίῳ* L 13 *τῇ* om. L ‖ *Ἀττάλου*] *αἰτωλίας* L ‖ *προσώρμισεν*] *προσόρμισεν* L 14 *οὖν*] *δὲ* L ‖ *προσδέδεκται*] *προσδέχεται* L 15 *πρὸς*—*σουλτὰν* om. a ‖ *τοῦ*—16 *αὐτὸν*] *τὸν σουλτὰν* L 17 *ἄδικος*] *ἀδίκως* L 18 *γοῦν*] *δὲ* L 20 *τῶν* om. L ‖ *ὅ*] *ὥς* L om. a 21 ante *συναγαγὼν* add. *καὶ* L ‖ *γοῦν* om. L 23 *πανσυδὶ*] *πανσυδίῃ* L

σαλέως γοῦν τῆς Νικαίας ἐξήει, ἔχων καὶ τοὺς τοῦ σουλτὰν πρέσβεις. ταχύτερον δὲ τῷ δρόμῳ χρησάμενος ἀφίκετο εἰς Φιλαδέλφου. ὁ δὲ σουλτὰν ἀπάρας μεθ' ἑαυτοῦ καὶ ὃν ὡς δέλεαρ ἐπεφέρετο βασιλέα Ἀλέξιον τὴν ἔφοδον ἐν Ἀντιοχείᾳ πεποίηται. πόλις δὲ αὕτη χώρας προκαθημένη Μαιάνδρου, κρατῆσαι δέ οἱ ταύτης ἦν ὁ σκοπός. διὰ ταῦτα καὶ ἑλεπόλεις ἐστήσατο καὶ ἐπόρθει τὴν πόλιν. καὶ ἦν γε αὕτη ἐν χρῷ τοῦ ἁλῶναι. ὃ δὴ καὶ δεδιὼς ὁ βασιλεὺς Θεόδωρος — ἦν γὰρ καὶ ἀληθές, ὡς εἰ ταύτης ἐκράτησεν ὁ σουλτάν, οὐδὲν ἂν ἦν αὐτῷ ἐμποδὼν τοῦ μὴ πᾶσαν τὴν Ῥωμαίων χειρώσασθαι. καὶ οἷον ἐπὶ κύβου τὸν πόλεμον θεὶς ἢ μᾶλλον ἀληθῶς εἰπεῖν ἐπὶ τῷ δεσπότῃ θαρρήσας Χριστῷ, οὗ τὴν κλῆσιν ὡς σύσσημόν τι ἢ σφραγῖδα οἱ εὐσεβεῖς ἐπιφέρομεν, ἐπισπεύδει τὸν δρόμον, παραγγείλας μηδένα ἢ σκηνὴν φέρειν ἢ ἄχθος ἢ ἕτερόν τι τῶν οὐ λυσιτελούντων ἐν τῷ πολέμῳ, ἄνευ μέντοι τῶν ἀναγκαίων, τροφῆς μικρᾶς καὶ ἐνδύματος. ἦν δὲ ἅπαν αὐτῷ τὸ στράτευμα εἰς δισχιλίους ἠριθμημένον, ὧν ὀκτακόσιοι μὲν Ἰταλοί, ἄνδρες γενναῖοι καὶ τὴν χεῖρα σθεναροί, ὡς ὁ καιρὸς ἔδειξε, Ῥωμαῖοι δὲ οἱ λοιποὶ ἐτύγχανον.

10. *Ἐγγύς που γοῦν γενόμενος τῆς Ἀντιοχείας ὁ βασιλεὺς ἀφίησι τὸν πρέσβιν Πέρσην πρὸς τὸν σφέτερον ἀφικέσθαι δεσπότην· καὶ ὃς ἀπῆλθε καὶ μηνύει τῷ σουλτὰν τὴν τοῦ βασιλέως ἔφοδον, δύσπιστον ἐκείνῳ πάνυ τυγχάνουσαν. ὅρκοις γοῦν ἐβεβαίου ὁ πρέσβις, ὡς ἐγγὺς ὁ βασιλεὺς πάρεστι.*

---

1 *γοῦν*] *οὖν* a ‖ *τοῦ* om. L ‖ *σουλτὰν* post *πρέσβεις* pos. L 2 *τῷ δρόμῳ*] *τὸ δράμα* L 3 *Φιλαδέλφου*] *φιλαδελφίαν* L ‖ *ἀπάρας*] *ἐπῆρε* L 5 *πεποίηται*] *πεποίημενος* L 6 *Μαιάνδρου*] *παρὰ μαίανδρον* L ‖ *δέ οἱ*] *δ' οἱ* La 8 *γε αὕτη* om. L ‖ *δὴ* om. L 9 *καὶ* om. L 11 *Ῥωμαίων*] *Ῥωμαίαν* a 12 *ἀληθῶς* om. L 13 *τῷ δεσπότῃ θαρρήσας* om. L 16 *ἄνευ μέντοι*] *βαρός, ἄλλα μόνον τι* d *βάρος, ἄνευ μέντοι* L 19 *τὴν χεῖρα* om. L 20 *ὡς*] *οὓς* L ‖ *Ῥωμαῖοι — ἐτύγχανον* om. L 21 *τῆς* om. L 22 *πρέσβιν* post *πέρσιν* pos. d ‖ *πρὸς*] *εἰς* L 23 *μηνύει — 24 τυγχάνουσαν*] *πάντα σουλτὰν μηνύει, δύσπιστα αὐτῷ τυγχάνοντα* L 24 *δύσπιστον*] *δύσπειστον* V 25 *γοῦν*] *δ'* L ‖ *πρέσβις*] *πρέσβυς* L ‖ *πάρεστι*] *πάρεστιν* a

ταῦτ' οὖν ἀκηκοὼς ὁ σουλτάν, ὡς εἶχε τάχους τὰς δυνάμεις συνάγει καὶ παρατάττεται πρὸς τὸν πόλεμον. ἐμπίπτουσι γοῦν ταῖς τοῦ σουλτὰν πρῶτον δυνάμεσιν Ἰταλοί, ἀλλ' ἦν τὸ τῶν Μουσουλμάνων πλῆθος πολύ· ἔργα δὲ κρατερᾶς χειρὸς ἐνδειξάμενοι καὶ γενναιοτέρας ψυχῆς, σχεδὸν πίπτουσι πάντες, ἀπειροπλασίους ξίφους ἔργον ποιήσαντες. τῶν γοῦν Ἰταλῶν οἱ Μουσουλμάνοι περιγενόμενοι ῥᾷον καὶ τῶν Ῥωμαϊκῶν ἐκράτουν δυνάμεων· καὶ οἱ μὲν προτροπάδην ἔφευγον, ὀλίγοι δὲ ἐκαρτέρουν τὸ τέλος τῆς μάχης ἀποσκοπούμενοι. τῆς μάχης οὖν ἐγκρατὴς γενόμενος ὁ σουλτὰν ἐζήτει τὸν βασιλέα, καὶ δείκνυσί τις τοῦτον αὐτῷ ἐν ἀμηχανίᾳ γενόμενον. ὡς εἶχε γοῦν τάχους πρὸς τὸν βασιλέα ὁρμᾷ, τῇ τοῦ σώματος ἰσχύι θαρρῶν ἐπ' αὐτῷ. καὶ ὁ μὲν σουλτὰν κορύνῃ κατὰ κεφαλῆς πλήττει τὸν βασιλέα, καὶ πίπτει τοῦ ἵππου· ἦν γὰρ τῇ βολῇ σκοτοδινιάσας. συνεποδίσθη γάρ, ὥς φασι, τῇ βολῇ καὶ ὁ ἵππος, οὐκ οἶδ' εἰ καὶ τούτου δευτέραν παρὰ τοῦ σουλτὰν λαβόντος πληγήν. ἔξω οὖν τοῦ ἵππου ὁ βασιλεὺς γενόμενος, καὶ οἷον ῥωσθεὶς ὑπὸ θειοτέρας δυνάμεως, ἐπὶ πόδας δὲ σταθεὶς τὴν σπάθην ἐξάγει τοῦ κουλεοῦ, καὶ τοῦ σουλτὰν ἐνθένδε στραφέντος καὶ ὑβριστικῶς ἐπειπόντος· 'λάβετε τουτονί,' πλήττει τοὺς ὀπισθίους πόδας τῆς σουλτὰν ἵππου ὁ βασιλεύς· θηλείας γὰρ ἐπωχεῖτο καὶ ὑπερμεγέθους. ὡς ἐκ πύργου γοῦν ὁ

---

1 *ταῦτ' οὖν ἀκηκοὼς*] *ταῦτα δ' ἀκούσας* L ‖ *τάχους*] *τάχος* a ‖ *τὰς* om. L 2 post *ἐμπίπτουσι* add. *δὲ πρῶτον* d 3 *πρῶτον* om. L 4 *κρατερᾶς*] *καρτέρας* post *χειρὸς* pos. L 5 *ἐνδειξάμενοι*] *ἐνδεξάμενοι* L corr. d ‖ *ψυχῆς*] *ψυχάς* L 6 *πάντες*] *ἅπαντες* L ‖ *ξίφους—ποιήσαντες*] *εἰς ᾅδην κατάξαντες* L ‖ *γοῦν*] *οὖν* L 8 *προτροπάδην*] *προτροπάδες* L ‖ *ἔφευγον*] *ἔφυγον* L 9 *δὲ*] *δ'* aL 10 *οὖν*] *δὲ* L 11 *τοῦτον αὐτῷ*] *αὐτὸν* L 12 *γενόμενον*] *ὄντα* L ‖ *ὡς—ὁρμᾷ*] *ὥρμησε δὲ κατ' αὐτοῦ* L ‖ *τάχους*] *τάχα* a 13 *τῇ*] *τῷ* a ‖ *ἐπ' αὐτῷ* om. L 15 *ἦν—βολῇ* om. L ‖ *συνεποδίσθη—17 πληγήν*] *συμποδισθέντος καὶ τοῦ ἵππου αὐτοῦ* L 15 *συνεποδίσθη*] *συνεμποδίσθη* a 18 *οὖν τοῦ*] *δ' οὖν* a *δὲ τοῦ* L ‖ *ὁ βασιλεὺς* post *γενόμενος* pos. L ‖ *οἷον ῥωσθεὶς*] *ἀναρρωσθεὶς* L 19 *θειοτέρας*] *θείας* L ‖ *πόδας*] *ποδῶν* L 20 *κουλεοῦ*] *κολεοῦ* L ‖ *ἐνθένδε στραφέντος*] *ἐπιστραφέντος* L

σουλτὰν καταβάλλεται καί οἱ αἰφνηδὸν ἡ κεφαλὴ ἀποτέμνεται, μήτε τοῦ βασιλέως γνόντος μηθ' ἑτέρου τῶν συμπαρεστώτων τῷ βασιλεῖ, παρὰ τοῦ κεκαρατόμηται. νικᾷ γοῦν ἐντεῦθεν ὁ βασιλεὺς τὸ πλεῖστον ἐξηττημένος. οὐδὲ γὰρ εἶχεν ἐπὶ τοῖς πρόσω χωρεῖν μετὰ μετρίων ἐλλελειμμένος. τοῦτο τοῖς Ῥωμαίοις ἀναψυχῆς ἐγένετο πρόφασις· σπονδὰς γὰρ ἐντεῦθεν ἀρρήκτους οἱ Μουσουλμάνοι μετὰ Ῥωμαίων ἐποίησαν. ἐντεῦθεν τῆς ἐκεῖσε μάχης ἐκεχειρίαν ἔσχεν ὁ βασιλεύς, τοῖς δ' Ἰταλῶν πολέμοις ἐσχόλαζε. προσελάβετο δὲ καὶ τὸν πενθερὸν αὐτοῦ ἐν τῇ μάχῃ εὑρών, καὶ τὰ εἰκότα τιμήσας ἀπήγαγέ τε εἰς Νίκαιαν καὶ τῶν βασιλικῶν παρασήμων ἐκδύσας ἐν τῇ τοῦ Ὑακίνθου μονῇ διάγειν ἐκέλευσεν. ἔνθα καὶ θνήσκει. ἡ γὰρ σύζυγος αὐτοῦ Εὐφροσύνη ἐν τῇ τῆς Ἄρτης ἐτελεύτησε χώρᾳ, ἔνθα καὶ ὁ νεκρὸς αὐτῆς κατετέθη.

11. *Περιεγένετο* δὲ ὁ βασιλεὺς Θεόδωρος καὶ τοῦ τῆς Παφλαγονίας κρατοῦντος Δαυίδ, καὶ Ἡράκλειαν παρεστήσατο καὶ Ἄμαστριν καὶ τὴν πᾶσαν πέριξ χώραν καὶ τὰ πολίχνια. πάλιν δέ μοι τὰ τῆς ἱστορίας βούλεται τὰ ἐν τῇ ἑσπέρᾳ συμβάντα ξυγγράψασθαι. ἵνα δέ μοι ἡ ἱστορία τοῖς πᾶσιν εὔγνωστος εἴη, δέον ὀλίγα ἄττα προεξειπεῖν. τοῦ βασιλέως Ἰσαακίου τῆς Κωνσταντίνου κατάρχοντος καὶ τῆς γαμετῆς

---

1 post καταβάλλεται add. καὶ πίπτει κατενεχθεὶς πτῶμα (τὸ πτ. d) ἐξαίσιον L ‖ οἱ om. L ‖ ἡ κεφαλὴ] τὴν κεφαλὴν L 2 μήτε — 3 κεκαρατόμηται om. L 3 νικᾷ — 5 χωρεῖν] νίκην οὖν ἐδέξατο θαυμασίαν θεόθεν ὁ βασιλεύς L 5 τοῖς] τὰ a ‖ μετὰ — ἐλλελειμμένος] ἐγκαταλελειμένος μετὰ μετρίων L ‖ ἐλλελειμμένος] ἐλελειμμένος Va 6 ἀναψυχῆς — 9 Ἰταλῶν] ἀναψυχή, ὅθεν καὶ τοῦρκοι σπονδὰς ἔθεντο μετὰ ῥωμαίων, τὴν εἰρήνην δεηθέντες, καὶ ἐκεχειρία ἐγένετο, καὶ τοῖς ἰταλικοῖς L 9 ἐσχόλαζε] τὸ ἐκεῖθεν ἐσχόλαζε L ἐσχόλαζεν a 10 πενθερὸν — εὑρών] ἴδιον πενθερόν L 11 ἀπήγαγέ — Νίκαιαν] εἰς νίκαιαν ἀπήγαγε L ‖ τῶν — 12 ἐκδύσας] τοῖς βασιλικοῖς ἐκδήσας παρασήμοις L 12 Ὑακίνθου] υἱακύνθου L 13 θνήσκει] ἀποθνήσκει L ‖ σύζυγος] ἄσυγος L corr. d 16 ὁ] καὶ ὁ La ‖ καὶ τοῦ — 17 κρατοῦντος post Δαυίδ pos. καὶ et τῆς om. L 18 τὰ om. a 19 βούλεται — 21 προεξειπεῖν] ἐλθέτω διὰ τὰ πρὸς ἑσπέραν, ἵν' εἴη εὔγνωστα ὡς ἐν ὀλίγῳ L

θανούσης αὐτοῦ, ἠγάγετο εἰς γυναῖκα τὴν ἣν προειρήκειν ἐξ Οὐγγρίας ὡρμημένην, θυγατέρα οὖσαν τοῦ τῶν Οὔγγρων ἄρχοντος. ἐπεὶ δὲ ἔμελλε τὸν γάμον ποιεῖν, καὶ ὑπῆρχεν οὗτος βασιλικός, ἀξιόλογα ἔδει γενέσθαι τούτου τὰ ἀναλώματα. ἐντεῦθεν ἐξ ἁπάσης τῆς Ῥωμαίων ἐπαρχίας πρόβατά τε καὶ χοῖροι καὶ βόες συνήγοντο· ἐπεὶ δὲ πλείω τῶν ἄλλων ἡ Βουλγάρων τρέφει ταῦτα, καὶ πλείω παρὰ ταύτης ἀπῃτοῦντο. τὸ δὲ Βουλγάρων φῦλον ἔκσπονδον μὲν τὰ πρῶτα Ῥωμαίοις τελοῦν καὶ πολέμων πολλῶν πρόξενον γεγονὸς αὐτοῖς ἀνδραποδισμῶν τε καὶ ἁλώσεων πόλεων καὶ μυρίων ἄλλων δεινῶν, καὶ ταῦτα ἐν πολλοῖς ἔτεσιν, ὕστατα παρὰ τοῦ βασιλέως Βασιλείου χειροῦνται, ὃν διὰ ταῦτα Βουλγαροκτόνον ἡ φήμη ἐκάλεσε. μέχρι γοῦν τοῦ βασιλέως Ἰσαακίου ὑπόφορον τὸ γένος ἐτέλει Ῥωμαίοις, διὰ δὲ τὴν τοιαύτην πρόφασιν μεμελέτηκεν ἀνταρσίαν. καὶ ἀνίσταταί τις Ἀσὰν τοὔνομα καὶ βασιλεύει τῆς χώρας, ἅπαντα τὰ ἐντὸς τοῦ Αἵμου μέχρι καὶ τοῦ Ἴστρου ὑφ' ἑαυτὸν ποιησάμενος. ἐκ τούτου οὐκ ὀλίγα πράγματα Ῥωμαίοις συνέβη· ἔχοντες γὰρ οἱ Βούλγαροι τὸ Σκυθικὸν σύμμαχον, πολλὰ ἐποίουν τῇ Ῥωμαίων δεινά. τότε καὶ ὁ βασιλεὺς ἀγανακτήσας Ἰσαάκιος τὸ τῶν Ῥωμαίων ἅπαν συναγαγὼν στράτευμα, κατ' αὐτῶν ἐχώρει. τὴν γοῦν παράλιον παριὼν καὶ διὰ τῆς Μεσημβρίας πόλεως τὴν δίοδον ποιούμενος, ἔσω

---

1 ἣν — 3 ἄρχοντος] ἐξ οὐγρίας τοῦ ἄρχοντος ἐκείνου L ‖ προειρήκειν post ὡρμημνένην pos. a 2 θυγατέρα post ἄρχοντος pos. a 3 δὲ] δ' L ‖ ὑπῆρχεν — 4 ἀναλώματα] ἦν τοιοῦτος, ἔδει καὶ τὰ ἀναλώματα γενέσθαι ἀξιόλογα L 4 τούτου τὰ] καὶ τὰ τούτου a 5 ἐξ ἁπάσης τῆς] ἀπὸ πάσης L
6 τε — βόες] καὶ βόες καὶ χοῖροι La 7 ταῦτα om. L ‖ παρὰ ταύτης] παρ' αὐτῶν L 8 δὲ] γὰρ a ‖ μὲν τὰ πρῶτα om. L 9 τελοῦν] ἦν L ‖ πολέμων post πολλῶν pos. L ‖ γεγονὸς om. L 10 τε — 11 μυρίων] καὶ L 11 ἐν — ὕστατα om. L 12 Βασιλείου] τούτου L ‖ χειροῦνται ante παρὰ pos. L 13 Βουλγαροκτόνον] βουλγαρικὸν L ‖ μέχρι γοῦν] μέχρις οὖν La 14 ἐτέλει] ὑπέτελε L ὑπετέλει d ‖ τὴν om. L 16 τῆς om. L 17 μέχρι — Ἴστρου om. L ‖ μέχρι καὶ] μέχρις a 18 post τούτου add. δὲ L 19 post Σκυθικὸν add. γένος L 20 ἐποίουν τῇ] ἐποιοῦντο L 23 ἔσω] εἴσω La

τοῦ Αἵμου γίνεται. ὁ δὲ Ἀσὰν μετὰ τοῦ ὑπ' αὐτὸν στρατεύματος ἐντὸς τοῦ πολιχνίου οὗ δὴ τὸ ὄνομα Στρίναβος εἰσέρχεται, ἔνθα καὶ τὰς σκηνὰς ποιησάμενος ὁ βασιλεὺς Ἰσαάκιος τοὺς Βουλγάρους ἐπολιόρκει. καταστρατηγεῖται δὲ παρ' αὐτῶν· τῶν γὰρ Βουλγάρων τις, προσωπεῖον ὑπενδὺς φυγάδος, ἀφικνεῖται παρὰ τὸν βασιλέα καὶ μηνύει αὐτῷ Σκυθῶν ἔφοδον, ὁ δὲ βασιλεὺς τῷ λόγῳ θροηθείς, καὶ ταῦτα τὴν ἐπιοῦσαν τὸ πολίχνιον χειρώσασθαι μέλλων, ἀπανίσταται τοῦ τόπου. οὐκ ἐξῆλθεν οὖν τὴν ἥν εἰσῆλθεν ὁδόν, ἀλλ' ἀπατηθεὶς ὑπὸ τοῦ Βουλγάρου τὴν ταχυτέραν τάχα διεξιέναι βεβούλευται. ἐπεισπίπτουσιν οὖν αὐτῷ διερχομένῳ οἱ Βούλγαροι ἐπί τινι στενωπῷ γενομένῳ, καὶ καταλύουσι τὸ ὑπ' αὐτὸν ἅπαν στράτευμα, καὶ σκυλεύουσι πᾶσαν τὴν τῆς στρατιᾶς ἀποσκευήν, ἀλλὰ δὴ καὶ τὴν τοῦ βασιλέως αὐτοῦ. πίπτουσι δὲ πολλοὶ τῶν Ῥωμαίων, οἱ δὲ διασωθέντες μετὰ τοῦ βασιλέως γυμνοί τε ἦσαν καὶ ὀλίγοι πάνυ. ἐντεῦθεν ἐφυσιώθη τὸ τῶν Βουλγάρων φῦλον, λείαν πολλὴν ἐκ τῶν Ῥωμαίων εἰληφός, ἀλλὰ δὴ καὶ ἐκ τῶν βασιλικῶν παρασήμων τὰ τιμιώτερα. τάς τε γὰρ τοῦ βασιλέως πυραμίδας ἀνελάβοντο καὶ φιάλας τῶν ἐπισήμων καὶ χρῆμα εἰς πλῆθος καὶ αὐτὸν δὴ τὸν βασιλικὸν σταυρόν. τῶν τινος γὰρ αὐτὸν ἱερέων ῥίψαντος μετὰ μικρὸν ἐφεῦρον αὐτὸν ἐν τῷ ποταμῷ, ἐκ χρυσοῦ μὲν κατεσκευασμένον, φέροντα δὲ μέσον ἐκ τοῦ ἁγίου ξύλου εἰς σταυροῦ σχῆμα τετυπωμένον, θήκας δὲ μικρὰς παμπόλλας ἔχοντα, ἐν οἷς προσῆσαν λείψανα ἁγίων μαρτύρων τὸ γάλα τε τῆς θεομήτορος καὶ μέρος τι τῆς ζώνης αὐτῆς. ὁ μὲν οὖν βασιλεὺς Ἰσαάκιος εἰς τὴν Κωνσταντίνου ᾤχετο.

---

2 *οὗ — Στρίναβος*] *τρίβανος* L *τρίναβος* d 4 *Ἰσαάκιος* om. L 5 *γὰρ* om. L 7 *Σκυθῶν*] *σκυθικῶν* L 8 *ταῦτα*] *κατὰ* d 9 *οὐκ*] *καὶ οὐκ* L ‖ *οὖν — εἰσῆλθεν* om. L 11 *βεβούλευται*] *βούλεται* L ‖ *ἐπεισπίπτουσι γοῦν*] *ἐπιπίπτουσιν οὖν* L 12 *οἱ* om. L ‖ *στενωπῷ*] *στενῷ τῷ* L 13 *ὑπ'*] *ἐπ'* L 14 *τὴν τοῦ*] *τοῦ* L 16 *τε ἦσαν*] *ἔμειναν* L 17 *φῦλον*] *γένος* L 18 *εἰληφός*] *εἰληφώς* L 19 *τιμιώτερα*] *καιριώτερα* L a 21 *χρῆμα εἰς*] *χρημάτων* L corr. d ‖ *δὴ*] *δὲ* L om. a 23 *κατεσκευασμένον*] *κατασκευασμένον* L 24 *σχῆμα τετυπωμένον*] *τύπον ἐσχηματισμένον* L 27 *μέρος*]

12. Ἐντεῦθεν οὐκ ὀλίγα πράγματα Ῥωμαίοις ἐκ Βουλγάρων, καὶ τοῦ Ἀλεξίου βασιλεύσαντος πόλεμοι αὐτῷ ἐκ τούτων πολλοὶ περὶ Βέρροιαν, ἔνθα καὶ ὁ πρωτοστράτωρ Καμύτζης ὑπὸ Βουλγάρων ἑάλω μαχόμενος, τοῦ ἀδελφοῦ τοῦ Ἀσὰν Ἰωάννου τότε κατάρχοντος. ὁ γὰρ Ἀσὰν δύο ἀδελφοὺς εἶχε, Πέτρον καὶ Ἰωάννην· καὶ τὸν μὲν Ἰωάννην εἶχε μεθ' ἑαυτοῦ, τὸν δὲ Πέτρον τμῆμά τι κόψας ἄρχειν τούτου παρῆκεν. ἐννέα γοῦν ἐνιαυτοὺς διανύσας ὁ Ἀσὰν φονεύεται παρὰ τοῦ πρωτεξαδελφοῦ αὐτοῦ Ἰβανοῦ, καὶ βασιλεύει ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης, ἀφήλικος ὄντος τοῦ τοῦ Ἀσὰν υἱοῦ Ἰωάννου.

13. Ὃς πολλῶν ἐγεγόνει τοῖς Ῥωμαίοις αἴτιος κακῶν καὶ τοῖς Ἰταλοῖς αὐτοῖς. ἦν γὰρ οὗτος βασιλεὺς Βουλγάρων, ὁπότε ἡ Κωνσταντίνου ἑάλω. ὡς γοῦν οἱ Ἰταλοὶ πᾶσαν τὴν τῆς Μακεδονίας χώραν ὑφ' ἑαυτοὺς ἐποιήσαντο, βασιλικῶς τοῦ πρώτως κατάρξαντος Βαλδουΐνου τὰ κατ' αὐτοὺς διιθύνοντος, καὶ πρὸς τὴν πόλιν Ἀδριανοῦ διεμηνύσαντο, ὅπως ὑπ' αὐτοὺς γένηται. ὁ γὰρ βασιλεὺς Βουλγάρων Ἰωάννης προύλαβε χειρώσασθαι τὴν Φιλιππούπολιν· καὶ ἀνδραποδισμὸν μέγαν τῶν Ῥωμαίων ἐκεῖθεν ποιήσασθαι. μὴ βουληθέντων δὲ τῶν Ἀδριανουπολιτῶν ὑπὸ χεῖρα γενέσθαι τῶν Ἰταλῶν, ἐκστρατεύουσιν οἱ Ἰταλοὶ κατ' αὐτῶν. εἰς στενοχωρίαν οὖν οὐ μικρὰν ἐλθόντες οἱ τῆς Ἀδριανοῦ στέλλουσι πρὸς τὸν βασιλέα Βουλγάρων Ἰωάννην, ἵνα συνάρηται τούτοις. ὁ δὲ ἀσμένως δέχεται τοῦτο, καὶ Σκύθας μεθ' ἑαυτοῦ προσλαβόμενος μηχαναῖς Λατίνων

κοῦρος L corr. d ‖ τῆς om. L 2 πόλεμοι] πόλεμος L 3 πολλοὶ] πολὺς L ‖ περὶ Βέρροιαν] πρὸς βαρφρόβου L 5 δύο—εἶχε] εἶχε δύο ἀδέλφε L εἶχε δύο ἀδελφοὺς a 7 Πέτρον καὶ Ἰωάννην] πέτρος καὶ ἰωάννης L corr. d 8 γοῦν] οὖν L ‖ τοῦ om. La 9 πρωτεξαδελφοῦ] πρωτεξαδέλφου La ‖ Ἰβανοῦ] ἰβάνου L 10 ὄντος τοῦ] ὢν et τοῦ sec. m. del. L 12 post βασιλεὺς add. ὁ L 14 τῆς Μακεδονίας] μακεδονίαν L 15 βασιλικῶς] βασιλέως a ‖ πρώτως] πρώτου La 16 διιθύνοντος] διευθύνοντος L 19 μέγαν om. La 20 δὲ] καὶ L ‖ Ἀδριανουπολιτῶν] Ἀδριανοπολιτῶν V ‖ ὑπὸ χεῖρα] ὑποχείρων L corr. d 22 μικρὰν] σμικρὰν L 25 μεθ' ἑαυτοῦ] μετ' αὐτοῦ L ‖ μηχαναῖς] μηχανῆς L

περιγενέσθαι σπεύδει. καὶ ὁ μὲν ἔκειτο μακράν που τῆς Ἀδριανουπόλεως, ἐκπέμπει δὲ κατὰ τῶν Ἰταλῶν τοὺς Σκύθας. Ἰταλοῖς μὲν οὖν ἔθος ἐφ' ἵπποις ἐποχεῖσθαι ὑψαύχεσι, καταφράκτοις ὅπλοις, Σκύθαι δὲ κουφότερον ὡπλισμένοι ἐλευθερώτερον ἐπιπηδῶσι τοῖς ἐναντίοις. οὗ μὴ συνιέντες οἱ Ἰταλοὶ παρὰ τῶν Σκυθῶν καταστρατηγοῦνται, ὡς καὶ αὐτὸν τὸν βασιλέα Βαλδουῖνον ὑπ' αὐτῶν ἁλῶναι καὶ δέσμιον ἀπαχθῆναι πρὸς τὸν βασιλέα Βουλγάρων Ἰωάννην· οὗπερ ὥς φασι τὴν κεφαλὴν εἰς κύπελλον χρηματίσαι τῷ βαρβάρῳ, κόσμῳ πυκασθεῖσαν κύκλωθεν. οἱ μὲν οὖν Ἀδριανουπολῖται ἐκ τοῦ παραντίκα τὸ γεγονὸς οὐκ ἐγνώρισαν· εἰ γὰρ ᾔδεσαν, λείαν ἂν ἐποίησαν τὰς Ἰταλικὰς σκηνάς. οἱ δ' ἀπολειφθέντες Ἰταλοὶ φῶτα λαμπρὰ ταῖς σκηναῖς ἅψαντες καὶ μέσων νυκτῶν ἄραντες περὶ τὴν Κωνσταντίνου χωροῦσιν. πρωίας οὖν γνόντες τοῦτο οἱ τῆς Ἀδριανοῦ τὰ ἐλλελειμμένα ταῖς σκηναῖς ἄραντες ἦσαν. ὁ μὲν οὖν βασιλεὺς Βουλγάρων Ἰωάννης κατὰ τὰ ὑπεσχημένα τοῖς Ἀδριανουπολίταις ἐγκρατὴς γενέσθαι τῆς σφῶν πόλεως ὥρμησεν. οἱ δὲ ἀπηνήναντο τοῦτο. δυσανασχετήσας οὖν πολιορκῆσαι τούτους ἠθέλησεν, ἀλλ' ἀφυεῖς παντελῶς εἰς πολιορκίαν οἱ Βούλγαροι· οὔτε γὰρ ἑλεπόλεις οἴδασι στῆσαι οὐθ' ἕτερόν τι διανοήσασθαι. ἀπάρας γοῦν ἐκεῖθεν, ὡς τῶν Ἰταλῶν καταπορθηθέντων, πᾶσαν κατατρέχει Μακεδονίαν καὶ λείαν πολλὴν ἐλᾷ, αὐτάνδρους τὰς πόλεις ἑλὼν καὶ τέλος κατασκάψας, ὡς μήποτε Ῥωμαίους ἀνάκλησιν

---

1 σπεύδει] σπεύδων L 2 Ἀδριανουπόλεως] ἀδριανοῦ πόλεως La 3 ἐποχεῖσθαι] ἐπωχεῖσθαι L ‖ post ὑψαύχεσι add. τοῖς ἐναντίοις L 6 καταστρατηγοῦνται] καταστραγοῦνται L corr. d 7 τὸν βασιλέα] βασιλέα L τὸν a 8 ante Ἰωάννην add. τὸν L 9 κύπελλον] κύπελον L 12 ᾔδεσαν] ἤδησαν L εἴδεσαν a 13 δ'] δὲ La 14 μέσων νυκτῶν] μεσονύκτιον L μέσον νυκτῶν a 15 χωροῦσιν] χωροῦσι L ‖ πρωίας οὖν] πρωὶ δὲ L ‖ τῆς om. L 16 ἐλλελειμμένα] ἐναπομείναντα L ‖ ἄραντες ἦσαν] ἦραν L 19 δυσανασχετήσας οὖν] δυσανασχετήσαντες L 20 ἠθέλησεν, ἀλλ'] δὲ βουληθεὶς L ‖ post ἀφυεῖς add. ὑπῆρχον L 21 γὰρ] γὰρ τὰς L ‖ στῆσαι] ἐξακονομῆσαι (ἐξοικονομῆσαι d) ἢ στῆσαι L 22 τι] μηχανικὸν πολέμων ἄξιον L om. a ‖ γοῦν] οὖν L 25 μήποτε] μήτε a ‖

σχεῖν. κατέσκαψε γὰρ Φιλιππούπολιν, εἶτα Ἡράκλειαν Πάνιον Ῥαιδεστὸν Χαριούπολιν Τραϊανούπολιν Μάκρην Κλαυδιούπολιν Μοσυνούπολιν Περιθεώριον καὶ ἄλλας, ἃς ἀριθμεῖν οὐ χρεών. τὸν δὲ λαὸν ἀπάρας ἐκεῖθεν περὶ τὰς παραρροίας τοῦ Ἴστρου καθίζει, ἐκ τῶν ἠνδραποδισμένων κωμῶν καὶ πόλεων ἐπιθεὶς τὰς κλήσεις ταῖς οἰκήσεσιν. ἀντάμυναν μὲν οὖν, ὡς ἔφασκον, ἐποιεῖτο τῶν ὧν εἰργάσατο πρὸς Βουλγάρους κακῶν ὁ βασιλεὺς Βασίλειος. καὶ καλεῖσθαι μὲν ἔλεγον ἐκεῖνον Βουλγαροκτόνον, Ῥωμαιοκτόνον δὲ ὠνόμαζεν ἑαυτόν. μέχρι γοῦν καὶ αὐτῆς καταντήσας Θεσσαλονίκης ἐκεῖσε θνῄσκει πλευρίτιδι νόσῳ κατασχεθείς, ὡς δέ τινες ἔλεγον, ὅτι ἐκ θεομηνίας αὐτῷ ὁ θάνατος γέγονεν. ἔδοξε γὰρ αὐτῷ καθ' ὕπνους ἔνοπλον ἄνδρα ἐπιστῆναι αὐτῷ καὶ δόρατι πλῆξαί οἱ τὴν πλευράν· ὡς καὶ ὄνομα τεθῆναι τούτῳ ἐκ κυνός· Σκυλοϊωάννης γὰρ ἐπεκλήθη τοῖς πᾶσι. τὸ γὰρ τῶν Σκυθῶν γένος ἰδιοποιησάμενος καὶ κοινωνήσας αὐτοῖς κοινωνίαν, καὶ τρόπου μετασχὼν θηριωδεστέρου, φόνοις ἐνετρύφα Ῥωμαίων. ὡς γοῦν οὑτωσὶ ἐτεθνήκει, ὁ τῆς ἀδελφῆς αὐτοῦ παῖς Βορίλας τοὔνομα, τὴν Σκυτίδα θείαν γαμετὴν εἰληφὼς τῆς ἀρχῆς τῶν Βουλγάρων γέγονεν ἐγκρατής, τὸν δὲ τοῦ Ἀσὰν παῖδα τὸν Ἰωάννην ἀφήλικα ἔτι ὄντα κρύφα τις λαβὼν περὶ τοὺς Σκύθας κεχώρηκεν.

14. Ὁ Μιχαὴλ δέ, ὃν τῆς Ἠπείρου κατάρξαι εἰρήκαμεν,

ἀνάκλησιν] ἀνάληψιν L in marg. ead. m. ἀνάκλησιν
1 εἶτα om. L 2 Ῥαιδεστὸν] ῥεδεστὸν La ‖ Μάκρην] μάκρον L 3 Μοσυνούπολιν] ποσενούπολιν L corr. d 4 οὐ χρεὼν] περιττόν L ‖ λαὸν] λαιὸν L ‖ περὶ] ἐπὶ L 5 τοῦ Ἴστρου post καθίζει pos. L 7 ἔφασκον VaL ἔφασκεν scrib? ‖ ἐποιεῖτο] ἐποίησαν L 8 βασιλεὺς om. d 9 ἔλεγον VaL ἔλεγεν scrib? 10 ὠνόμαζεν ἑαυτόν] ὠνόμαζον L ‖ γοῦν] δὲ L ‖ Θεσσαλονίκης] Θεσσαλονίκην d 13 post ἔνοπλον add. ἰδεῖν L 14 πλῆξαί οἱ] πλῆξαι L ‖ ὄνομα τεθῆναι] ὀνοματέθηκεν L corr. d 16 τὸ—γένος] τῶν γὰρ Σκυθῶν τὸ γένος La ‖ κοινωνήσας—κοινωνίαν] κοινωνίας φιλικῆς κοινωνήσας L 18 οὑτωσὶ V οὑτοσὶ a οὑτωσὶ οὗτος L 19 ἐτεθνήκει] τέθνηκεν L ‖ Βορίλας] βορύλας VLa 21 τὸν Ἰωάννην] ἰωάννου La 22 ἔτι om. L ‖ περὶ τοὺς] εἰς L 24 τῆς om. L

τρεῖς κασιγνήτους ἐκέκτητο, Κωνσταντῖνον Θεόδωρον καὶ Μανουήλ· ὧν ὁ μὲν Θεόδωρος τῷ βασιλεῖ Ῥωμαίων συνῆν Θεοδώρῳ τῷ Λάσκαρι. καὶ παρακαλεῖ τὸν βασιλέα Θεόδωρον ὁ Μιχαήλ, ἵνα τοῦτον πρὸς αὐτὸν ἐκπέμψῃ, διὰ τὸ μὴ ἔχειν ἔτι παῖδα ἔνηβον ἀλλ' οὐδὲ γνήσιον — ὁ γὰρ αὐτῷ γεννηθεὶς Μιχαὴλ ἐκ παλλακῆς ἐκείνῳ γεγέννητο — καὶ τοῦ θανάτου δεδιέναι τὸ ἄωρον. καὶ πέμπει τοῦτον τῷ ἀδελφῷ, ὅρκοις πρῶτον ἐμπεδωσάμενος πίστιν δουλείας εἰς τοῦτον φυλάττειν καὶ εἰς τοὺς μετ' αὐτοῦ. ὃς καὶ ἀφικόμενος συνῆν τῷ ἀδελφῷ Μιχαήλ. μετ' οὐ πολὺ δὲ φονεύεται παρά του τῶν ὑπηρετῶν ὁ Μιχαήλ· Ῥωμαῖος δὲ ἦν τῷ φονευτῇ τοὔνομα. ἐπιλαμβάνεται γοῦν τῆς ἐξουσίας ἐκείνου ὁ ἀδελφὸς Θεόδωρος ἔχων καὶ τοὺς ἀδελφοὺς Κωνσταντῖνον καὶ Μανουήλ. καὶ ηὔξησε τὴν αὐτοῦ ἀρχήν. προσεκτήσατο γὰρ οὐκ ὀλίγην χώραν ἔκ τε Ἰταλῶν καὶ Βουλγάρων, καὶ τὴν Θεσσαλίαν ὑφ' ἑαυτὸν ἐποιήσατο, Ἀχρίδαν τε καὶ Πρίλαπον, Ἄλβανόν τε καὶ αὐτὸ τὸ Δυρράχιον· ἔνθα καὶ Πέτρον μετὰ μεγίστης στρατιᾶς ἐξ Ἰταλίας ὁρμώμενον καὶ πρὸς τὴν Κωνσταντίνου διοδεύοντα, ἀνηγορευμένον πρὸς τοῦ πάπα βασιλέα, καὶ προχειρωσάμενον τὸ Δυρράχιον [ἐκ τοῦ Λατίνων μέρους Βαλδουίνου, καὶ τοῦ μετ' αὐτὸν Ἐρρῆ] γενναίως κατετροπώσατο. γαμβρὸς δὲ ἦν ὁ Πέτρος Βαλδουίνου ἐπ' ἀδελφῇ Ἰολέντᾳ, ἐξ ἧς παῖδες αὐτῷ Φίλιππος Ῥομπέρτος καὶ Βαλδουῖνος. ὧν ὁ μὲν Ῥομπέρτος καὶ ὁ Βαλδουῖνος τῆς Κωνσταντίνου βεβασιλεύκασι, τοῦ πρώτου

1 Θεόδωρος om. L 2 Ῥωμαίων om. L 5 αὐτῷ γεννηθεὶς] ἀντιγεννηθεὶς L 6 γεγέννητο] γεγένηται La 8 πρῶτον] αὐτὸν L 9 φυλάττειν] διαφυλάσσειν L 10 post Μιχαήλ add. καὶ εἰς τοὺς μετ' αὐτοῦ L ‖ μετ'] καὶ μετὰ L 11 Ῥωμαῖος—12 τοὔνομα om. L 12 γοῦν] τοίνυν L 13 Θεόδωρος om. L ‖ ἀδελφοὺς—14 Μανουήλ] λοιποὺς L 16 prim. καὶ] ὡς καὶ L ‖ ἑαυτὸν] αὐτὸν La ‖ Ἀχρίδαν] Ἀχρίδα a ἀχρείδας L ‖ Πρίλαπον] τὰ λοιπὰ L 19 Κωνσταντίνου] κωνσταντινούπολιν La ‖ διοδεύοντα] ἀνατρέχοντα L 21 καὶ—22 Βαλδουίνου om. L ‖ Ἐρρῆ] ἐρῆ V corr. a 22 δὲ] δ' a 23 Ἰολέντᾳ] ἰολέντῃ L ‖ παῖδες post αὐτῷ pos. L 24 Ῥομπέρτος] ῥόμπερτος L ‖ sec. Ῥομπέρτος] ῥόμπερτος L ‖ καὶ ὁ] καὶ La 25 βεβασιλεύκασι] βασιλεύκασι L corr. d

αὐτῶν ἀδελφοῦ τοῦ Φιλίππου τῷ ἀδελφῷ Ῥομπέρτῳ τῆς βασιλείας παραχωρήσαντος. ὑπῆρχον σφίσι καὶ ἀδελφαί, ⟨ὧν μία⟩ Μαρία, ᾗ συνεζύγη ὁ βασιλεὺς Θεόδωρος. ὁ δὲ τῆς Ἠπείρου Θεόδωρος, τὸ οἰκεῖον παραλαβὼν στράτευμα, ἀντιτάττεται τῷ Πέτρῳ μικρὸν ὑπερπηδήσαντι τὸ Δυρράχιον καὶ ἐν ταῖς τοῦ Ἀλβανοῦ δυσχωρίαις γεγενημένῳ. νικῶσι γοῦν οἱ τοῦ Κομνηνοῦ Θεοδώρου τὸ τῶν Λατίνων στράτευμα, ὡς πάντας ἄρδην δεσμώτας ποιῆσαι σὺν πᾶσι σκεύεσι, καὶ αὐτὸν δὲ τὸν βασιλέα Πέτρον ἔργον μαχαίρας γενέσθαι. τοῦτο δὴ τότε μέγα Ῥωμαίοις ἐγεγόνει βοήθημα.

15. Ὁ δὲ βασιλεὺς Θεόδωρος ὁ Λάσκαρις ἐκ τῆς αὐτοῦ γαμετῆς Ἄννης τρεῖς ἐποιήσατο θυγατέρας, Εἰρήνην Μαρίαν καὶ Εὐδοκίαν. τὴν γοῦν Μαρίαν δευτέραν τῇ ῥηγὶ Οὐγγρίας διερχομένῳ τὴν αὐτοῦ χώραν ἐξ Ἱεροσολύμων εἰς κῆδος ἐπὶ τῷ υἱῷ παραδίδωσι, τὴν δὲ πρώτην συζεύγνυσι τῷ Παλαιολόγῳ Ἀνδρονίκῳ, ὃν καὶ δεσπότην τετίμηκε. μετ' οὐ πολὺ δὲ ὁ δεσπότης Παλαιολόγος θνήσκει, ὡς μέν τινες ἔφασκον ἐξ ἐρωτικῶν διαθέσεων, καὶ προσλαμβάνεται ὁ βασιλεὺς εἰς γαμβρὸν Ἰωάννην τὸν Δούκαν, οὗ Βατάτζης τοὐπίκλην, ἐκ Διδυμοτοίχου δὲ πρωτοβεστιάριον ὄντα. ἡ μὲν οὖν βασιλὶς Ἄννα προτετελευτήκει. ἤγετο δὲ ἐξ Ἀρμενίων γυναῖκα ὁ βασιλεύς· δυσαρεστήσας δὲ πρὸς αὐτὴν ἐπὶ τὴν οἰκείαν πατρίδα ἐκπέμπει, ἐπιφέρει δ' αὐτῷ γαμετὴν τὴν τοῦ βασιλέως Ἰταλῶν Ῥομπέρτου ἀδελφήν. καὶ τὸν θεῖον γὰρ Ἐρρῆν ὁ Ῥομπέρτος διεδέξατο πολλὰ Ῥωμαίους ἡττήσαντα, μάλιστα ἐξ ὅτου τὸν σουλτὰν πεφόνευκεν

---

3 ⟨ὧν μία⟩ suppl. ‖ συνεζύγη] συνεμίγη L 6 ταῖς] τοῖς L ‖ δυσχωρίαις] δυσχωρίοις L 8 ἄρδην] εἰπεῖν ἄρδην L εἰπεῖν ὀφείλειν d ‖ σὺν πᾶσι] συμπᾶσι L 9 τὸν om. d
12 Θεόδωρος om. L ‖ ὁ om. La 16 πρώτην] ἄνναν L
18 ὁ — Παλαιολόγος] καὶ L 20 Δούκαν] δοῦκα L ‖ Βατάτζης] βαστατζῆς L corr. d 21 ἐκ] ἀπὸ L ‖ δὲ om. L
22 βασιλὶς] βασίλισσα La 24 τὴν — πατρίδα] τὰ οἰκεῖα L ‖ δ' αὐτῷ] δὲ αὐτῷ a 25 τὴν om. L ‖ Ῥομπέρτου] ῥομπάρτου L corr. d 26 Ἐρρῆν a ἐρῆν VL ἔρρην d 27 ἡττήσαντα] ποιήσαντα L ‖ post μάλιστα add. δὲ La

ὁ βασιλεὺς Θεόδωρος. τότε γὰρ τὸ ἐκ Φράγγων παρὸν αὐτῷ ἀπολώλεκε στράτευμα, διὸ καὶ τὴν τοῦ βασιλέως νίκην ἀκηκοὼς ὁ Ἐρρῆς ‘νενίκηται’ ἔφη ‘ὁ Λάσκαρις, οὐ νενίκηκε.’ καὶ μέχρι καὶ αὐτοῦ Νυμφαίου τὰς σκηνὰς ὁ Ἐρρῆς ἐπήξατο, ἐκεῖθέν τε ὑποστρέψας εἰς ξυμβάσεις ἦλθε μετὰ τοῦ βασιλέως Θεοδώρου. καὶ συνεφωνήθη τὰ μὲν τοῦ Κιμινᾶ πάντα — οὕτω γὰρ τὸ ὄρος καλεῖται τὸ ἐγγὺς τῆς Ἀχυράους τυγχάνον — μετὰ καὶ αὐτῆς τῆς Ἀχυράους παρὰ τοῦ τῶν Φράγγων γένους δεσπόζεσθαι, τὸν δὲ Κάλαμον — κῶμος δέ ἐστιν ὁ Κάλαμος, ἐξ οὗ τὸ τῶν Νεοκάστρων ἄρχεται θέμα — μένειν ἄοικον, τὰ δ' ἐντεῦθεν, [τάδε] Νεόκαστρα Κελβιανὸν Χλιαρά τε καὶ Πέργαμος καὶ τὰ πλαγίως ἐγκείμενα Μαλδία τε καὶ Ὀψίκια παρὰ τοῦ βασιλέως Θεοδώρου δεσπόζεσθαι. ὑπῆρχε δὲ τούτῳ καὶ ἄλλη χώρα, ἡ ἀπὸ τοῦ Λοπαδίου ἀρχομένη καὶ Προῦσαν περιλαμβάνουσα καὶ Νίκαιαν.

16. Ὁ δ' εἰρημένος Ἐρρῆς εἰ καὶ Φράγγος τὸ γένος ἦν, ἀλλ' οὖν τοῖς Ῥωμαίοις καὶ ἰθαγενέσι τοῖς Κωνσταντίνου ἱλαρώτερον προσεφέρετο. καὶ πολλοὺς εἶχε τοὺς μὲν τοῖς μείζοσιν αὐτοῦ συντεταγμένους, τοὺς δὲ τοῖς στρατιώταις, τὸ δὲ κοινὸν ὡς οἰκεῖον περιεῖπε λαόν. καὶ γὰρ περιγενόμενος τῶν λοιπῶν ἄστεων, Λεντιανῶν καὶ Ποιμανηνοῦ, καὶ ἄνδρας τὸν Ἄρην πνέοντας καὶ ψυχῆς γενναίας ἔργα ἐνδειξαμένους ὡς ἕρμαιόν τι ἐδέξατο ἐφευρών. ἐν γὰρ τῷ τῶν Λεντιανῶν ἄστει οὐ μόνον σπάνις ὕδατος τοὺς φυλάσσοντας ἐξέκαυσεν, οὐδ' ὅτι ὁ λιμὸς καὶ σκύτη αὐτοὺς φα-

---

1 παρὸν αὐτῷ] αὐτῷ προσὸν L 3 Ἐρρῆς a ἐρῆς VL ἔρρης d ‖ νενίκηκε] νενίκηκα L 4 Ἐρρῆς a ἐρῆς VL ἔρρης d 5 τε] δὲ L 7 Κιμινᾶ] κλίμενη L κιμένη d 9 Φράγγων] Φράγκων a ‖ τὸν] τὸ L 11 τὰ δ'] τάδ' La 12 τάδε] τὰ L ‖ τε καὶ om. L 13 πλαγίως] πλάνη L corr. d ‖ Μαλδία] μολδία L ‖ τε om. L 17 Ἐρρῆς a ἐρῆς VL ἔρρης d ‖ Φράγγος] Φράγκος a 18 ἀλλ'] ἀρ' L corr. d ‖ καὶ ἰθαγενέσι om. L 19 μὲν τοῖς] μὲν L 22 τῶν λοιπῶν] πολλῶν L ‖ Λεντιανῶν] λεαντίνων L ‖ Ποιμανηνοῦ] ποιμανήνου L 23 ἐνδειξαμένους] ἐπιδεξαμένους L ἐπιδειξαμένους d 24 τι om. L ‖ τῷ] τὸ La 25 ἄστει] ἄστυ La ‖ Λεντιανῶν] λοντιάνων L λεαντίνων d 26 οὐδ' — αὐτοὺς] λιμός

γεῖν κατηνάγκασεν ἀπ' ἀσπίδος καὶ ἐφεστρίδων αὐτῶν, ἀλλὰ καὶ τεῖχος οὐ μακροδιάστατον ταῖς ἑλεπόλεσι καταπεσὸν μετὰ μεγίστης πυρκαϊᾶς τεσσαράκοντα ἡμέρας ἐφύλαττον τοῦτο ἀμοιβαδὸν τῇ πυρκαϊᾷ προσεπισωρεύοντες ξύλα. κρατηθέντος γοῦν τοῦ ἄστεος οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ μόνον ὁ τοῦ βασιλέως αὐτάδελφος καὶ ὁ εἰς ἡγεμόνα τοῦ στρατεύματος τεταγμένος Δερμοκαΐτης, καὶ ὁ Παλαιολόγος Ἀνδρόνικος, ὅν, ὡς ἔφην, καὶ εἰς τὴν θυγατέρα αὐτοῦ ὁ βασιλεὺς προσελάβετο γαμβρόν. πάντας δὲ τοὺς ἄλλους ὁ Ἐρρῆς συλλεξάμενος καὶ κατ' ἴλας συντάξας καὶ ὁμογενεῖς αὐτοῖς παραδοὺς ἡγεμόνας, ὑπερέχειν δὲ πάντων τὸν Θεοφιλόπουλον Γεώργιον παρακελεύσας, τὴν τῶν ἀνατολικῶν μερῶν αὐτοῖς φυλακὴν ἐνεπίστευσε.

17. *Τοῦ δὲ Ἐρρῆ τῆς Κωνσταντίνου κατάρχοντος, ἀπεστάλη πρὸς τὴν Κωνσταντίνου ἀρχιερεύς, ὃν καὶ λεγάτον αὐτοί φασι, τοὔνομα Πελάγιος, ἅπαντα τὰ προνόμια τοῦ πάπα φέροντα. ἐρυθροβαφῆ καὶ γὰρ ὑπεδέδετο πέδιλα, ἐκ τῆς αὐτῆς δὲ χροιᾶς καὶ τὰ ἐνδύματα εἶχε, καὶ ἡ ἐφεστρὶς τοῦ ἵππου καὶ τὰ χαλινὰ τῷ τοιούτῳ ἐβάπτοντο χρώματι. ἤθους δὲ τυχὼν ἀγριωτέρου καὶ ἀλαζονείᾳ χρώμενος πολλὰ δεινὰ τοῖς Κωνσταντινουπολίταις παρέσχεν. καὶ ἡ σκῆψις ὡς εὔλογος· ἠνάγκαζε γὰρ τοὺς πάντας τῇ τῆς πρεσβυτέρας Ῥώμης ὑποκύψαι ὑποταγῇ. ἐντεῦθεν καθείργνυντο μοναχοί, ἱερεῖς ἐδεσμοῦντο, καὶ ναὸς ἅπας ἐκέκλειστο. καὶ ἦν ἐν αὐτῷ δυοῖν θάτερον, ἢ ὁμολογῆσαι τὸν πάπαν πρῶτον*

τε ὥστὲ καὶ σήτει L 1 *κατηνάγκασεν*] *κατηνάγκαζεν* L ‖ *ἀπ'*] *ἀπὸ* L 2 *μακροδιάστατον*] *μάκρον διάστατον* L corr. d 5 *γοῦν*] *δὲ* L ‖ *ἄστεος*] *ἄστεως* a 8 *καὶ εἰς*—9 *γαμβρόν*] *γαμβρὸν ἐπὶ θυγατρὶ προσελάβετο* L 9 *πάντας δὲ*] *πάντοτε* L 10 *Ἐρρῆς* a *ἐρῆς* VL *ἔρρης* d 13 *μερῶν* om. L ‖ *αὐτοῖς* post *φυλακὴν* pos. L ‖ *ἐνεπίστευσε*] *ἐνεπίστευσεν* La 14 *Ἐρρῆ* a *ἐρῆ* V *ἔρε* L *ἔρρη* d 15 *πρὸς*] *πρὸς τοῦ πάπα* (*παπᾶ* d) *πρὸς* L 16 *Πελάγιος*] *πελάγιον* La 17 *ἐρυθροβαφῆ*] *ἐρυθροπαφῆ* L corr. d 20 *τυχὼν*] *τυχόντος* La ‖ *ἀγριωτέρου*] *ἀθεωτέρου* L ‖ *ἀλαζονείᾳ χρώμενος*] *ἀλαζωνικοῦ* L ‖ *δεινὰ*—21 *παρέσχεν*] *πολλοῖς παρέσχε κακά* L 24 *ἅπας*] *ἅπαν* L ‖ *ἐκέκλειστο*] *ἐγκέκλειστο* V 25 post *ὁμολογῆσαι* add. *καὶ λέγειν καὶ πιστεύειν* L

ἀρχιερέα, καὶ τούτου τὴν μνήμην ἐν ἱεροτελεστίαις ἐκφωνεῖν, ἢ θάνατον εἶναι τῷ μὴ διαπραξαμένῳ τὸ ἐπιτίμιον. τοῦτο εἰς βαρυθυμίαν ἦγε τοὺς οἰκήτορας τῆς Κωνσταντίνου, καὶ μάλιστα τῶν ἄλλων τοὺς προύχοντας. οἳ καὶ πρὸς τὸν βασιλεύοντα Ἐρρῆν ἀφιγμένοι 'ἡμεῖς μέν,' ἔφασαν, 'ἄλλου γεγονότες γένους καὶ ἄλλον ἀρχιερέα ἔχοντες ἑαυτοὺς τῷ κράτει σου ὑπετάξαμεν, ὥστε σωματικῶς κατάρχειν ἡμῶν, οὐ μήν γε ψυχικῶς ἢ πνευματικῶς· σοῦ μὲν γὰρ ἐν πολέμῳ ὑπερμαχεῖσθαι τῶν ἀναγκαίων, τῶν δ' ἡμετέρων ἐκστῆναι σεβασμάτων καὶ θρησκευμάτων τῶν ἀδυνάτων πάντῃ καθέστηκεν. ἢ γοῦν λῦσον ἡμῖν τὰ ἐπελθόντα δεινά, ἢ ἄφες ὡς ἐλευθέρους ἐν τοῖς ἰθαγενέσιν ἀφῖχθαι.' ταῦτ' εἶπον, κἀκεῖνος μὴ βουλόμενος ἐν στερήσει γενέσθαι τοσούτων καλῶν κἀγαθῶν ἀνθρώπων, καὶ ἄκοντος τοῦ εἰρημένου λεγάτου τούς τε ναοὺς ἀνέῳξε καὶ τοὺς ὅσοι ταῖς εἱρκταῖς ἦσαν κατισχημένοι μοναχούς τε καὶ ἱερεῖς ἀπολέλυκε. πολλοὶ δὲ τῶν μοναχῶν προεξιόντες τῆς Κωνσταντίνου τῷ βασιλεῖ Θεοδώρῳ προσῄεσαν, καὶ αὐτοῖς προστάξει τούτου μοναὶ ἐπεδίδοντο. καὶ πρεσβύτεροι δὲ πρὸς τὴν Νίκαιαν ἀπιόντες οἱ μὲν τῷ πατριαρχικῷ κλήρῳ συγκατελέγησαν, οἱ δὲ θείοις ναοῖς ἐνασμενίσαντες ἐλευθέρως ἐβίωσαν.

18. Τοῦ Ἐρρῆ δὲ τελευτήσαντος ὁ ἀδελφὸς αὐτοῦ Ῥομπέρ-

---

2 διαπραξαμένῳ] ἐξεπραξάμενῳ L 4 μάλιστα τῶν ἄλλων] μᾶλλον L 5 Ἐρρῆν] τὸν ἐρρῆν a ἐρῆν VL ἔρρην d 7 κατάρχειν] κατάρχῃ L corr. d 8 πολέμῳ] πολέμοις La 9 ὑπερμαχεῖσθαι] ὑπερμάχεσθαι L ‖ δ'] δὲ La 10 καὶ θρησκευμάτων om. L 12 ὡς — ἀφῖχθαι] τοῖς ἔθεσιν ἡμῶν ἔχεσθαι L ‖ ταῦτ' εἶπον] ταῦτα τ' ἀνήνεγκον L 13 ἐν — 14 ἀνθρώπων] λυπῆσαι τοσούτους ἀγαθοὺς ἄνδρας L 15 καὶ τοὺς — 16 ἱερεῖς] ὅσους τε εἱρκταὶ (εἷρκται L εἵρηται d) εἶχον L 16 μοναχούς] μοναχοί a ‖ πολλοὶ] καὶ τούτων δ' οὕτω οἰκονομηθέντων καὶ πάλιν πολλοὶ L 17 δὲ τῶν] τῶν ἱερομοναχῶν καὶ L ‖ προεξιόντες τῆς Κωνσταντίνου om. L ‖ Κωνσταντίνου] Κωνσταντινουπόλεως a 18 Θεοδώρῳ προσῄεσαν] Θεοδώρῳ προσίεσαν a κατέφυγον θεοδώρῳ L ‖ αὐτοῖς — 21 ἐβίωσαν] μονὰς ἐκεῖ ἔλαβον καὶ διέμειναν, ὑπερήφανον γνώμην καὶ θηριώδη λεγάτου καταμαθόντες, καὶ ἐν ἐλευθερίᾳ καὶ πρώτοις ἔθεσιν ἁγίοις διεβίωσαν. 22 Τοῦ — δὲ] οὕτως εὐγνώμων ἦν ὁ ἐρῆς (ἔρρης d). οὗ δὴ L ‖ Ἐρρῆ a ἐρῆ V ‖ post

τος μαλακώτερον ἐχρᾶτο τοῖς πράγμασι. τούτου τὴν ἀδελφὴν εἰς γαμετὴν εἰλήφει ὁ βασιλεύς. οὐ πολλοὶ παρῆλθον ἐνιαυτοί, καὶ ἐπεὶ ὁ τῆς Κωνσταντίνου βασιλεὺς Ῥομπέρτος οὐκ ἔφθασε συζυγῆναι γυναικί, παράνομόν τι πρᾶγμα βεβούληται ὁ βασιλεὺς διαπράξασθαι· ἐπὶ γὰρ τῇ θυγατρὶ αὐτοῦ Εὐδοκίᾳ προλαβέσθαι τουτονὶ γαμβρὸν ἠρετίσατο. ἔνθεν τοι καὶ ἔρις ἐκ τοῦ τότε πατριαρχοῦντος Μανουὴλ τῷ βασιλεῖ ξυμβεβήκει μηδ' ὅλως τῇ τοιαύτῃ ἀθεσμογαμίᾳ συγκατανεύσαντος. ἀλλ' οὐκ ἔφθασεν ὁ βασιλεὺς τέρματι δοῦναι τὸ βούλημα· μήπω γὰρ στείλας ταύτην εἰς Κωνσταντίνου, ὡς ηὐτρέπισε, καταλύει τὸν βίον, τὴν βασιλείαν καταλιπὼν τῷ γαμβρῷ αὐτοῦ Ἰωάννῃ τῷ Δούκᾳ· οὐ γὰρ εἶχεν ἄρρενα παῖδα εἰς ἥβην ἐλθόντα. ὃν γὰρ ἐκ τῆς βασιλίδος Ἄννης ἔσχηκεν ἄρρενα παῖδα τεθνάναι προύφθασεν, ἐκ δὲ τῆς ἐξ Ἀρμενίων ὡρμημένης ἓν παιδίον ἄρρεν πεποίηκεν, ὅπερ ὀκταετὲς ἦν, ἡνίκα ὁ βασιλεὺς καὶ πατὴρ αὐτοῦ ἐτεθνήκει. διὰ τὸ γοῦν ἀμοιρεῖν αὐτὸν ἄρρενος ἐνήβου γονῆς ὁ ἐπὶ τῇ θυγατρὶ γαμβρὸς αὐτοῦ τῆς βασιλείας κληρονομεῖ. ἦν δὲ ὁ Λάσκαρις μη' ἐτῶν καὶ πρός, ἐλάττων δὲ τῶν ν', βασιλεύσας ἐκ τούτων ἔτη ιη', τὸ μὲν σῶμα μικρός, οὐκ ἄγαν

Ῥομπέρτος add. διεδέξατο L 1 ἐχρᾶτο] χρώμενος L 2 post βασιλεὺς add. θεόδωρος L 3 ὁ — βασιλεὺς] οὗτος ὁ — βασιλεὺς post ῥομπέρτος pos. L ‖ Κωνσταντίνου] κωνσταντινουπόλεως a 4 βεβούληται] βούλεται L βεβούλευται a 5 ὁ βασιλεὺς] ὁ βασιλεὺς θεόδωρος post διαπράξασθαι pos. L ‖ ἐπὶ] ἐπεὶ a 6 προλαβέσθαι VL προσλαβέσθαι scrib. ‖ τουτονὶ] τοῦτον L 7 τοι] τι a ‖ ἔρις] ἐρεῖς L ‖ ἐκ] ἀπὸ L 8 ξυμβεβήκει] ἀντιλέλεκται, τοῦ L ‖ συγκατανεύσαντος. ἀλλ'] συγκατανεῦσαι τέλος. καὶ L 9 τέρματι — 10 βούλημα] τοῦτο ἐργματίσαι (τερματίσαι corr. d) θεοῦ ἀπαγορεύοντος L 11 ηὐτρέπισε] καὶ ηὐτρέπιζε (ηὐτρέπισε d) L 12 τῷ — αὐτοῦ post Δούκᾳ pos. La ‖ Δούκᾳ] δουκὶ L ‖ εἶχεν] ἔνηβον εἶχεν La 13 εἰς — 14 προύφθασεν] οὐδ' ἀπὸ τῆς βασιλίδος ἄννης L 14 δὲ] τε L 15 ὡρμημένης ἓν om. L ‖ ἄρρεν — ὅπερ om. L 16 ἦν — ἐτεθνήκει om. L 17 τὸ om. a ‖ τὸ — γονῆς] τοι τοῦτο καὶ L 18 τῇ om. L ‖ αὐτοῦ τῆς om. L ‖ τῆς βασιλείας] βασιλέα a ‖ κληρονομεῖ] διάδοχος L 19 ὁ om. L ‖ μή post ἐτῶν pos. L ‖ καὶ — 20 τούτων] ἐβασίλευσε δὲ L

δέ, μελάγχρους, ἐφ' ἱκανὸν καθειμένον ἔχων τὸ γένειον καὶ περὶ τὸ ἄκρον σχιζόμενον, ἐπ' ὀλίγον ἑτερόφθαλμος, περὶ τὰς μάχας ὀξύς, θυμοῦ τε καὶ ἀφροδισίων ἡττώμενος, ἐλευθεριώτερος ἐν ταῖς δωρεαῖς· οἷς γὰρ ἂν βούλοιτο, πολὺ τὸ χρυσίον ἐδίδοτο. τεταλαιπώρηκε δὲ πάμπαν ἐν ταῖς μάχαις ταῖς πρὸς Ἰταλοὺς καὶ τοὺς Πέρσας. ἀρχὴ γοῦν οὗτος ἐγεγόνει τῆς τῶν Ῥωμαίων ἀρχῆς, ᾧ καὶ πολλὴν χάριν ὤφλειν τοῖς Ῥωμαίοις δέον καθέστηκε. κατετέθη δὲ ὁ νεκρὸς αὐτοῦ ἐν τῇ τοῦ Ὑακίνθου μονῇ, ἔνθα καὶ ὁ βασιλεὺς Ἀλέξιος τέθαπται καὶ ἡ βασιλὶς Ἄννα, ἡ τούτου σύζυγος.

19. *Εἶτα ἐπιλαμβάνεται τῶν Ῥωμαϊκῶν σκήπτρων Ἰωάννης Δούκας δὲ Βατάτζης, γαμβρὸς αὐτοῦ, στεφθεὶς παρὰ τοῦ πατριάρχου Μανουήλ, ὃς τὸν Μάξιμον διεδέξατο. μετὰ γὰρ τὴν τελευτὴν τοῦ πατριάρχου Μιχαὴλ ὁ Εἰρηνικὸς Θεόδωρος τῷ πατριαρχικῷ ἐνίδρυται θρόνῳ, ὃς καὶ Κωπᾶς ἐκαλεῖτο. τούτου δὲ μετ' ἐνιαυτοὺς ἓξ ἀπολιπόντος μοναχὸς Μάξιμος εἰς τὸν πατριαρχικὸν ἀνάγεται θρόνον, θεραπεύων τὴν γυναικωνῖτιδα. ἐπιβιοὺς δὲ μῆνας ἓξ τελευτᾷ, καὶ ὁ Μανουὴλ εἰς τὸν πατριαρχικὸν ἀνάγεται θρόνον, φιλόσοφος, ὡς ἐδόκει, ὢν καὶ ὑπὸ τῶν πολλῶν κατονομαζόμενος.*

---

1 *δὲ* om. L ‖ *μελάγχρους*] *μελάχρους* L corr. d ‖ *καθειμένον*] *καθημένον* VL corr. a post *ἔχων* pos. L **2** *περὶ*] *πρὸς* La **3** *μάχας*] *μοιχείας* L ‖ *ἐλευθεριώτερος*] *ἐλευθέριος* L **4** *ταῖς* om. L ‖ *δωρεαῖς*] *δώροις* L corr. d ‖ *οἷς*—**6** *Πέρσας*] *ταλαιπωρήσας ἐν πάσῃ μάχῃ ἰταλῶν καὶ περσῶν* L **6** *γοῦν*] *δ'* L ‖ *οὗτος*] *οὕτως* d **7** *ἐγεγόνει*] *εἰπεῖν* L ‖ *τῶν* om. La ‖ *ᾧ*—**8** *καθέστηκε* om. L ‖ *καὶ* om. a **8** *κατετέθη*] *κατεθέτη* L corr. d **9** *τοῦ Ὑακίνθου*] *ἰακίνθου* L *υἰακίνθου* d **10** *ἡ τούτου σύζυγος* om. L **12** *ἐπιλαμβάνεται* post *σκήπτρων* pos. L ‖ *Ῥωμαϊκῶν* om. L **13** *Δούκας δὲ*] *δοὺξ* La *Δ. ὁ?* **15** *γὰρ*—*Μιχαὴλ*] *δὲ τὸν θάνατον τοῦ μιχαὴλ τούτου* L ‖ *ὁ Εἰρηνικὸς* post *Θεόδωρος* pos. L **16** *τῷ*—*θρόνῳ*] *τὸν πατριαρχικὸν ἐκόσμησε θρόνον* L **17** *ἀπολιπόντος*] *πρὸς θεὸν ἐκδημήσαντος* L ‖ *μοναχὸς* post *Μάξιμος* pos. L **18** *θεραπεύων*] *ὡς θεραπεύειν εἰδὼς* L **19** *δὲ*] *δὲ μόνον* La ‖ *τελευτᾷ*] *ἀποθνήσκει* L **20** *ἀνάγεται*] *ἔρχεται* L **21** *ὡς ἐδόκει* om. L ‖ *ὑπὸ*—*κατονομαζόμενος*] *ὀνομαζόμενος οὕτω καὶ τοῖς πολλοῖς* L

20. Ἐπὶ δὲ τὰ τῶν Βουλγάρων αὖθις ὁ λόγος χωρεῖ. ὁ πρῶτος βασιλεὺς τῶν Βουλγάρων Ἀσὰν δύο ἔσχεν υἱοὺς τὸν Ἰωάννην καὶ τὸν Ἀλέξανδρον. ὁ Ἰωάννης φυγαδείᾳ χρησάμενος περὶ τὰ Ῥώσων χωρεῖ, ἐκεῖσέ τε χρόνον ἐφ' ἱκανὸν διαμείνας καί τινας τῶν συγκλύδων Ῥώσων ἐν ἑαυτῷ περιαγαγὼν τὴν πατρικὴν ἀνακαλεῖται κληρονομίαν· καὶ πολεμεῖ τῷ Βορίλᾳ καὶ νικᾷ τοῦτον καὶ χώρας ἐγκρατὴς οὐκ ὀλίγης γίνεται. ὁ δὲ Βορίλας ἔνδον εἰσέρχεται τοῦ Τρινόβου καὶ ἐπὶ ἑπτὰ ἔτεσι τειχήρης ἔσω πολιορκεῖται. ἐπεὶ δὲ ἀπέκαμον οἱ συνόντες αὐτῷ τῷ Ἀσὰν Ἰωάννῃ προσέρχονται. φεύγων δὲ ἁλίσκεται ὁ Βορίλας καὶ παρὰ τοῦ Ἰωάννου τυφλοῦται. καὶ οὕτως ἐγκρατὴς τῆς τῶν Βουλγάρων ἁπάσης ὁ Ἰωάννης ἐγένετο.

21. Ὁ δὲ Κομνηνὸς Θεόδωρος, ὃν πρὸ μικροῦ ὁ λόγος ἱστόρησε, μὴ θέλων μένειν ἐν τῇ οἰκείᾳ τάξει, ἀλλὰ τὰ τῆς βασιλείας σφετερισάμενος ἐπειδὴ τῆς Θεσσαλονίκης γέγονεν ἐγκρατής, πολλήν τε χώραν τῆς Ῥωμαΐδος ἐκ τῆς κεκρατημένης παρὰ τῶν Ἰταλῶν ὑφ' ἑαυτὸν ἐποιήσατο, ἔτι δὲ καὶ τῆς παρὰ τῶν Βουλγάρων κεχειρωμένης, πορφυρίδα τε ὑποδύεται καὶ ἐρυθρὰ ὑποβάλλεται πέδιλα, ἀντιστάντος αὐτῷ ἐπὶ τοῦτο στερρότατα τοῦ μητροπολίτου Θεσσαλονίκης Κωνσταντίνου τοῦ Μεσοποταμίτου, ὃν καὶ πολλαῖς κακουχίαις

---

1 αὖθις] καὶ πάλιν L ‖ χωρεῖ] χωρεῖται L 2 βασιλεὺς post Βουλγάρων pos. L ‖ ἔσχεν post υἱοὺς pos. L 3 τὸν bis om. L ‖ φυγαδείᾳ — 4 χωρεῖ] φυγὼν εἰς ῥώσων γένος L 4 ἐκεῖσε — 5 διαμείνας] διέμεινεν ἱκανῶς L 6 περιαγαγὼν] συναγαγὼν L 7 ἐγκρατὴς om. L 8 post γίνεται add. κύριος L 9 ἔσω] ἐμμένων L ‖ πολιορκεῖται] πολιορκήθη L corr. d 10 δὲ] δ' La 11 δὲ] δ' La ‖ τοῦ Ἰωάννου] τῷ ἰωάννῃ La 12 τυφλοῦται] ἐκτυφλοῦται L 13 ὁ — ἐγένετο] ἐγένετο γῆς ὁ ἰωάννης L 14 Θεόδωρος om. L 15 μὴ θέλων μένειν] μὴ ἐθέλοντα ἐμμέναι (ἐμμένειν d) post οἰκείᾳ pos. L 16 σφετερισάμενος] σφετερίζεσθαι L ‖ ἐπειδὴ] ἐπεὶ L ‖ τῆς Ῥωμαΐδος om. L 17 ἐκ τῆς] ἀπὸ τῆς L om. a 18 παρὰ τῶν] ὑπ' L ‖ ἑαυτὸν] αὐτὸν L 19 τῆς — κεχειρωμένης] τῶν βουλγάρων κεχειρωμένων L τῶν παρὰ τῶν βουλγάρων κεχειρημένων a 20 ἐρυθρὰ post πέδιλα pos. L ‖ ὑποβάλλεται om. L ‖ αὐτῷ om. L 21 τοῦτο] τούτοις L ‖ στερρότατα om. L ‖ μητροπολίτου post θεσσαλονίκης pos. L 22 πολλαῖς —

καὶ ἐξορίαις διὰ ταῦτα ὑπέβαλε τὸν κανονικῶν ἐθῶν ἀντεχόμενον. ὁ δὲ Βουλγαρίας ἀρχιεπίσκοπος Δημήτριος τὸ βασιλικὸν περιδιδύσκει τοῦτον διάδημα, ὡς ἔφασκεν αὐτόνομος ὢν καὶ μηδενὶ εὐθύνας ὀφείλων δοῦναι, καὶ διὰ τοῦτο ἐξουσίαν ἔχειν βασιλέα στέφειν. ἀναγορευθεὶς οὖν ὁ Θεόδωρος βασιλικῶς ἐχρᾶτο τοῖς πράγμασι, δεσπότας τε προυβάλλετο καὶ σεβαστοκράτορας, μεγάλους δομεστίκους καὶ πρωτοβεστιαρίους καὶ τὴν λοιπὴν πᾶσιν τάξιν βασιλικήν. ἀφυῶς δὲ ἔχων περὶ τοὺς τῆς βασιλείας θεσμοὺς Βουλγαρικώτερον αὐτοῖς προσεφέρετο. οὗτος οὐ μικρῶς τῷ βασιλεῖ ἀντεφέρετο Ἰωάννῃ. ὁ μὲν γὰρ ἠξίου αὐτὸν τῶν δευτερείων μετέχειν τῆς βασιλείας καὶ τῆς χώρας ἐγκρατῆ εἶναι, ὁ δὲ ἀντέβαινε στερεώτερον.

22. *Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης ἄρτι τῶν σκήπτρων ἐπειλημμένος καὶ ἐν στενῷ κομιδῇ οὖσαν τὴν τῶν Ῥωμαίων τεθεαμένος ἀρχήν, μάχην ποιεῖται μετὰ τῶν Ἰταλῶν. καὶ συνάγεται στράτευμα Λατινικὸν ἀξιόμαχον, οὗ καὶ προυμάχοντο οἱ τοῦ βασιλέως Θεοδώρου αὐτάδελφοι, οἱ σεβαστοκράτορες Ἀλέξιός τε καὶ Ἰσαάκιος. οὗτοι γὰρ ἅμα τῷ τὸν ἀδελφὸν αὐτῶν βασιλέα θανεῖν τὴν θυγατέρα αὐτοῦ Εὐδοκίαν λαβόντες ἀποδρᾶναι πρὸς τὴν Κωνσταντινούπολιν ἐβουλεύσαντο. ἀλλὰ τοῦ μὲν σκοποῦ ἥμαρτον, ἐκεῖνοι δὲ δραπέται ᾤχοντο. τῆς μάχης οὖν συρραγείσης ἐν τοῖς μέρεσι τοῦ Ποιμανηνοῦ, ὅπου καὶ ὁ ναὸς τοῦ ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων ἐγκαθίδρυται Μιχαήλ, νικᾷ κατὰ*

223,1 *ὑπέβαλε*] *διὰ τοῦτο ἐξορίᾳ καὶ κακουχίαις παρέδωκεν* L 1 *τὸν* VL *τῶν* scrib? 2 *Δημήτριος* om. L 3 *περιδιδύσκει τοῦτον*] *περιτίθησι σχῆμα καὶ* L 4 *δοῦναι*] *διδόναι* L 5 *ἐξουσίαν* post *ἔχειν* pos. La ‖ *στέφειν* om. V ‖ *οὖν* om. V 7 *προυβάλλετο*] *προυβάλετο* L ‖ post *μεγάλους* add. *τε* L 8 *τάξιν βασιλικήν*] *τῶν βασιλικῶν* ⟨*ὀφφικίων*⟩ *διανομὴν* L ⟨*ὀφφικίων*⟩ suppl. d 9 *δὲ*] *δ'* L ‖ *περὶ*] *πρὸς* L ‖ *τῆς βασιλείας*] *τοῦ βασιλέως* a 10 *αὐτοῖς προσεφέρετο*] *προσφερόμενος αὐτοῖς* L ‖ *οὗτος* om. L 11 *Ἰωάννῃ* om. L ‖ *αὐτὸν — 12 δευτερείων*] *αὐτῶν τῶν βουλγάρων* L 12 post *χώρας* add. *αὐτοῦ* L ‖ *ἐγκρατῆ* scripsi *ἐγκρατὴς* V *ἐγκρατὴν* L corr. d 15 *οὖσαν* om. L 16 *τεθεαμένος*] *τιθέμενος* L 17 *Λατινικὸν* om. L ‖ *οὗ*] *οὗ δὴ* L 21 *πρὸς τὴν*] *εἰς* L 22 *τοῦ*] *τούτου* L 23 *τῆς* om. L ‖ *οὖν* om. L ‖ *τοῖς* om. L

κράτος ὁ βασιλεύς. ὁ γὰρ βασιλεὺς δόρατος ἥψατο καὶ πολέμιον ἔβαλλε καὶ ἀνδρεῖον ἐν ἐκείνῳ τῷ πολέμῳ τὸ φρόνημα ἐνεδείξατο, οὐδὲ τοῖς πρὸ τοῦ ἀγνοούμενον. ἡ τοιαύτη νίκη εἰς μεγίστην αὔξησιν ἐγεγόνει τῆς τῶν Ῥωμαίων ἀρχῆς, τῶν Ἰταλῶν δὲ συστολὴν καὶ κατάπτωσιν. τοὺς μὲν γὰρ ζωγρίας τοὺς κρείττους αὐτῶν ἐν τῷ τοιούτῳ πολέμῳ ὁ βασιλεὺς κατέσχεν, ἀλλὰ δὴ καὶ τοὺς αὐταδέλφους Λασκαρίους, οὓς ἀποτυφλοῖ ἐν αἰτίαις εὑρών. ἄλλοι δὲ ξίφους ἔργον ἐγένοντο· μέρος δὲ Ἰταλῶν τὸ Σερρῶν κάστρον πολιορκοῦν ὑπὸ τοῦ Κομνηνοῦ Θεοδώρου δεσποζόμενον, ὡς ἔγνω τὴν ἧτταν ταύτην, ἀπέδρα. ἐντεῦθεν τὰ τῶν Ἰταλῶν ἐστενοῦντο. ὁ δὲ βασιλεὺς Ἰωάννης τὰ ὑπὸ ἐκείνων κρατούμενα τῶν Ῥωμαίων ἐπολιόρκει φρούρια, καὶ ἥλισκε ταῦτα. ὃς χρονιωτέρας ἐποίει τὰς πολιορκίας· οὐ γὰρ ἔαρι ἢ θέρει τε καὶ μετοπώρῳ, ἀλλ' ἐν μέσῳ χειμῶνος τὰς ἐφόδους ἐποιεῖτο, ἑλεπόλεις συνίστα καὶ τὰς ἐπάλξεις κατέβαλεν. ἀποκάμνοντες οἱ ἐντὸς τὰ μὲν προυδίδουν, ὅρκοις τὴν ζωὴν ἐξωνούμενοι, ἐκ δὲ τῶν ἔπιπτον μάχῃ καὶ καθείργνυντο. ἑάλω γοῦν Ποιμανηνὸν Λεντιανὰ Χαρίορος Βερβενίακον. ὁ γοῦν βασιλεὺς Ἰωάννης τριήρεις τε κατεσκεύασε καὶ περὶ τὸν Ἑλλήσποντον ταύτας ἔστησε, καὶ ἦν πολλὰ παρέχων Λατίνοις πράγματα, κατὰ δύσιν ὁρμώμενος καὶ λείαν τὰ ἐκείνων ποιούμενος, πορθῶν τε τὸ τῶν

3 ἐνεδείξατο] ἐνέδειξεν L 5 συστολὴν] ἀστολὴν L corr. d 6 ζωγρίας] ζωγρίους L ‖ τοὺς — 7 κατέσχεν] εἶχε τοὺς προκρίτας (προκρίτους d) L 8 ἄλλοι δὲ] ἄλλους δὲ καὶ εἰς L 9 ἐγένοντο om. L ‖ Σερρῶν] σουριον L corr. d 10 Κομνηνοῦ Θεοδώρου] θεοδώρου τοῦ κομνηνοῦ L 13 τῶν om. L ‖ ἐπολιόρκει post φρούρια pos. L 14 ὃς — ἐποίει] ὡς χρονιωτέρους ποιῶν L ‖ οὐδὲ] οὐ L 15 ἔαρι] ἐν ἔαρι L ‖ ἢ om. L ‖ καὶ] ἢ V ‖ post μετοπώρῳ add. μόνον L ‖ ἀλλ'] ἀλλὰ καὶ L 17 ἀποκάμνοντες — μὲν] κεκμηκότων τῶν ἔνδον. ὅθεν καὶ πολλὰ L 18 ἐξωνούμενοι — τῶν] ἀσφαλιζόμενοι. ἄλλοι δ' L ‖ καὶ καθείργνυντο] ἢ καὶ ἐδεσμοῦντο καὶ ἐδουλοῦντο. L 19 γοῦν] οὖν L ‖ Ποιμανηνὸν] ποιμανικὸν L corr. d ‖ Λεντιανὰ] λετιανοὶ L λεαντίνοι d 20 Βερβενίακον] βουρβενίασκον καὶ ἄλλα. L ‖ γοῦν] δὲ L ‖ κατεσκεύασε] καὶ κατασκευάσας V 21 περὶ — ἔστησε] ἐν τῷ ἑλλησπόντῳ ἔθηκε L 22 Λατίνοις] τοῖς Λατίνοις L ‖ κατὰ — ὁρμώμενος] κατάδοσιν L 23 τὸ om. L

Μαδύτων ἄστυ καὶ τὴν Καλλιούπολιν καὶ τὰ παραιγιάλια πάντα τοῖς Ἰταλοῖς ὑπόφορα ὄντα.

23. Ἐν τουτοισὶ δὲ ὄντος τοῦ βασιλέως Ἰωάννου καὶ ἀκρατῶς μαχομένου τοῖς Ἰταλοῖς κατά τε χέρσον καὶ θάλατταν, σκευωρεῖται τούτῳ ἐπιβουλή. ὁ δὲ ταῦτα συστησάμενος πρωτεξάδελφος τοῦ βασιλέως ὁ Νεστόγγος Ἀνδρόνικος, ἔχων συνεργὸν εἰς τοῦτο τὸν ἀδελφὸν Ἰσαάκιόν καὶ ἑτέρους τῶν ἐπιφανῶν οὐκ ὀλίγους. ἐγένετο δὲ ἡ ἐπιβουλὴ πολυήμερος. ἐν τῇ Λαμψάκῳ δὲ διάγων ὁ βασιλεὺς μανθάνει τοῦτο. πυρὶ γοῦν τὰς τριήρεις καταναλώσας, ἵνα μὴ τοῖς Ἰταλοῖς ὑπὸ χεῖρα γένοιντο, καὶ προυργιαίτερον τὸν ἔσωθεν πόλεμον κρίνας τοῦ ἔξωθεν, ἀπάρας ἐκεῖθεν περὶ τὴν Ἀχυράους ἀφίκετο, κἀκεῖσε τὴν ἐξέτασιν τῆς ἐπιβουλῆς ἐποιήσατο. καὶ ἦσαν οἱ συνωμόται πάντες ταῖς δίκαις ὑπεύθυνοι. ἀλλ' ὁ βασιλεὺς φιλανθρωπότερον τοῖς νόμοις ἐχρήσατο, καὶ τὸν μὲν Νεστόγγον Ἰσαάκιον τυφλώσει καταδικάζει καὶ χειροκοπήσει, ὡσαύτως καὶ τὸν Μακρηνόν· ἐξελέλεγκτο γὰρ ὡς πολλάκις ἐφώρμησε κατὰ νώτου τυγχάνων τοῦ βασιλέως ἐφελκύσαι τὴν σπάθην καὶ καταρράξαι καιρίαν. καὶ ἄλλους δέ τινας μικραῖς ποιναῖς καθυπέβαλεν, τοὺς δὲ πλείους ἀφῆκεν, εἱρκταῖς μέχρι τινὸς περικλείσας. καὶ αὐτὸν δὴ τὸν πρωτουργὸν τῆς ἐπιβουλῆς καὶ τῆς βασιλείας ἐφιέμενον ἐν τῷ φρουρίῳ τῆς Μαγνησίας συνέκλεισεν· ὃς καὶ ὕστερον ἀπέδρα περὶ Μουσουλμάνους καὶ ἦν ἐκεῖ

1 Μαδύτων] Μαδυτῶν ad ‖ τὴν om. L ‖ παραιγιάλια] παρ' αἰγιαλὸν L 2 τοῖς om. L 3 τουτοισὶ δὲ] τούτοις δ' L ‖ Ἰωάννου om. L 4 ἀκρατῶς] ἀνεκτῶς L ‖ θάλατταν] θάλασσαν La 5 σκευωρεῖται] σκαιωρεῖται VL ‖ τούτῳ] αὐτῷ L 6 post βασιλέως add. ἦν L ‖ Νεστόγγος] λεστόγγος L 9 τῇ om. L ‖ διάγων ὁ βασιλεὺς] τοῦ βασιλέως διάγοντος L 10 πυρὶ γοῦν] περὶ δὲ L ‖ ἵνα om. L 11 ὑπὸ χεῖρα] ὑπόχειρα L corr. d ‖ ἔσωθεν] ἔσω L 13 κἀκεῖσε — ἐποιήσατο om. L ‖ κἀκεῖσε] κἀκεῖθεν a 16 Νεστόγγον] λεστόγγον καὶ L ‖ τυφλώσει — 17 χειροκοπήσει] ἐκτυφλοῖ καὶ χειροκοπεῖ L ‖ Μακρηνὸν] μακρονὸν L 18 ἐξελέλεγκτο] ἐξελέλεκτο L 19 καταρράξαι] καταρῆξαι L 21 τοὺς δὲ πλείους] καὶ πλείστους L 22 δὴ] δὲ L ‖ τῆς ἐπιβουλῆς] τῶν ἐπιβούλων L ‖ καὶ] καὶ τὸν L ‖ τὸν — καὶ om. d 23 τῷ om. L ‖ συνέκλεισεν] ἔκλεισεν L 24 post Μουσουλμάνους add. καταφυγὼν L

μέχρι τῆς αὐτοῦ τελευτῆς. ἐντεῦθεν ὁ βασιλεὺς προσεκτικώτερον ἐχρᾶτο τοῖς πράγμασι φύλακάς τε περὶ αὐτὸν ἔστησε καὶ φρουρούς. μάλιστα δὲ περὶ ταῦτα συνέτεινεν ἡ βασιλὶς Εἰρήνη, ἀρρενωπώτερον τὸ ἦθος ἔχουσα καὶ τοῖς πᾶσι βασιλικώτερον ἐντυγχάνουσα.

24. *Εἰς συνθήκας δ' ἐθελήσαντες οἱ Ἰταλοὶ ἐλθεῖν ἀπέλυσαν πρὸς τὸν βασιλέα καὶ τὸ τῶν Πηγῶν ἄστυ. καὶ οὕτω δὴ μετ' αὐτῶν ὁ βασιλεὺς εἰρήνευσε, πάντων τῶν πρὸς νότον ὑποχωρησάντων αὐτῷ Λατίνων, ἔτι δὲ κρατούντων τὰ πρὸς βορρᾶν, τὰ πλησίον τῆς Κωνσταντίνου καὶ τῇ Νικομήδους πόλει ἐγγίζοντα.*

Οἱ δὲ τῆς Ἀδριανουπόλεως οἰκήτορες πρεσβείαν πρὸς τὸν βασιλέα ἐστείλαντο, ὅπως ἀποστείλῃ πρὸς αὐτοὺς στράτευμα καὶ τῆς Ἰταλῶν ἐλευθερώσῃ χειρός. ὁ δὲ τὸν πρωτοβεστιάριον Ἰσῆν, στράτευμα δοὺς αὐτῷ, ἐξαπέστειλε· συνῆν δὲ αὐτῷ καὶ ὁ Καμύτζης Ἰωάννης. οἳ καὶ διαπεράσαντες τὸν Ἑλλήσποντον καὶ διὰ τῆς Μακεδονίας διελθόντες εἰς Ἀδριανοῦ ἀφίκοντο. ἐντὸς δὲ γενόμενοι τῆς πόλεως διῆγον ἐκεῖσε. ἐλπὶς δὲ ἦν τῷ βασιλεῖ Ἰωάννῃ διὰ ταῦτα καὶ τῶν πέριξ ἐγκρατῆ γενέσθαι. ἀλλ' ὁ Κομνηνὸς Θεόδωρος, ὡς φθάσας ὁ λόγος ἐδήλωσε, τῶν ἐγγὺς πάντων γενόμενος ἐγκρατής, ἄνευ μέντοι τοῦ τῆς Ῥοδόπης ὄρους, ὅπερ καὶ Ἀχριδὸς ὠνόμασται, καὶ τῶν ἐν τούτῳ ἄστεων καὶ τοῦ Μελενίκου — τούτων γὰρ ἦρχεν ὁ Σθλάβος, προσ-

---

3 *δὲ* — 4 *Εἰρήνη*] *δ' ἐπάνω τούτων κατέστη εἰρήνη ἡ βασιλὶς* L 6 *εἰς*] *ἐς* a ‖ *οἱ* om. L ‖ *ἐλθεῖν* om. V *συνελθεῖν* suppl. a ‖ *ἀπέλυσαν*] *ἀπέδωκαν* L 7 *πρὸς τὸν βασιλέα*] *τῷ βασιλεῖ* L ‖ *Πηγῶν*] *ποιμανήνων* L 8 *ὁ βασιλεὺς* post *εἰρήνευσεν* pos. L 9 *τὰ πλησίον τῆς Κωνσταντίνου* om. L 10 *Κωνσταντίνου*] *Κωνσταντινουπόλεως* a ‖ *τῇ*] *τῇ τοῦ* a ‖ *Νικομήδους*] *νικομηδάνων* L *νικομηδαίων* d 12 *ἐστείλαντο*] *ἔπεμψον* L *ἔπεμψαν* d ‖ *πρὸς αὐτοὺς*] *αὐτοῖς* L 13 *Ἰταλῶν*] *τῶν ἰταλῶν* L 14 *Ἰσῆν*] *Ἰωάννην* d ‖ *στράτευμα* — *ἐξαπέστειλε*] *σὺν στρατεύματι πέμπει* L 15 *συνῆν δὲ*] *σὺν* L ‖ *ὁ* — *Ἰωάννης*] *ἰωάννην μακατηρὸν* L (*καματηρὸν* d) 17 *εἰς*] *ἐς* a ‖ *Ἀδριανοῦ*] *ἀδριανούπολιν* La 18 *τῷ βασιλεῖ* post *Ἰωάννῃ* pos. L ‖ *διὰ ταῦτα*] *δι' αὐτῶν* post *πέριξ* pos. L 19 *ἀλλ'*] *ἀλλὰ* La ‖ *ὁ Κομνηνὸς* post *Θεόδωρος* pos. L 20 *ὡς* — *ἐδήλωσε* om. L 21 *μέντοι*] *μὲν* a ‖ *τοῦ* om. L 22 *Ἀχριδὸς*] *ἀχρειδὸς* La 23 Μελενίκου] *μελενίκων* L

γενὴς ὢν τοῦ βασιλέως Ἀσὰν καὶ δεσπότης τετιμημένος ὑπὸ τοῦ βασιλέως Κωνσταντινουπόλεως Ἐρρῆ, οὗ καὶ τὴν ἐκ παλλακῆς θυγατέρα ἠγάγετο εἰς γυναῖκα. οὗτος ὁ Σθλάβος φρούριον τὸν Μελενίκον εὑρὼν ὀχυρὸν αὐτοκρατὴς ἦν, μηδενὶ τῶν πέριξ ἀρχόντων ὑποπεσών. ἐνίοτε μὲν γὰρ Ἰταλοῖς συνεμάχει, ἐνίοτε Βουλγάροις, ἐνίοτε δὲ καὶ τῷ Κομνηνῷ Θεοδώρῳ. τούτῳ συνεζύγη μετὰ θάνατον τῆς αὐτοῦ γαμετῆς ἡ τοῦ Πετραλίφα θυγάτηρ, τοῦ γυναικαδέλφου τοῦ Κομνηνοῦ Θεοδώρου. ἐπεὶ γοῦν Μοσυνόπολις καὶ Ξάνθεια καὶ ἡ Γρατζιανοὺς αὐτὴ ὑπὸ τοῦτον ἐτέλει, τὸ τῆς Σταγείρας ὑπερβὰς ὄρος, ὃ δὴ Μάκρην ὀνομάζουσιν οἱ πολλοί, τὰ ἐκεῖθεν τοῦ Ἕβρου κατέδραμεν, ἄνετα εὑρὼν πάντα, περὶ τὸ Διδυμότοιχον γεγονὼς ἐν οὐ πολλῷ χρόνῳ βασιλεὺς ἐπεφημίζετο τούτων. ἀφικόμενος δὲ καὶ περὶ τὴν Ἀδριανοῦ καὶ εὑρὼν τὸ στράτευμα τοῦ βασιλέως Ἰωάννου καὶ ἀπατηλοῖς λόγοις τοὺς οἰκήτορας ὑπελθών, ὡς πλουτίσειε τούτους ἄκρως καὶ τῶν ἄλλων Ῥωμαίων ὑπερυψώσειε, πείθει τὸ μὲν τοῦ βασιλέως ἐξαγαγεῖν στράτευμα, αὐτὸν δὲ εἰσαγαγεῖν. εἰσάγεται οὖν ἐπὶ ὅρκοις τοῦ μή τινα τούτων παθεῖν τι δεινόν. ἐξελθόντες οὖν ὁ μὲν πρωτοστράτωρ οὐδὲ ὅλως τὸν Κομνηνὸν Θεόδωρον τεθέαται — τοῦτο γὰρ δὴ αὐτοῖς συμπεφώνηται — ὁ δὲ Καμύτζης συντυχὼν αὐτῷ οὐκ ἀπέβη τοῦ ἵππου οὐδὲ ὡς βασιλέα προσεκύνησεν·

μελινίκου d 2 Ἐρρῆ] ἐρεῖ L corr. d 4 Μελενίκον] μελινίκον V Μελένικον ad ‖ αὐτοκρατὴς] αὐτοκρατῶν a αὐτεκράτησε L ‖ ἦν om. L 5 πέριξ ἀρχόντων] περιαρχόντων L corr. d ‖ μὲν] δὲ L om. a ‖ γὰρ om. L 6 ἐνίοτε] ἄλλοτε L ‖ ἐνίοτε δὲ καὶ τῷ] ποτὲ L 7 τούτῳ] ᾧ καὶ L 9 γοῦν] δὲ L ‖ Μοσυνόπολις] Μοσυνούπολις a ‖ Ξάνθεια] ξάνθια La 10 ἡ om. L ‖ Γρατζιανοὺς αὐτὴ] γρατζιανὰ La 11 ὑπερβὰς] ὑπερβόρεας L corr. d ‖ δὴ — πολλοί] δ' οἱ πολλοὶ μακρὸν ὀνομάζουσι L 13 περὶ] καὶ περὶ a καὶ πρὸς L ‖ Διδυμότοιχον] διδυμότειχον La 14 ἐπεφημίζετο τούτων] καὶ οὗτος ἐπεφημίζετο L ‖ ἀφικόμενος — 15 Ἰωάννου om. L 16 πλουτίσειε] πλουτήσαιε a 18 ἐξαγαγεῖν] ἐξαγαγὸν L ἐξαγάγειν d ‖ αὐτὸν] αὐτοῦ a ‖ δὲ] δ' La 19 εἰσαγαγεῖν] εἰσαγάγειν L ‖ τινα τούτων] οὐδένα post δεινόν pos. L 21 τὸν — τεθέαται] τεθέαται θεόδωρον τὸν κομνηνὸν L τεθέαται τὸν Κομνηνὸν Θεόδωρον a ‖ τοῦτο] τοῦ L corr. d

εἰς ὃ βαρυθυμήσας ὁ Κομνηνὸς μικροῦ ἂν καὶ πληγὰς ἐπέθετο τούτῳ. διὸ ἐτιμήθη παρὰ τοῦ βασιλέως μέγας ἑταιρειάρχης ὁ Καμύτζης. ὁ οὖν Κομνηνὸς καὶ τῆς Ἀδριανοῦ ἐγκρατὴς γεγονὼς πολλὰ παρέσχε τοῖς Ἰταλοῖς πράγματα. κατέδραμε γὰρ πάντα τὰ ὑπ' ἐκείνων κρατούμενα καὶ μέχρι καὶ αὐτῆς τῆς Βιζύης γενόμενος τὸ ἔξω κατέσχε τοῦ ἄστεος, καὶ μέχρι τῶν πυλῶν τῆς Κωνσταντίνου κατήντησε. τότε καὶ ὁ Ἀσὲλ δε Κάε, ὃς τῇ θυγατρὶ τοῦ βασιλέως Θεοδώρου τοῦ Λασκάρεως συνεζύγη, ὑπό τινος τῶν τοῦ Κομνηνοῦ Θεοδώρου δόρατι ἐπλήγη τὸν τράχηλον· καὶ τεθεράπευτο, καὶ ἦν τὸ ἀπὸ τοῦδε τραχυτέρα αὐτοῦ ἡ φωνή.

25. Ὁ δὲ Κομνηνὸς Θεόδωρος εἰς σπονδὰς συνῆλθε τῷ τῶν Βουλγάρων βασιλεῖ Ἰωάννῃ τῷ Ἀσάν, τὴν θυγατέρα αὐτοῦ Μαρίαν προσλαβόμενος ἐπὶ τῷ ἀδελφῷ τούτου Μανουήλ. εἶτα διαλύσας ταῦτα κατὰ Βουλγάρων χωρεῖ. παραμείψας οὖν τὴν Ἀδριανοῦ περὶ τὰ ἄνω τοῦ Ἕβρου τὴν πορείαν ἐποιεῖτο, ζητῶν μετὰ Βουλγάρων συρρῆξαι πόλεμον. καὶ ἐδόκει ὡς οἱ Βούλγαροι ὑποπτήξαντες οὐδὲ τὴν ὁρμὴν τῆς στρατιᾶς αὐτοῦ ὑποσταῖεν. ἀλλ' ὁ Ἀσὰν ταῖς ἐπιορκίαις τούτου τεθαρρηκὼς ὀλίγον συμμαχικὸν ἀπὸ Σκυθῶν εἰληφὼς ἐν τῇ σημαίᾳ τὸν ἔγγραφον ὅρκον τούτου ἀπαιωρήσας — καὶ περί που τὸν παρέβριον τόπον, ὃν Κλοκοτινίτζαν ὀνομάζουσι, ξυμβάλλουσι τὰ στρατεύματα. καὶ νικᾶται ὁ Ἄγγελος νέος Θεόδωρος, ὃς συλλαμβάνεται, καὶ οὐκ ὀλίγοι

---

2 διὸ] πλὴν καὶ πάλιν L 3 καὶ—4 ἐγκρατὴς post γεγονὼς pos. a 4 γεγονὼς] καταστὰς L 6 τῆς om. L ‖ Βιζύης] βυζίης V corr. a ‖ ἄστεος] ἄστεως ad 7 καὶ om. L 8 δε Κάε] δεκαὲ La ‖ ὃς om. a ‖ τῇ θυγατρὶ] τῆς θυγατρὸς La ‖ βασιλέως om. a ‖ Θεοδώρου τοῦ Λασκάρεως] Λασκαρέως Θεοδώρου a, om. L 9 συνεζύγη] ἀνὴρ ἦν L σύζυγος a ‖ ὑπό—10 Θεοδώρου om. L 14 Μανουήλ] τῷ μανουὴλ L 16 οὖν] δὲ L 17 ζητῶν] συζητῶν L ‖ συρρῆξαι] συνάψαι L 18 ἐδόκει] δὴ καὶ ἐδόθη L ‖ οἱ] καὶ L ‖ ὑποπτήξαντες οὐδὲ] ἄριστοι αὐτῶν κατεπλάγησαν ὅλως, οὔτε κἂν L 19 αὐτοῦ ὑποσταῖεν] ὑποστάντες L 20 Σκυθῶν] τῶν σκυθῶν La 21 ὅρκον post τούτου pos. L 22 Κλοκοτινίτζαν] Κλοκονίτζαν a 23 καὶ om. L 24 Θεόδωρος, ὃς om. L ‖ συλλαμβάνεται, καὶ] καὶ συλλαμβάνονται L

τῶν συγγενῶν αὐτοῦ καὶ τῶν ἐν τέλει τε καὶ λογάδων, καὶ τὰ ἐκείνων πάντα λεία τοῖς Βουλγάροις ἐγένοντο. φιλανθρωποτέρως δὲ ὁ Ἀσὰν διατεθεὶς τοὺς πλείους τῶν στρατευμάτων ἐλευθεροῖ, τάχα μὲν καὶ τὸ φιλάνθρωπον ἐνδεικνύμενος, τάχα δὲ καὶ τὸ συμφέρον τούτῳ πραγματευόμενος. ἐβούλετο γὰρ δεσπόσαι τῶν τοιούτων, οὗ καὶ τετύχηκεν. ἐπεὶ γὰρ κατ' αὐτῶν ἐχώρει, πάντες ἀναιμωτὶ τούτῳ ὑπέπιπτον, καὶ γίνεται μὲν ὑπ' αὐτὸν ἡ Ἁδριανοῦ, ἐκ τοῦ σχεδὸν δὲ καὶ τὸ Διδυμότοιχον, εἶτα Βολερὸν ἅπαν, Σέρραι, Πελαγονία καὶ Πρίλαπος· καὶ τὰ πέριξ τούτων κατέδραμε, καὶ τῆς μεγάλης Βλαχίας ἀλλὰ καὶ τοῦ Ἐλβάνου κατακυριεύει, καὶ μέχρι τοῦ Ἰλλυρικοῦ τὰς λείας ποιεῖ. ἐπεὶ δὲ πολὺ τοῦ βουλεύματος κατειργάσατο καὶ ὡς ἠγάπα τὰ κατ' αὐτὸν διέθετο, εἰς τοὺς οἰκείους ἐπανέζευξε τόπους, τινὰ μὲν τῶν φρουρίων καταλελοιπὼς ὑπὸ Ῥωμαίων δεσπόζεσθαι, τὰ πλείω δ' ὑφ' ἑαυτὸν ποιησάμενος καὶ στρατιώτας ἐν τούτοις τάξας καὶ στρατηγούς. ἔδοξεν οὖν τοῖς πᾶσι τότε καὶ θαυμαστὸς καὶ μακάριος. οὐ γὰρ ἐχρᾶτο μαχαίραις οὐδ' ἐχραίνετο φόνοις· ἔνθεν τοι καὶ παρὰ Ῥωμαίων ἐφιλεῖτο.

26. *Ἐφρουρεῖτο οὖν ὁ Ἄγγελος Θεόδωρος παρὰ τοῦ Ἀσὰν φιλοφρόνως, καὶ ἐπεὶ νεωτερίζεσθαι πεφώραται, ἐκτυφλοῖ αὐτὸν ὁ Ἁσάν. ὁ δὲ ἀδελφὸς τούτου Μανουὴλ ὁ Ἄγγελος, ὃν καὶ δεσπότην τετίμηκε, φυγῇ χρησάμενος περὶ τὴν*

---

1 *τῶν* om. L **2** *ἐγένοντο*] *ἐγένετο* L **5** *τούτῳ* om. L ‖ post *πραγματευόμενος* add. *αὐτοῦ σοφῶς* L **6** *δεσπόσαι—καὶ*] *δεσπότην αὐτῶν γενέσθαι ἐκεῖνον οὗ* L ‖ *οὗ*] *οὐ* a ‖ post *τετύχηκεν* add. *ὅλως* L **7** *κατ'—αὐτὸν* om. L ‖ *πάντες*] *πάντα* a **8** *Διδυμότοιχον*] *διδυμότειχον* La ‖ *εἶτα* et *ἅπαν* om. L **10** pr. *καὶ* om. L ‖ *τὰ*] *ἐν μέσῳ καὶ* L **11** *καὶ τῆς—Ἐλβάνου*] *ἀλλὰ καὶ τῆς βλαχίας αὐτῆς καὶ ἀλβάνου* L ‖ *καὶ τοῦ*] *καὶ* a **12** *ἐπεὶ δὲ*] *καὶ τὸ* L **13** *τὰ κατ' αὐτὸν* om. L **14** *ἐπανέζευξε* post *τόπους* pos. L **16** *δ'* om. L ‖ *ἑαυτὸν*] *αὐτὸν* La **17** *ἔδοξεν οὖν*] *καὶ ἔδοξε* L ‖ *τότε καὶ*] *τότε* a, om. L **18** *θαυμαστὸς καὶ μακάριος*] *μακαριστὸς καὶ θαυμάσιος* L *θαυμαστὸς καὶ μακαριστὸς* a **19** *ἔνθεν τοι*] *ὅθεν* L **21** *οὖν ὁ*] *δὲ* L **23** *τούτου*] αὐτοῦ L **24** φυγῇ—230,1 *ἀπήει*] *ἀπήει εἰς θεσσαλονίκην* αὐτὸν ἐπιφυγὼν L

Θεσσαλονίκην ἀπῄει, καὶ δεσπότης ὀνομαζόμενος ἐρυθροῖς γράμμασι τὰς αὐτοῦ γραφὰς ἐπεκύρου. πρὸς ὃν καὶ ἀπέσκωψέ τις τῶν πρέσβεων παρὰ τοῦ βασιλέως Ἰωάννου ἀποσταλείς, ὡς 'εἰς σὲ καὶ μᾶλλον τὸ εἰς Χριστὸν ψαλτῳδούμενον, σὲ τὸν βασιλέα καὶ δεσπότην.' καὶ ἦν μὲν τὸ ἀπὸ τοῦδε ὁ Ἄγγελος Μανουὴλ τῶν ἐναπολειφθεισῶν πρὸς τὰ δυτικὰ μέρη χωρῶν καὶ πόλεων ἐγκρατής, μὴ παρὰ τῶν Βουλγάρων τὸ σύνολον ἐνοχλούμενος, ἐπεὶ τῇ ἐκ παλλακίδος τοῦ Ἀσὰν συνεκοιτάζετο θυγατρί.

27. Ὁ δὲ Ῥομπέρτος ὁ τῆς Κωνσταντίνου βασιλεὺς τὸν Εὔριπον καταλαβὼν τετελεύτηκεν. ἐναπελείφθη δὲ ὁ ἀδελφὸς αὐτοῦ Βαλδουῖνος ἔτι ἀφῆλιξ ὤν. στέλλει οὖν πρεσβείαν πρὸς Ἰωάννην τὸν ὀνομαζόμενον ῥῆγα τῶν Ἱεροσολύμων, ὡς ἂν ἀφίκοιτο καὶ βασιλεὺς Κωνσταντινουπόλεως φημισθείη. ἐπιγαμβρεύσας ** δὲ τοῦτον αὐτῷ — εἶχε γὰρ καὶ θυγάτριον — καὶ ἵνα μετὰ τὴν τούτου ἀποβίωσιν βασιλεύσῃ πάλιν αὐτός. ἦν γὰρ ὁ ῥὴξ οὗτος περί που τὰ ὀγδοήκοντα καὶ πρὸς ἔτη, καὶ ὑπερωμίας. καταλαμβάνει οὖν τὴν Κωνσταντίνου ὁ ῥήξ. καὶ μὴ ἔχων λαὸν ἀξιόμαχον οὐκ εὐχερῶς εἶχεν ἐξιέναι, ἐπιγνοὺς τὸν βασιλέα Ἰωάννην στρατηγικώτατον ὄντα, ἐμέμφετο δὲ τῆς ἐγχειρήσεως ἑαυτόν, καὶ κακῶς ἔφασκε νοεῖν τοὺς λέγοντας αὐτὸν τῷ βασιλεῖ ἀντιφέρεσθαι. δύο οὖν ἐνιαυτοὺς ἐντὸς αὐτῆς διήνυσε, καὶ τριήρεις οἰκονομήσας καὶ στράτευμα κατὰ τὴν ἔξω ἐχώρησε, καὶ περὶ τὸ τοῦ Λαμψάκου ἐλλιμενίζει νεώριον, προσεχῶς τῷ τότε τοῦ βασιλέως Ἰωάννου ἐκ τῆς κατὰ τοῦ καίσαρος Γαβαλᾶ μάχης ὑποστρέψαντος, ὃν διὰ νεωτερισμὸν ἐμαχέσατο.

28. (—29.) Ὁ μὲν οὖν βασιλεὺς περὶ τὰ τῆς Σταδείας μέρη τὰς σκηνώσεις ποιούμενος τῷ Παλαιολόγῳ Ἀνδρονίκῳ,

---

1 ὀνομαζόμενος] ὀνομάζετο L 2 αὐτοῦ] αὐτοῦ d ‖ καὶ om. L 5 ἦν] ἦσαν L corr. d 8 ἐπεὶ] ἐπεὶ δὲ L ἐπειδὴ d 10 τὸν—28 βασιλεὺς om. L 11 ὁ om. a 15 αὐτῷ] αὐτῷ a ‖ καὶ θυγάτριον] θυγάτρια a 18 ὑπερωμίας] ὑπερόριος a ‖ Κωνσταντίνου] Κωνσταντινούπολιν a 26 μάχης om. a 28 Σταδείας] σταδίας ad ἀσίας L 29 σκηνώσεις ποιούμενος] σκηνὰς ἐποιήσατο καὶ (τῷ ἀνδρονίκῳ) L ‖ Ἀνδρονίκῳ om. L

ὃν μέγαν δομέστικον εἶχε, τὰ στρατεύματα παραδούς, καὶ περὶ τὴν νῆσον Ῥόδον τριήρεσι καὶ ναυσὶ στείλας, εἴ πως βριαρώτερον τὸν ἀποστάτην καταβλάψειε. καὶ ἐπεὶ ταῦτα κατὰ σκοπὸν συνέβη τῷ βασιλεῖ, χωρεῖ αὐτὸς πρὸς τὴν Λάμψακον καὶ περὶ τὴν Σιγρηνὴν τὰς σκηνὰς πήγνυσι.

30. Καταλαβὼν οὖν ὁ ῥὴξ τὴν Λάμψακον, περὶ τὴν Ὁλκὸν τὰς νῆας τούτου καθώρμισεν. ὁ δὲ βασιλεὺς Ἰωάννης ἐπεὶ μὴ εἶχε μεθ' ἑαυτοῦ λαὸν ἀξιόμαχον, μεθόδοις στρατηγικαῖς μεθ' ὧν εἶχεν ὀλίγων τὰς τῶν πολεμίων κινήσεις ἐκώλυεν. ἐξῆλθον οὖν οἱ Λατῖνοι καὶ ὁ ῥὴξ αὐτῶν Ἰωάννης καὶ ἐβάδισαν μὲν τόπους τινὰς παραιγιαλίους. οὐδὲ γὰρ ἠδύναντο μακρότερον τῶν νηῶν αὐτῶν ἀποστῆναι. ὁ γὰρ ἀντιστρατηγῶν αὐτοῖς βασιλεὺς ἐπηκολούθει. ὁ μὲν οὖν βασιλεὺς περὶ τὰς τῶν βουνῶν ὑπωρείας ἐποιεῖτο τὰς πορείας, περὶ δὲ τὰς ἠιόνας οἱ Ἰταλοί. ὀλίγον οὖν χρόνον διαβιβάσαντες ἐν τῇ τοῦ βασιλέως παραιγιαλίῳ χώρᾳ — οὔπω γὰρ παρέδραμον τέσσαρες μῆνες — καὶ ὀλίγον τόπον πατήσαντες — ἀπὸ γὰρ τῆς Λαμψάκου μέχρι καὶ τῶν Κεγχρεῶν ἀφίκοντο — μικρὸν ἢ μηδὲν λυμήναντες — προύφθασε γὰρ ὁ βασιλεὺς τὰ χρειώδη πάντα τοῖς ὑψηλοτέροις τόποις διασώσασθαι — περὶ τὸ τῶν Πηγῶν ἐχώρησαν ἄστυ, ἓν μόνον φρούριον χειρωσάμενοι, ὃ Κεραμιδᾶς ὀνομάζεται, περί που τοὺς βουνοὺς διακείμενον τῆς Κυζίκου. εἶχον δὲ καὶ τὰς ναῦς αὐτῶν ἑτοίμους εἰς τὴν Κωνσταντίνου παλινοστῆσαι,

---

1 ὃν — εἶχε] τῷ μεγάλῳ δομεστίκῳ L ‖ παραδοὺς καὶ περὶ] ἔδωκεν εἰς L 2 τὴν νῆσον] νῆσον τὴν L ‖ στείλας] χωρεῖ L 3 βριαρώτερον] βαρύτερον L 4 τῷ — τὴν] αὐτῷ, αὐτὸς ἀπῆλθεν εἰς L 5 περὶ] παρὰ La ‖ Σιγρηνὴν] σιγρίνην L Σιγρινὴν a 7 καθώρμισεν] καθώρμησεν L 8 μὴ] οὐκ L 9 ἐκώλυεν] ἐκώλυσεν La 10 ὁ — αὐτῶν post Ἰωάννης pos. L 11 ἐβάδισαν] ἐβάδιζον d ‖ ἠδύναντο] ἐδύναντο d 14 περὶ] παρὰ L ‖ ἐποιεῖτο post πορείας pos. L 15 δὲ om. L ‖ οἱ] δ' οἱ L 18 γὰρ τῆς] γὰρ τοῦ a, om. L ‖ μέχρι καὶ] ἄχρις καὶ a καὶ ἕως L ‖ τῶν om. L ‖ Κεγχρεῶν] κεγχρέων La 20 διασώσασθαι] διασώσας L 21 περὶ] παρὰ L ‖ ἐχώρησαν[ἐχώρησεν a ἐχώρησεν post ἄστυ pos. L 22 χειρωσάμενοι] χειρωσάμενος La ‖ Κεραμιδᾶς] κεραμίδων L Κεραμίδας a ‖ ὀνυμάζεται] κατονομάζουσι L

καὶ ᾤχοντο ἂν αἰσχύνης καὶ ζημίας πεπληρωμένοι, εἰ μὴ τοῦ τῶν Πηγῶν ἄστεος περιεγένοντο τῇ κλοπῇ. ἀνὴρ γάρ τις δεινὸς ἀναρριχᾶσθαι πρὸς ἀκρονυχίαν πετρῶν ὁδὸν ἐφεῦρε, δι' ἧς ὡπλισμένους Λατίνους εἰς τὴν ἀκρόπολιν νυκτὸς ἀνεβίβασεν. οἳ καὶ τοῖς φύλαξιν αἴφνης ἐπεισπεσόντες αὐτούς τε ἐφόνευσαν καὶ εἷλον τὸ ἄστυ. τοῦτο πρὸς βραχὺ μὲν εἰς δειλίαν Ῥωμαίους ἐνέβαλε. πλήρης γὰρ ἦν ἡ πόλις ἀνδρῶν καλῶν τε καὶ ἀγαθῶν. ἀλλ' ἡ τοῦ βασιλέως στρατηγία τὴν δειλίαν ἀπετινάξατο.

31. (—32.) Οὗτος γὰρ οἷα δεινὸς ἐφευρεῖν μεθόδους ἐν περιστάσεσι σῶσαί τε τὸ οἰκεῖον καὶ ἀναχαιτίσαι τὸ ὑπεναντίον, ὡς ἂν δι' ἀμφοῖν τὰ οἰκεῖα κρατύνοιτο, εὑρίσκει τρόπον ἀποπληρωτικὸν τοῖν δυοῖν. ἐγεννήθη γὰρ αὐτῷ υἱὸς ἐκ τῆς βασιλίδος Εἰρήνης, ᾧ καὶ κλῆσις τοῦ πάππου Θεοδώρου ἐπετέθειτο. ἑνδέκατον δέ οἱ τότε ἔτος ἠνύετο. καὶ ὁ Ἀσὰν παρὰ τῆς ἐξ Οὔγγρων γαμηθείσης αὐτῷ θυγάτριον ἔσχεν, Ἑλένη αὐτῇ τοὔνομα. στέλλει οὖν πρὸς τοῦτον ὁ βασιλεὺς ὑπὲρ μνηστείας τῶν παίδων, καὶ δέχεται ὁ Ἀσὰν τὴν πρεσβείαν.

33. Ἐπεὶ δὲ αἱ σπονδαὶ γένοιντο, διαπεραιοῦται ἐκ Λαμψάκου μετὰ τῶν οἰκείων ὁ βασιλεὺς εἰς Καλλιούπολιν καὶ πολεμεῖ τῷ ἄστει ἑλεπόλεις στήσας, καὶ ἐν οὐ πολλῷ χρόνῳ χειροῦται τοῦτο, τῆς τῶν Βενετίκων ἀνασώσας χειρός. καταλαμβάνει τὴν Καλλιούπολιν καὶ ὁ Ἀσὰν σὺν τῇ οἰκείᾳ

---

1 αἰσχύνης καὶ] μετ' αἰσχύνης L 2 τῇ om. L 3 ἀκρονυχίαν πετρῶν] ἀκροννυχίων πετῶν L 4 Λατίνους] ἂν τοὺς Λατίνους L ἀνθρώπους Λατίνους a d 10 ἐφευρεῖν] ἐφεύρων L 12 κρατύνοιτο] κρατοῖτο L κραταίοιτο d 13 ἀπι πληρωτικὸν] ἀποπληρωτὴν L ‖ τοῖν δυοῖν] τὸν δρόμον ἐκεῖνον L ‖ ἐγεννήθη La ἐγενήθη V ‖ γὰρ] δ' L 15 Θεοδώρου om. L ‖ ἐπετέθειτο] ὑπετέθη L ἐπετέθη d ἐπεθέτετο a ‖ ἠνύετο] διηνύετο La 17 αὐτῇ om. L ‖ στέλλει οὖν] ἀποστέλλει τοίνυν L 19 ὁ Ἀσὰν post πρεσβείαν pos. L 20 δὲ] δ' a ‖ αἱ σπονδαὶ post ἐγένοντο pos. L ‖ γένοιντο] ἐγένοντο La 21 εἰς] εἰς τὴν L 22 τῷ ἄστει] τὸ ἄστυ La 23 Βενετίκων] βενετικῶν L ‖ ἀνασώσας χειρός] ἀναχωρήσας αὐτῷ χειρὸς καὶ ἀνασώσας τῇ βασιλείᾳ ὡς ἦν L 24 τὴν Καλλιούπολιν post θυγατρὶ pos. L ‖ Ἀσὰν] βασιλεὺς ἀσὰν L ‖ οἰκείᾳ] ἰδίᾳ L

γαμετῇ καὶ τῇ θυγατρὶ καὶ συνέρχεται τῷ βασιλεῖ, καὶ τὰ εἰς φιλίαν ἀμφότεροι διαπράττονται. ὁ οὖν Ἀσὰν τὴν αὐτοῦ γαμετὴν καὶ τὸ θυγάτριον λαβὼν διαπεραιοῦται εἰς Λάμψακον, ἔνθα ἦν ἡ βασιλὶς Εἰρήνη, καὶ πληροῦται τὰ τοῦ κήδους τῶν παίδων τοῦ πατριάρχου Γερμανοῦ τὰ τῆς ἱεροτελεστίας τελέσαντος. τότε καὶ ὁ Τρινόβου ἀρχιερεὺς ὑπὸ τὸν τῆς Κωνσταντίνου τελῶν αὐτονομίᾳ τετίμητο, βασιλικῷ καὶ συνοδικῷ τῷ θεσπίσματι. ἔπειτα ἡ μὲν βασιλὶς Εἰρήνη τὸν υἱὸν μετὰ τῆς νύμφης λαβοῦσα τοῖς ἑῴοις διητᾶτο χωρίοις, ἡ δὲ τοῦ Ἀσὰν σύζυγος ἐν τοῖς οἰκείοις ὑπέστρεψεν. ὁ δὲ βασιλεὺς Ἰωάννης καὶ ὁ Ἀσὰν τὰς οἰκείας δυνάμεις διειληφότες, τὴν δυτικὴν κατέδραμον χώραν, ὁπόση ἦν Λατίνοις δουλεύουσα, καὶ Σκυθῶν ἐρημίαν, ὡς ἔπος εἰπεῖν, τὴν πᾶσαν εἰργάσαντο. σφίσι δὲ αὐτοῖς καὶ τὴν χώραν καὶ τὰ ἄστη διεμερίσαντο· καὶ Καλλιούπολις μέν, ἐπεὶ καὶ πρὸ τῆς συνελεύσεως τοῦ Ἀσὰν ἑάλω, ὑπὸ τὸν βασιλέα ἐγένετο, ὁμοίως καὶ Μάδυτα καὶ πᾶσα ἡ ὀνομαζομένη Χερρόνησος· εἷλε δὲ ὁ βασιλεὺς καὶ τὸ τοῦ Κισσοῦ φρούριον, καὶ μέχρι τοῦ ποταμοῦ Μαρίτζας τὰ σύνορα ἔθετο· ἐκράτησε δὲ τοῦ ὄρους Γάνου καὶ ἐν αὐτῷ ἐδείματο πολίχνιον, ἔνθα καὶ τὸν Κοτέρτζην Νικόλαον φυλάττειν ἐξέπεμψε καὶ πράγματα παρέχειν Λατίνοις τοῖς ἐν τῇ Τζουρουλῷ· τοῦτο δὲ τὸ τῆς Τζουρουλῶ οὐ μετὰ πολὺν χρόνον ὑπὸ τῶν Ῥωμαϊκῶν ἑάλω δυνάμεων. ὁ δὲ Ἀσὰν τὰ ὑπεράνω τῶν εἰρημένων χώρων καὶ πρὸς βορρᾶν νεύοντα ὑφ'

---

1 τῇ om. L 2 εἰς] ἐς a ‖ οὖν] μὲν οὖν L 5 τοῦ πατριάρχου] παρὰ τοῦ πατριάρχου L 6 τελέσαντος] τελήσαντος L 7 Κωνσταντίνου] Κωνσταντινουπόλεως La 8 τῷ θεσπίσματι] ψηφίσματι La 9 διητᾶτο post χωρίοις pos. L 10 οἰκείας] οἰκείας ἕκαστος L 12 τὴν πᾶσαν om. L 14 εἰργάσαντο — 15 Καλλιούπολις] ἐποιήσαντο καὶ καλλιούπολιν L 16 ἑάλω] ἑάλω καὶ L ‖ τὸν βασιλέα] τῶν βασιλέων L 17 Μάδυτα] μάδυθα L 19 τοῦ — 20 ἔθετο] ὁρίων μερίτζας τοῦ ποταμοῦ L 20 δὲ] δὲ καὶ L ‖ post ἐδείματο add. καὶ L 21 Κοτέρτζην] κοτζέρτζην V corr. a κυτούρτζην L ‖ Νικόλαον om. L, add. d ‖ ἐξέπεμψε] ἐνέταξε L 24 δὲ post Ἀσὰν pos. L 25 χώρων] χωρίων La ‖ πρὸς] τὰ πρὸς La

ἑαυτὸν ἔσχε. μέχρι μὲν οὖν καὶ αὐτῶν τῶν τειχῶν τῆς Κωνσταντίνου καὶ ἀμφότεροι κατηντήκεσαν, τοῦ ῥηγὸς Ἰωάννου ἐπ' αὐτῶν καθεζομένου καὶ καθορῶντος, καὶ πτοίαν πολλὴν τοῖς Λατίνοις ἐνέβαλον, καὶ ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτοὺς ἔθεντο. ἐπεὶ δ' ὁ χειμὼν ἤγγιζεν ἀλλήλοις συνταξάμενοι ὁ μὲν Ἀσὰν εἰς τὰ οἴκοι, ὁ δὲ βασιλεὺς εἰς ἕω διεπέρασεν.

34. *Ὁ δὲ ῥὴξ Ἰωάννης μικρὸν ἐπιβιώσας ἐξ ἀνθρώπων ἐγένετο, τῷ γαμβρῷ Βαλδουίνῳ τὴν Κωνσταντίνου ὡς κλῆρον καταλιπών. ὁ δὲ Ἀσὰν μετάμελος ἐπὶ ταῖς συνθήκαις τοῦ βασιλέως φανεὶς τρόπον ἐζήτει, δι' οὗ τὸ θυγάτριον τοῦ συζύγου ἀποσπάσει. τῶν γὰρ Ῥωμαίων ἐδεδίει πάνυ τὴν προκοπήν. σκέπτεται γοῦν αἰτίαν καὶ στέλλει πρὸς τὴν βασιλίδα, ὡς ἐπεὶ πλησιάσειε τῇ Ἀδριανοῦ, βούλεται αὐτὸς καὶ ἡ σύζυγος τὸ θυγάτριον ἰδεῖν καὶ πατρικῶς περιπτύξασθαι. οἱ οὖν βασιλεῖς καίτοι ἐπιγνόντες τὴν σκευωρίαν, ὅμως πέμπουσι πρὸς τὸν Ἀσὰν τὴν θυγατέρα, τοῦτ' εἰρηκότες, ὡς εἰ τὴν θυγατέρα κατάσχοι, ἔσται θεὸς τιμωρός. καὶ ὁ Βούλγαρος λαβὼν τὴν θυγατέρα ᾤχετο, τοὺς ἑπομένους αὐτῇ πάντας ὀπισθορμήτους ποιήσας. καὶ τὸν Αἷμον διαβὰς ἐχώρει περὶ τὸν Τρίνοβον, κλαιούσης μὲν τῆς αὐτοῦ θυγατέρος καὶ ὀλοφυρομένης· ὅτε φασὶ τὸν Ἀσὰν προσλαβόμενον αὐτὴν τύψαι κατὰ κόρρης καὶ ἐπαπειλῆσαι δεινῶς.*

35. *Κατ' ἐκεῖνο καιροῦ καὶ τὸ τῶν Σκυθῶν γένος, τῶν Ταρτάρων καταδραμόντων αὐτῶν, ὁπόσοι τὸ ξίφος ἐκείνων ἐξέφυγον, ἀσκοῖς τὸν Ἴστρον διαπεράσαντες καὶ τὸν Αἷμον*

---

1 *ἑαυτὸν*] *αὐτὸν* a *αὑτὸν* L ‖ *μέχρι μὲν οὖν*] *καὶ μέχρι* L ‖ *τῶν* om. L **2** *κατηντήκεσαν*] *κατήντησαν* L **3** *καθορῶντος*] *ἐνορῶντος* L **4** *πτοίαν πολλὴν* post *Λατίνοις* pos. L ‖ *ἐνέβαλον*] *ἐμποιοῦντες* L **10** *συνθήκαις* post *βασιλέως* pos. L

12 *ἀποσπάσει*] *ἀποσπάσῃ* a ‖ *πάνυ* om. L **13** *γοῦν*] *τοιγαροῦν* L **14** *ἐπεὶ*] *ἐπὰν* L ‖ *πλησιάσειε*] *πλησιάσας* L *πλησιάσῃ* d ‖ *Ἀδριανοῦ*] *ἀδριανουπόλει* La **19** *καὶ ὁ Βούλγαρος*] *ὁ βούλγαρος δὲ* L **20** *αὐτῇ*] *αὐτὸν* L *αὐτῷ* d **21** *διαβὰς*] *διαβάσας* L corr. d ‖ *περὶ*] *πρὸς* L ‖ *τὸν*] *τὸ* L

22 post *φασὶ* add. *καὶ* L **25** *ἐκεῖνο*] *ἐκείνου* L **26** *ὁπόσοι*] *ὅσοι* L ‖ *ἐκείνων ἐξέφυγον*] *αὐτῶν ἔφυγον* L

ὑπερπηδήσαντες τέκνοις ἅμα καὶ γυναιξί, καὶ ἀκόντων Βουλγάρων — πολλαὶ γὰρ ὑπῆρχον χιλιοστύες — τοὺς τῆς Μακεδονίας χώρους κατέλαβον, οἱ μὲν περὶ τὸν Ἕβρον καὶ τὰ ἐκεῖσε πεδία τὰς νομὰς ποιούμενοι, οἱ δὲ περὶ τὴν Μαρίτζαν. ἐλήιζον γοῦν τὰ ἐν Μακεδονίᾳ ἅπαντα, καὶ πολιχνίων δὲ ὁπόσα ὑπῆρχον εὐχείρωτα, πολέμῳ περιεγένοντο, καὶ ἐφονεύοντο μὲν πολλοί, ἐσκυλεύοντο δὲ πάντες, καὶ ᾐχμαλωτίζοντο καὶ ἀπεμπολοῦντο ἐν Ἀδριανουπόλει Διδυμοτοίχῳ Βιζύῃ Καλλιουπόλει καὶ τοῖς μείζοσιν ἄστεσιν.

36. *Ἐπεὶ γοῦν οὕτω ταῦτα συνέβη, τὸ τῶν Λατίνων γένος πρῶτα μὲν τὸν Ἀσὰν ὑποποιοῦνται καὶ σπένδονται, ἔπειτα δὲ σὺν αὐτῷ καὶ τοὺς Σκύθας βαρβάρους, ἀλήτας τε καὶ ἐπήλυδας, μικροῖς τισι τοῖς χαρίσμασι, μείζοσι δ' ὑποσχέσεσιν εἰς ἑαυτοὺς ἕλκουσι καὶ συμπράκτορας τῶν ἔργων ποιοῦσι. καὶ δὴ συμμαχίαν τοσαύτην συνηθροικότες ὁμόσε κατὰ τοῦ βασιλέως χωροῦσιν. ἐπεὶ δὲ σφίσιν ἐκ τοῦ σχεδὸν τὸ τῆς Τζουρουλῶ ἄστυ ἐτύγχανε, κατ' ἐκείνου τὴν μάχην ἱστῶσι, παρόντος καὶ τοῦ Ἀσὰν μετὰ τοσούτων χιλιοστύων τῶν Σκυθικῶν καὶ Βουλγαρικῶν καὶ τῶν Ἰταλικῶν μηχανημάτων. ἐφρούρει δὲ τὴν Τζουρουλὼ ὁ Ταρχανειώτης Νικηφόρος, ὁ ἐπὶ τῆς τραπέζης τότε καὶ ὕστερον μέγας δομέστικος· γαμβρὸς δὲ ἦν τοῦ μεγάλου δομεστίκου τοῦ Παλαιολόγου, ἀνὴρ στρατιώτης καλὸς καὶ πολλῆς ἀπολαύων τῆς παρὰ θεοῦ ἀντιλήψεως. ἐπεὶ δὲ τῷ ἄστει παρεκαθίσαντο, μηχανήματα μὲν καὶ ἑλεπόλεις ἐγεγόνεισαν πολλαί τε καὶ ἰσχυραί, ὡς μὴ μόνον τηλικοῦδε ἄστεος περιγενέσθαι*

---

2 *χιλιοστύες*] *χιλιοστίαι* La *χιλιοστίες* d **3** *περὶ*] *πρὸς* L **4** *ἐκεῖσε*] *ἐκεῖ* L **5** *Μαρίτζαν*] *μερίτζαν* L ‖ *γοῦν*] *οὖν* L **6** *πολιχνίων — ὑπῆρχον*] *πολίχνια ὅσα ἦσαν* L **9** *τοῖς — ἄστεσιν*] *ἄλλοι* (*ἄλλαις* d) *πόλεσί τε καὶ τόποις, ὡς εὕρισκον καὶ ὅπου* L **10** *γοῦν — ταῦτα*] *δὲ ταῦτα οὕτω* L **11** *πρῶτα*] *πρῶτον* La **12** *σὺν αὐτῷ* post *Σκύθας* pos. L ‖ *καὶ* ante *τοὺς* om. L **15** *τοσαύτην*] *τοσούτων* L **19** *καὶ τῶν Ἰταλικῶν* om. L **20** *Ταρχανειώτης*] *ταρχωνιάτης* L **21** *τῆς τραπέζης*] *τραπέζης μὲν* L ‖ *καὶ* om. L ‖ post *ὕστερον* add. *δὲ* L **23** *πολλῆς* — **24** *ἀντιλήψεως*] *τὰ εἰς θεὸν ἀγάπης πιστός, ὅθεν καὶ τῆς ἀντιλήψεως ἀπολαύων* L **24** *παρεκαθίσαντο*] *παρεκαθέσαντο* L **26** τηλικοῦδε] τηλι-

ἰσχύουσαι, ἀλλὰ καὶ ὑψηλοτέρων τειχῶν καὶ εὐμεγεθεστέρων πόλεων. τότε τὸ γενναῖον φρόνημα καὶ τὴν στρατηγικὴν μεθοδείαν μετὰ τῶν σὺν αὐτῷ ὁ ἐπὶ τῆς τραπέζης λαμπρῶς ἐνεδείξατο· ἦν δὲ τὸ ὅλον τῆς τοῦ θεοῦ ἀντιλήψεως. ἀντεμηχανᾶτο γὰρ ἔνδον ὁ Ταρχανειώτης τοῖς ἔξωθεν μηχανήμασι, καὶ τῇ τοσαύτῃ πληθύι τῆς στρατιᾶς. ἐν ἀμηχανίᾳ δὲ ἦν ὁ βασιλεὺς Ἰωάννης εἰδώς, ὡς εἰ τὸ ἄστυ τοῦτο ἁλῴη, φροῦδα πάντα τὰ ἐν τῇ δύσει τούτῳ τυγχάνοντα. τέως οὖν ἠγάπα ἐν τούτῳ μᾶλλον ἐπτοῆσθαι τοὺς πολεμίους, καὶ τὸ πολὺ τῆς ῥύμης σφίσιν ἐναποκόπτεσθαι. ἔμελε γὰρ αὐτῷ μᾶλλον τὰ ἐν τῇ ἕω, ὧν ἐλευθέρων ὑπαρχόντων τῆς μάχης πλεῖον αὐτῷ τὰ τῆς εὐφροσύνης ὑπῆν.

Πολιορκουμένου γοῦν τοῦ ἄστεος Τζουρουλοῦ ἐπῄει μήνυμα τῷ Ἀσάν, ὡς ἡ σύζυγος αὐτοῦ ἡ ἐξ Οὔγγρων ἐξ ἀνθρώπων ἐγένετο· τετελεύτηκε δὲ κατ' αὐτὸ καὶ τὸ παιδίον αὐτοῦ καὶ ὁ Τρινόβου ἐπίσκοπος. θεομηνίαν τοίνυν ἡγησάμενος ταῦτα πυρὶ ἀφανίζει τὰς ἑλεπόλεις, καὶ ὡς εἶχε δρόμου περὶ τὸν Τρίνοβον ἵκετο. μόνοι γοῦν ἀπολελειμμένοι οἱ Ἰταλοί, ἐπεὶ μὴ ἀποχρώντως εἶχον εἰς τὴν τοῦ ἄστεος πολιόρκησιν,

---

κούτου L 1 ὑψηλοτέρων — 2 πόλεων] δυνατωτέρων ἄλλων L 3 μεθοδείαν] μέθοδον L ‖ ὁ] καὶ τοῦ L ‖ τῆς om. La ‖ λαμπρῶς ἐνεδείξατο] ἐνεδείξαντο L 4 τῆς τοῦ θεοῦ ἀντιλήψεως] οὐκ ἀνθρωπίνης δυνάμεως, ἀλλ' ἐκ θείας ἐμφανοῦς ἀντιπολεμήσεως καὶ ἐπικουρίας καὶ βοηθείας L ‖ ἀντεμηχανᾶτο] ἀντιμηχανῶν τότε μὲν L 5 ἔνδον] ἔνθεν L ‖ τοῖς om. L 6 καὶ — στρατιᾶς] ἰσχυροῖς τε καὶ διαφόροις, καὶ τῇ ὑπεραπείρῳ στρατιᾷ τῶν ὁρμητίων καὶ ἀκαταπονήτων βαρβάρων, τῶν δίκην πυρὸς λαυροῦ ἐπιπιπτόντων L 7 ἦν — 9 οὖν] ἦσαν αὐτοί, εἰδότες ὅτι ἁλωθῆναι ἔχει τὸ ἄστυ, οὕτως ἀπαυστὶ καταπολεμούμενον ἰσχυρότερον, καὶ εἰ τοῦτο γένηται, φροῦδον ἔσται πᾶν τὸ πρὸς δύσιν καὶ ὅτι L ‖ ἁλῴη] ἁλῶ a 8 τούτῳ om. a 9 ἐν τούτῳ] ἰωάννης L ‖ ἐπτοῆσθαι] ἐπτοεῖσθαι La πτοεῖσθαι d ‖ τοὺς πολεμίους] τοῖς πολεμίοις L 10 ῥύμης] ῥώμης La ‖ ἐναποκόπτεσθαι] ἀποκόπτεσθαι L corr. d ‖ ἔμελε] ἔμελλε V 11 ἐλευθέρων] δὲ ἐλευθεροτέρων L ‖ τῆς μάχης om. L 12 τὰ om. L ‖ εὐφροσύνης] σωφροσύνης L ‖ ὑπῆν] ἦν L 13 γοῦν] οὖν L ‖ Τζουρουλοῦ] τζουρουλῶ αἴφνης La ‖ ante μήνυμα add. τὸ L τὰ a 14 sec. ἐξ om. L 15 αὐτοῦ] αὐτῆς L 17 πυρὶ ἀφανίζει] περιαφανίζει L ‖ δρόμου — 18 τὸν] τάχος εἰς L 19 μὴ om. L

κἀκεῖνοι τὴν κατ' αὐτῶν μάχην ἀπολελοιπότες ἐς τὴν Κωνσταντίνου ᾤχοντο. ἠλευθέρωτο γοῦν τὸ ἄστυ τῆς τῶν ἐναντίων πολιορκίας, καὶ συνηλευθέρωτο καὶ ὁ ἐπὶ τῆς τραπέζης Ταρχανειώτης. ὁ μὲν οὖν Ἀσὰν εὐσεβῶς οἰηθείς, ὡς διὰ τὰς παραβάσεις τῶν ὅρκων οὕτω λελύπητο, μεταμελος ἐπὶ τούτοις γενόμενος, πρέσβεις ἐξαπεστάλκει πρὸς τὸν βασιλέα, ἑαυτόν τε ἐξουθενῶν καὶ τῆς κακίστης πράξεως τὴν ἧτταν ἀνακαλούμενος. οἱ οὖν βασιλεῖς πρὸς τὰ θειότερα ἀπονεύοντες δέχονται τὴν πρεσβείαν καὶ τὴν νύμφην αὖθις ἀνακαλοῦνται· καὶ στέλλεται αὐτοῖς, καὶ εἰρήνη γίνεται μέσον αὐτῶν.

37. Ὁ δὲ Βαλδουῖνος, ἀπειρηκὼς ἐν ταῖς πρὸς Ῥωμαίους μάχαις, πρὸς τὸν τῶν Φράγγων ἀποδεδημήκει ῥῆγα προσῳκειωμένον τούτῳ καθ' αἷμα· καὶ συμμαχίας ζητήσας ἔτυχε τοῦ σκοποῦ, καὶ ἐν οὐ πολλῷ χρόνῳ ἑξήκοντα χιλιάδες ἠθροίσθησαν Φράγγων. ἐπεὶ δ' οὐκ ἦν αὐτοῖς εὔδρομος διὰ νηῶν ἡ ὁδός, διὰ τῆς χέρσου τὴν πορείαν ποιοῦνται. καὶ δὴ τὰς ἄνω παραμείψαντες Γαλλίας καὶ διελθόντες τὴν Ἰταλίαν διὰ τῶν ὑπωρειῶν τῶν Ἄλπεων εἰς τὸ Ὀστρίκιον ἀφίκοντο, καὶ τὴν Οὐγγρίαν παραγγείλαντες διαπερῶσι τὸν Ἴστρον καὶ τῇ Βουλγάρων προσέσχον, πᾶσι μὲν ὡς φίλοις καὶ συγγενέσι καθ' ὁδὸν χρώμενοι, καὶ διὰ σφᾶς μὲν αὐτούς, οὐχ ἧττον διὰ τὴν πρὸς ἡμᾶς ἔχθραν ἐφιλοφρονοῦντο παρὰ τῶν κατὰ τόπους κρατούντων. οἱ μὲν οὖν Βούλγαροι

1 ἐς] εἰς L 2 γοῦν] οὖν L || post ἄστυ add. θεόθεν L 3 post ἐναντίων add. δεινῆς L 4 post Ταρχανειώτης add. ἰωάννης L || οἰηθεὶς] ἀναπολήσας οἰήθει L 6 ἐξαπεστάλκει] ἀποστέλλει L ἐξαποστέλλει a 7 ἐξουθενῶν] ἐξελευθερῶν L corr. d 8 θειότερα] θεῖά τε d 10 αὖθις om. L || στέλλεται] πέμπεται L 13 προσῳκειωμένον] προσῳκειωμένω L corr. d 16 Φράγγων] τῶν φράγγων L || δ'] δὴ L || αὐτοῖς om. L 17 διὰ νηῶν post ὁδὸς pos. L 19 ὑπωρειῶν] ὑπορείων L || Ὀστρίκιον] ἰστρίκον L ἰστρίκιον d 20 τὴν — παραγγείλαντες] τῇ Οὐγγρίᾳ πλησιάσαντες L 22 διὰ — 23 ἧττον] συνέβαινε διά τε αὐτοὺς οὕτως εἰρηνικῶς διακειμένους καὶ L 23 ἐφιλοφρονοῦντο παρὰ] φιλοτιμεῖσθαι ἀπὸ L 24 τόπους κρατούντων] τόπων κρατούντων εἰς ἐφόδια καὶ χρειώδη L

τὰς μετὰ Ῥωμαίων σπονδὰς παρεωρακότες ἄδειαν Φράγγοις δεδώκασι διελθεῖν. τὸ μὲν οὖν ἄστυ τῆς Τζουρολοῦ καὶ αὖθις ἑάλω, εἰς φυλακὴν δὲ ἦν τούτου ὁ Πετραλίφας Ἰωάννης, ὁ μέγας χαρτουλλάριος, ἀνὴρ ἀνδρεῖος. τὸ δὲ τῆς Λατινικῆς δυνάμεως περιὸν καὶ τὸ ἀπειροπληθὲς τῶν Σκυθῶν καὶ τὸ τῶν ἑλεπόλεων συχνόν τε καὶ καρτερὸν παραδοῦναι τοῦτον τὸ ἄστυ τοῖς Ἰταλοῖς πέπεικε· φασὶ δέ τινες, ὡς καὶ δι' ὑποψίαν προδόσεως. οἱ μὲν οὖν Λατῖνοι τὴν Τζουρολὼ ἐχειρώσαντο, καὶ τοὺς ἐνταῦθα Ῥωμαίους συνάμα τῷ Πετραλίφα δεσμώτας ἤγαγον εἰς τὴν Κωνσταντίνου καὶ πρὸς τοὺς οἰκείους αὐτοὺς ἀπεμπόλησαν.

Τοῦ δὲ ἄστεος τῆς Τζουρολοῦ πολιορκουμένου παρ' Ἰταλῶν, ὁ βασιλεὺς Ἰωάννης τριήρεις ἱκανὰς σκευασάμενος καὶ στράτευμα οὐκ ὀλίγον μεθ' ἑαυτοῦ προσλαβὼν κατὰ τῶν Ἰταλῶν ἐπεχείρει. ἀπὸ μὲν οὖν τῆς Νικομηδείας ἀπάρας καὶ παραμείψας τὸν Χάρακα ἐπόρθησε τὴν Δακίβυζαν πρὸ καιροῦ καὶ κατέσχε ταύτην, προσέτι δὲ καὶ τὸ τοῦ Νικιάτου φρούριον, καὶ ὑφ' ἑαυτὸν καὶ τοῦτο πεποίηκε. ἐδυστύχησε δὲ τῷ τότε ἐν ταῖς τριήρεσιν, ἀπειροπολέμων ὄντων τῶν ἐν αὐταῖς μαχομένων, καὶ τοῦ Ἰοφρὲ τοῦ Ἀρμενίου εἰς τάξιν

---

1 παρεωρακότες] παραερακότες L corr. d ‖ Φράγγοις — 2 διελθεῖν] φιλικὴν Λατίνοις δεδώκασι, καὶ διῆλθον L 2 μὲν οὖν] δὲ L ‖ Τζουρολοῦ] τζουρουλὼ La 3 ἑάλω] πολιορκηθὲν ἑάλω. καὶ L ‖ δὲ om. L 4 μέγας] μεγάλος L corr. d ‖ χαρτουλλάριος] χαρτουλάριος La ‖ ἀνὴρ ἀνδρεῖος om. L 5 περιὸν] παριὸν L 6 τὸ τῶν om. L ‖ συχνόν] τὸ συχνόν La ‖ τε om. L 7 τὸ ἄστυ] αὐτὸ L ‖ πέπεικε] ἐποίησεν L ‖ φασὶ — 9 ἐχειρώσαντο] εἰ καὶ διὰ προδοσίας ἑλαλήθη. ὅτε δὲ ἐχειρώσαντο τοὺς ἐκεῖ οἱ λατῖνοι L 9 Τζουρολὼ] Τζουρουλὼ a ‖ καὶ om. L ‖ ἐνταῦθα om. L 10 συνάμα] σὺν L ‖ τὴν om. L ‖ Κωνσταντίνου] κωνσταντινούπολιν La 11 πρὸς — αὐτοὺς om. L ‖ ἀπεμπόλησαν] ἀπεμπώδησαν L 12 τοῦ — 14 Ἰταλῶν] ὅτε δὲ ἐπολιορκεῖτο L ‖ παρ' Ἰταλῶν om. L 13 σκευασάμενος] ἐγκαταστησάμενος L 14 οὐκ — τῶν] ἱκανὸν κατ' L 15 μὲν οὖν τῆς] γὰρ L ‖ καὶ — 16 Χάρακα om. L 16 Δακίβυζαν] δακίζιζαν L ‖ πρὸ — 17 δὲ om. L 17 Νικιάτου] νικητιάτου L Νικιάτου a 18 καὶ — πεποίηκε om. L ‖ δὲ τῷ om. L 19 ἀπειροπολέμων] ἀπείρων L 20 μαχομένων om. L ‖ Ἰοφρὲ] κοντοφρὲ L

ἡγεμόνος ἐν τούτοις τυγχάνοντος καὶ ὀκνηροτέρου τελοῦντος περὶ τὰ μάχιμα. προϋπῆρχε δὲ τὴν τῶν τριήρεων στρατηγίαν ὁ Κοντοφρὲ Μανουὴλ περιεζωσμένος, ἀνὴρ γενναῖος τὴν χεῖρα καὶ Ἄρην πνέων κατά τε θάλασσαν καὶ ξηράν. ἀλλὰ πρό τινων ἡμερῶν θρασυτέρας τὰς διαλέξεις περὶ τοῦ ναυτικοῦ πρὸς τὸν βασιλέα ποιησάμενος εἰρήκει, ὡς οὐκ ἀντωπήσαιεν ταῖς Ἰταλικαῖς αἱ ἡμέτεραι. καὶ παρεστάλη τῆς ἡγεμονίας, ὁ Ἰοφρὲ δὲ αὐτὴν διεδέξατο καὶ ἡττήθη. τριάκοντα γὰρ ἐξάρχων τριήρεων ὑπὸ τρισκαίδεκα νενίκηται καὶ τοσαύτας ἀπώλεσεν, ὁπόσαι ἦσαν τῶν ἐναντίων. ὁ δὲ βασιλεὺς Ἰωάννης καὶ αὖθις μετὰ τοῦ Ἀσὰν εἰρήνην εἶχε καὶ τῇ συγγενείᾳ καὶ αὖθις συνεδέδεντο. ἀλλ' ὁ Ἀσὰν ἔστιν ὅτε καὶ διὰ μικρὸν κέρδος παρεσπόνδει.

38. Ἠγάγετο δὲ ὁ Ἀσὰν εἰς γυναῖκα τὴν θυγατέρα τοῦ Ἀγγέλου Θεοδώρου τὴν Εἰρήνην, μηδὲ τὸ τοῦ αὐταδέλφου τοῦ πατρὸς αὐτῆς κῆδος ὑπιδών, ὅτιπερ τῇ ἐκ παλλακίδος αὐτοῦ θυγατρὶ συνηυνάζετο. ἦσαν δὲ τῷ Ἀγγέλῳ Θεοδώρῳ παῖδες, Ἰωάννης καὶ Δημήτριος, καὶ θήλειαι, Ἄννα καὶ Εἰρήνη, μεθ' ἧς ὁ Ἀσὰν παῖδας ἐγέννησε τρεῖς, Μιχαήλ, τὴν Θεοδώραν καὶ τὴν Μαρίαν. ἀπελύθη γοῦν τῶν δεσμῶν

---

1 τυγχάνοντος] ὄντος L ‖ τελοῦντος om. L 2 περὶ] εἰς L ‖ μάχιμα] πολεμικὰ καὶ κατὰ θάλασσαν μάχεσθαι μάλιστα L ‖ προϋπῆρχε — 3 γενναῖος] προϋπάρχοντος ἄλλου ἀνδρὸς γενναίου L 4 πνέων] πνέοντος L ‖ θάλασσαν — 5 ἀλλὰ] ξηρὰν καὶ θάλασσαν. ὃς L 5 τινων om. L ‖ θρασυτέρας] θρασυτέρους L ‖ περὶ — 9 νενίκηται] μετὰ τῶν ναυτικῶν χρησάμενος, ὅτι οἱ ἑτοιμαζόμενοι ταῖς τριήρεσιν ὡς ὁρῶ οὐκ ἄξιοι ἀντωπῆσαι καὶ ἀντιπαλαῖσαι τοῖς Ἰταλοῖς, ἠσκημένοις ἄριστα τὰ ναυτικά, καὶ κατὰ θάλασσαν πολεμοῦσιν ὑπὲρ τὴν ξηράν. ὅθεν καὶ ἄλλος κατελθὼν ναυσὶ τριάκοντα ἐνικήθη ὑπὸ τρισκαίδεκα L 8 ὁ Ἰοφρὲ δὲ] καὶ ὁ Ἰοφρὲ a 10 ὁπόσαι] ὅσαι L ‖ post ἐναντίων add. καὶ σὺν ταῖς λοιπαῖς ἔφυγεν L 11 αὖθις] ἔτι L ‖ εἶχε] τινὰ ἐποίησε L 12 συνεδέδεντο] συνέδεντο L corr. d συνδέδεντο a ‖ ἀλλ' — 13 παρεσπόνδει] εἰ καὶ ὁ ἀσὰν παρεσπόνδει δι' ὀλίγον κέρδος, καιρῷ δουλεύων καὶ οὐ πίστει καθαρᾷ L 14 τὴν — 15 Ἀγγέλου post Εἰρήνην pos. L 15 Θεοδώρου om. L ‖ αὐταδέλφου] ἀδελφοῦ L 16 ὑπιδὼν] ἐπιδών L 17 αὐτοῦ] ἐξ αὐτοῦ L ‖ συνηυνάζετο] συνευνάζετο L ‖ ante Θεοδώρῳ add. τῷ L 18 παῖδες] παιδία L ‖ καὶ θήλειαι om. L ‖ post Ἄννα add. τε La 20 τὴν bis om. L ‖ γοῦν] δὲ L

διὰ τοῦτο καὶ ὁ Ἄγγελος Θεόδωρος, καὶ συναινέσει τοῦ γαμβροῦ αὐτοῦ τοῦ Ἀσὰν ἐγκρατὴς γενέσθαι τῆς Θεσσαλονίκης καὶ πάσης ἧς πρότερον εἶχε χώρας ἠθέλησε. καὶ δή τινας ὀλίγους παρὰ τοῦ Ἀσὰν προσλαβόμενος, ἐπεὶ φανερῶς κινῆσαι μάχην κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ Μανουὴλ οὐκ ἠδύνατο, κρύφα μηχανᾶται τὴν εἰς Θεσσαλονίκην εἴσοδον, εὐτελῆ τινα ἀμφιασάμενος ῥάκια καὶ τὴν εἴσοδον ὑποκλέψας τῆς πόλεως. ἐπεὶ δὲ εἰσήει καί τισιν ἐπεγνώσθη τοῖς οὓς ἐβούλετο, οὓς ὅτε ηὐτύχει ἐφίλει τε καὶ εὐηργέτει, μεθ' ὧν καὶ τεθάρρηκε τὴν κατὰ τοῦ ἀδελφοῦ σκῆψιν, οὐ πολλοῦ δεηθεὶς τοῦ χρόνου ἐγκρατής τε αὖθις Θεσσαλονίκης ἐγένετο καὶ τῶν πέριξ πόλεων καὶ χωρῶν. βασιλεὺς δὲ ὀνομάζεσθαι οὐκ ἠθέλησε διὰ τὸ τῶν ὀφθαλμῶν πάθος, τὸν δὲ υἱὸν αὐτοῦ Ἰωάννην βασιλέα ὠνόμασε καὶ ἐρυθροῖς πεδίλοις τοὺς πόδας ἐκείνου ὑπέδησε, καὶ τοῖς γράμμασιν ὑπογράφειν διώρισεν, αὐτόν τε διέπειν τὰ κοινὰ καὶ διεξάγειν τὰ τοῦ υἱοῦ. τὸν δὲ ἀδελφὸν Μανουὴλ τῆς ἀρχῆς ἐκβαλὼν καὶ ἐμβαλὼν ἔν τινι τριήρει περὶ τὴν Ἀττάλου ἐξώρισε, τὴν δὲ σύζυγον αὐτοῦ πρὸς τὸν πατέρα Ἀσὰν ἐξέπεμψεν. ὁ δ' Ἀσὰν τὸν πενθερὸν αὐτοῦ μᾶλλον ἐφίλει Θεόδωρον ἢ τὸν γαμβρὸν αὐτοῦ Μανουήλ.

Ὁ μὲν οὖν Μανουὴλ τῇ Ἀττάλου προσωκείλας παρὰ προσδοκίαν τοῖς ἐξ Ἄγαρ ἐνέτυχε φιλανθρωπίᾳ πρὸς αὐτὸν χρησαμένοις. ἐπεὶ γὰρ εἰρήκει πρὸς τὸν βασιλέα Ἰωάννην τυγχάνειν αὐτοῦ τὴν ὁρμήν, παρεχώρησαν τούτῳ τὴν εἴσοδον, καὶ πρὸς τὸν βασιλέα ἀφίκετο. καὶ ὁ βασιλεὺς ἀσμένως τε τοῦτον ἐδέξατο καὶ ὡς προσῳκειωμένον

---

1 *καὶ συναινέσει*] *συναινέσας* L *συναινέσει* d ‖ *τοῦ* — **2** *αὐτοῦ* om. L **2** *ἐγκρατὴς* — *Θεσσαλονίκης*] *ἐκράτησε θεσσαλονίκην* L **3** *πρότερον*] *πρῶτον* L ‖ *ἠθέλησε* om. L ‖ *δή*] *δέ* L **4** *παρὰ*] *ἀπὸ* L **8** *τοῖς οὓς*] *οἷς* L **10** *δεηθεὶς*] *ἐδεήθη* L **11** *ἐγκρατής τε*] *καὶ ἐγκρατὴς* L *ἐγκρατὴς* a ‖ *αὖθις* om. L **13** *ἠθέλησε*] *ἐθέλησε* La **14** *ὠνόμασε*] *ὠνόμαζεν* L ‖ *καὶ* — **15** *γράμμασιν* om. L **15** *διώρισεν*] *τεώρισεν* L **17** *ἔν τινι* om. L **18** *περὶ τὴν Ἀττάλου*] *εἰς τὴν ἀνατολὴν* L ‖ *Ἀττάλου*] *ἀτάλου* V corr. a **19** *ὁ δ'*] *ὁ δὲ* La ‖ post *Ἀσὰν* add. *οὗτος* L **20** *αὐτοῦ* om. L ‖ *γαμβρὸν* post *αὐτοῦ* pos. L **21** *ὁ* — *Μανουὴλ* om. L suppl. d **22** *ἐξ Ἄγαρ*] *ἐξώγαρ* L corr. d **26** *ἀσμένως τε τοῦτον*] *τοῦτον ἀσμένως* L

τῷ γένει καὶ ὡς πάλαι δεσπότην ὠνομασμένον. δοὺς δὲ αὐτῷ χρῆμα καὶ τριήρεις ἓξ περὶ τὴν μεγάλην Βλαχίαν ἀφῆκεν, ὅρκους παρ' αὐτοῦ λαβών. καταλαβὼν οὖν τὴν Δημητριάδα κἀκεῖθεν τοῖς μὲν τῶν οἰκείων γραφαῖς τὴν αὐτοῦ παρασημάνας ἔφοδον, τοὺς δὲ ὑποθέλξας ταῖς ὑποσχέσεσιν, οὐ διὰ πολλῶν συνηθροίκει περὶ αὐτὸν στράτευμα, ἦρξέ τε Φαρσάλων καὶ Λαρίσσης καὶ Πλαταμῶνος καὶ τῶν περὶ ταῦτα. εἶτα δὲ σπονδὰς ποιησάμενος συνῆλθε τούτου τοῖν ἀδελφοῖν, τῷ τε Κωνσταντίνῳ καὶ τῷ Θεοδώρῳ· ὁ μὲν γὰρ Κωνσταντῖνος δεσπότης, ὡς ἔφημεν, ὤν, ** καὶ ὁ ἀνεψιὸς αὐτοῦ Μανουήλ.

40. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης, ἐπειδὴ ὁ Βούλγαρος Ἀσὰν ἐκ ποδῶν ἐγένετο καὶ μειράκιον ἦρχε τῆς τῶν Βουλγάρων, ἀδείας δραξάμενος ἐπεχείρησε τὴν βασιλικὴν καταλῦσαι κλῆσιν, τὴν ἐπιφημιζομένην τῷ Ἰωάννῃ τῷ υἱῷ τοῦ Ἀγγέλου. καὶ πρῶτον μηνύμασιν ὑποποιεῖται τὸν αὐτοῦ πατέρα Θεόδωρον, ὁ δὲ προσέρχεται τῷ βασιλεῖ Ἰωάννῃ. καὶ ὑποδέχεται αὐτὸν οὗτος ἀσμένως καὶ τετίμηκε, θεῖόν τε τοῦτον ἀποκαλῶν καὶ τῇ αὐτοῦ συγκαθίζων τραπέζῃ καὶ τῶν λοιπῶν φιλοφρονημάτων μεταδιδούς. ἐπεὶ δὲ τοῦτον ἐν χεροῖν ἔσχεν ὁ βασιλεύς, ἔτυχε δὲ καὶ ταῖς αὐτοῦ δυνάμεσι ταῖς Ῥωμαϊκαῖς στράτευμα ἀξιόμαχον προστεθὲν ἐκ Σκυθῶν — τούτους γὰρ δώροις καὶ δεξιώσεσι χειροήθεις

---

1 πάλαι] πάλιν L ‖ ὠνομασμένον] ὀνομαζόμενον L 3 καταλαβὼν οὖν] καταλαβόντα δ' αὐτὸν L 5 αὐτοῦ] αὐτὴν a ‖ παρασημάνας] παρασήμαινεν L corr. d ‖ δὲ] δ' La 7 Φαρσάλων] φαρσαλίας La ‖ Πλαταμῶνος] πλαττώμενος τε L πλατταμῶνος τε d 8 ταῦτα] αὐτὰ L 9 τῷ om. a 10 δεσπότης] ὥστε μὲν δεσπότης La ‖ ὡς ἔφημεν om. L 11 ὁ om. La 12 Ὁ—13 ποδῶν] ἐπεὶ ἰωάννης ὁ βασιλεὺς ὁ ἀσὰν ὁ βούλγαρος ἐκποδὼν L 13 Ἀσὰν om. a ‖ τῶν om. L 14 ἐπεχείρησε] ἐπεχείρισε La ‖ post βασιλικὴν add. αὐτῶν La 15 τὴν] καὶ τὴν L ‖ υἱῷ om. L 16 αὐτοῦ] αὐτὸν L corr. d 18 οὗτος om. L 19 τε τοῦτον om. L ‖ ἀποκαλῶν] καλῶν L 20 λοιπῶν] πολλῶν L 21 χεροῖν] χερσὶν L ‖ ἔσχεν] εἶχεν d ‖ ὁ βασιλεὺς om. L 22 ταῖς—προστεθὲν] καὶ ῥωμαϊκοῖς στρατεύμασιν καὶ ἀξιόμαχον L 23 δεξιώσεσι] ὑποσχέσεσι L

πεποίηκεν ὁ βασιλεὺς ἐξ ἀγριωτέρου τοῦ ἤθους καὶ τῆς Μακεδόνων ἀπέσπασε καὶ πρὸς τὴν ἕω διεπέρασε — τούτοις μᾶλλον θαρρήσας καὶ μηδέν τι δεινὸν ἐκ Βουλγάρων προσδοκῶν, τὸ μὲν διὰ τὰς γεγενημένας σπονδάς, τὸ δὲ καὶ διὰ τὸ ὑπὸ μειρακίου τὰ Βουλγάρων διεξάγεσθαι, ἀπάρας τῆς ἕω ὁ βασιλεὺς καὶ διαπεραιωθεὶς τὸν Ἑλλήσποντον, τὰς ἐκ τῶν Ῥωμαϊκῶν στρατευμάτων δυνάμεις καὶ τὰς ἐκ τῶν Σκυθῶν μεθ' ἑαυτοῦ ἔχων, χωρεῖ κατὰ τοῦ ἐν Θεσσαλονίκῃ βασιλεύοντος Ἰωάννου, καὶ πήγνυσι τὴν σκηνὴν κατὰ τὸν κῆπον τοῦ Προβατᾶ, ὡσεὶ σταδίους ὀκτὼ ἀπέχοντα τῆς Θεσσαλονίκης. ἑλεπόλεις μὲν καὶ μηχανήματα οὐκ ἦν εὐχερὲς αὐτῷ κατὰ τῆς τοσαύτης πόλεως στῆσαι κἀντεῦθεν διὰ μάχης τοιᾶσδε χειρώσασθαι, ἐκδρομὰς δὲ ἐποίει διὰ τῶν στρατευμάτων καὶ τὰ πέριξ πάντα ἐλήιζεν. εἶχε δὲ μεθ' ἑαυτοῦ καὶ τριήρεις, ὧν ἦρχεν ὁ Κοντοφρὲ Μανουήλ. ἔκκριτοι δὲ τῷ βασιλεῖ παρείποντο ἄνδρες ὁ Τορνίκης Δημήτριος, ὁ τὰ κοινὰ διέπων, ὁ Παλαιολόγος Ἀνδρόνικος, μέγας δομέστικος ὤν, ὁ ἐπὶ τῆς τραπέζης Νικηφόρος Ταρχανειώτης, ὁ πρωτοσεβαστὸς Κοντοστέφανος, ὁ πρωτοβεστιάριος Ἀλέξιος ὁ Ῥαούλ, ὁ Πετραλίφας μέγας χαρτουλάριος καὶ ἄλλοι. ὁ μὲν οὖν βασιλεὺς ὅσα ἦν εἰκὸς ποιεῖν ἐποίει κατὰ τῆς πόλεως· οὐδὲ οἱ ἔνδον ἀπώκνουν, ἀλλ' ἐκδρομὰς τῶν πυλῶν ἐξιόντες ἐποίουν. οὐ συχναὶ παρῆλθον ἡμέραι, καὶ τὸ τῶν Ταχαρίων ἔθνος κατὰ τῶν Μουσουλμάνων χωρῆσαν καὶ πόλεμον κατ' αὐτῶν συρρῆξαν νενίκηκε. καὶ ὁ λόγος φθάνει πρὸς τὸν βασιλέα. ὁ δὲ σιωπὴν παραγγείλας εἰς συμβάσεις μετὰ τοῦ ἐντὸς Ἰωάννου

---

3 τι δεινὸν om. L 5 μειρακίου] μείρακος L 7 τῶν om. La 10 σταδίους ὀκτὼ] σταδίου L 11 μὲν] μὲν οὖν L 13 τοιᾶσδε] πειρᾶται La ‖ δὲ—14 στρατευμάτων] τῶν στρατευμάτων ποιούμενος L 14 πάντα om. L ‖ εἶχε δὲ] ἔχων L 15 ἑαυτοῦ] αὐτοῦ L ‖ Κοντοφρὲ post Μανουὴλ pos. L 18 τῆς om. L 19 Ταρχανειώτης] ταρχανιώτης La 20 μέγας] μεγάλος L 22 πόλεως] θεσσαλονίκης L ‖ οὐδὲ] οὐδ' a ‖ οὐδὲ οἱ] οἱ δ' L ‖ ἀπώκνουν] οὐκ ὤκνουν L 23 πυλῶν] πολλῶν L ‖ post συχναὶ add. δὲ La 24 Ταχαρίων] ταχάρων d 27 ἐντὸς] ἔνδον La

χωρεῖ, πρέσβιν ἐν τούτοις λαβὼν τὸν πατέρα Ἰωάννου τὸν Ἄγγελον Θεόδωρον. πληρουμένων γοῦν ἡμερῶν τεσσαράκοντα ἐγένοντο αἱ σπονδαὶ καὶ οἱ ὅρκοι προέβησαν. τὰ μὲν γὰρ ἐρυθρὰ πέδιλα ἀπεβάλλετο καὶ τὴν περιμάργαρον πυραμίδα, εἰς ἣν καὶ λίθος ὑπερκάθηται κόκκινος, βασιλικὰ ταῦτα σύμβολα. τετίμηται δὲ πρὸς τοῦ βασιλέως τῷ δεσποτικῷ ἀξιώματι καὶ εὔνους ἀνεφάνη τῷ βασιλεῖ. ταῦτα διαπραξάμενος ὁ βασιλεὺς παλινοστεῖ πρὸς τὴν ἕω, καταλιπὼν δεσπότην τὸν βασιλέα καὶ ὑποχείριον, ὅρκοις συνδήσας τοῖς εἰωθόσι καὶ δώροις εἰκόσι δεξιωσάμενος, καὶ πάντας τοὺς ὑπ᾿ ἐκεῖνον φιλοφρονησάμενος χρήμασι. καταλελοίπει δὲ μετ᾿ αὐτοῦ καὶ τὸν βασιλέα Θεόδωρον.

41. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης κατειλήφει τὴν ἕω. τὴν γοῦν χειμερινὴν τότε παραμείψας ὥραν ἐν τῷ Νυμφαίῳ, ὡς ἔθος ἦν αὐτῷ, ἀπάρας ἐκεῖθεν περὶ τὴν Λάμψακον ᾔει, καὶ τὸ ἐπιὸν ἔτος περὶ Πηγὰς χωρεῖ. μεγίστου δὲ χειμῶνος πεπείραται καθ᾿ ὁδόν, ἀρξαμένου μέν, ἐπὰν ὁ βασιλεὺς εἰς τὴν γῆν ἐσκήνωσεν. ἡμέρας δὲ δύο τῇ δριμύτητι τούτου καὶ τῇ σφοδροτάτῃ φορᾷ τῆς χιόνος τεταλαιπώρηκε, μέχρις ἂν κατηντήκει ἐς τὸ τῶν Πηγῶν ἄστυ. πολλοὶ δὲ καθ᾿ ὁδὸν ἐτεθνήκεισαν, καὶ μέχρι τριακοσίων, ὡς ἔφασκον, ὑπὸ τῆς χιόνος κατεχώσθησαν, μὴ δυνάμενοι ἀντωπῆσαι τῇ τοῦ πνεύματος φορᾷ. οὐδεὶς γοῦν τῶν ἰδόντων ἔλεγε γινώσκειν τοιοῦτον χειμῶνα. ὁ δὲ βασιλεὺς ἐν

1 λαβὼν] βαλὼν L 2 γοῦν] δὲ L 3 τὰ μὲν γὰρ] καὶ τὰ μὲν L 5 ὑπερκάθηται] ὑπερκάθητο a ‖ βασιλικὰ ταῦτα] ἃ βασιλικὰ L 6 πρὸς] παρὰ La 7 post ταῦτα add. δὲ L 9 βασιλέα καὶ] ποτὲ βασιλέα καὶ αὐτῷ L 10 πάντας — 11 ἐκεῖνον] καὶ λοιποὺς ἐγκρίτους L 11 χρήμασι] χρήμασι καὶ δωρεαῖς L om. a 13 Ὁ — 14 γοῦν] καὶ αὐτὸς μὲν τὴν ἕω καταλαμβάνει καὶ τὴν L 14 τότε om. L 15 αὐτῷ] αὐτοῦ a om. L 16 Πηγὰς] τὰς πηγὰς L 19 σφοδροτάτῃ] σφοδροτέρᾳ d om. L ‖ τῆς χιόνος] χιόνος τε καὶ ἄλλων L 20 μέχρις] ἄχρις L ‖ ἐς] εἰς La 21 καθ᾿ ὁδὸν ἐτεθνήκεισαν] ἀπέθανον καθ᾿ ὁδὸν L καθ᾿ ὁδὸν ἀπεθνήκεισαν a 22 ἔφασκον] ἔφασαν L ‖ ὑπὸ τῆς χιόνος post κατεχώθησαν (sic) pos. L ‖ μὴ δυνάμενοι] μηδένα μὲν L 23 τῇ — φορᾷ] διὰ τὴν πλείστην τοῦ χειμῶνος καταφοράν L ‖ γοῦν] οὖν L 24 ἔλεγε] ἔλεγε γηραίων L ‖ γινώσκειν post τοιοῦτον pos. La ‖

τῷ τῶν Πηγῶν ἄστει διημερεύσας, μέχρις ἂν τὸ πολὺ τοῦ χειμῶνος λωφήσῃ, ἐξιὼν δ' ἐκεῖθεν εἰς τὸ Νύμφαιον ἀπῄει.

Ὡς οὖν ἡ τῶν Μουσουλμάνων παρὰ τῶν Ταχαρίων καταλέλυται στρατιά, σουλτάνος δὲ ἦρχεν αὐτῶν Ἰαθατίνης, υἱὸς Ἀζατίνη, φαῦλος ἐξ ἀγαθοῦ ἀρχὸς γεγονώς· πότοις γὰρ ἔχαιρε καὶ ἀσελγείαις καὶ κοίταις ἀλλοκότοις τε καὶ ἀτόποις, καὶ συνῆν ἀεὶ ἀνθρωπίσκοις οὐκέτι λόγον εἰδόσιν οὐδ' ἀνθρωπίνην φύσιν τὸ συνόλον. πεπείραται γοῦν μάχης Ταχαρικῆς καὶ ἥττηται. πρέσβεις οὖν ἐκπέμπει πρὸς τὸν βασιλέα Ἰωάννην, βουλῆς ἀξιῶν τυχεῖν, ὡς ἀποτρέψαιτο τὸν ἀντίπαλον καὶ μικρὸν κουφισθείη, σωτηριῶδες τοῦτο φάσκων τυγχάνον ἀμφοῖν. τοῦ γὰρ γένους τῶν Μουσουλμάνων παρὰ τῶν Ταχαρίων ἀπολωλότος, ἄνετος γίνεται τοῖς ἐναντίοις ἡ κατὰ τῶν Ῥωμαΐκων χωρῶν ἔφοδος. ὁ γοῦν βασιλεὺς Ἰωάννης ἀποδέχεται τὴν πρεσβείαν καὶ συνηλθέτην ἄμφω, ὅ τε βασιλεὺς καὶ ὁ σουλτάν, ἐν Τριπόλει, ὅπου ὁ Μαίανδρος ῥεῖ. εἶτα διελύθησαν. ἠρέμησαν δὲ καὶ οἱ Ταχάριοι.

42. Ὁ δὲ Ἰωάννης ὁ Ἄγγελος ὁ δεσπότης Θεσσαλονίκης τῷ χρεὼν ἐλειτούργησε, καὶ ὁ ἀδελφὸς αὐτοῦ Δημήτριος πέμψας τὸ δεσποτικὸν ἐκ βασιλέως εἰλήφει ἀξίωμα. ἐγένετο δὲ ἐξώλης καὶ περὶ ταῖς ὑπὸ ζυγὸν ἐφοίτα. ὃς ἐκ θυρίδος

---

ante χειμῶνα add. ποτὲ L ‖ δὲ] γοῦν a 1 διημερεύσας] προσκαρτερήσας L 2 δ' om. L δὲ a ‖ Νύμφαιον] νυμφεῖον L 3 Μουσουλμάνων] τούρκων L 4 Ἰαθατίνης] ἰοθατίνης, ὁ L 5 Ἀζατίνη] ἀζατίνου La ‖ ἀρχὸς] ἀρχηγοῦ L 6 ἔχαιρε] μετέδωκεν ἑαυτὸν καὶ τούτοις προσεῖχε L ‖ ἀσελγείαις — 8 συνόλον] ἀσελγικοῖς ἄλλοις κακοῖς. καὶ συνῆν ἀεὶ νεανίσκοις ἀλόγοις εἰπεῖν καὶ φλυάροις καὶ κόλαξιν L 6 ἀλλοκότοις] ἀλλοκόταις V corr. a 8 γοῦν] δὲ L 9 πρέσβεις οὖν] ὅθεν καὶ πρέσβεις L 10 τυχεῖν] τυγχάνειν L 12 φάσκων om. a ‖ τυγχάνον om. L ‖ Μουσουλμάνων] τούρκων L 13 παρὰ τῶν] ὑπὸ L 14 κατὰ] μετὰ L ‖ Ῥωμαΐκῶν χωρῶν] ῥωμαίων L Ῥωμαίων χωρῶν a ‖ ὁ γοῦν] ὅθεν ὁ L 15 ἀποδέχεται] δέχεται L ‖ συνηλθέτην] συνῆλθον L συνελθέτοιν da 17 ἠρέμησαν δὲ] καὶ ἠρέμησαν L 19 Ὁ δὲ] ἤδη L 20 τῷ χρεὼν] τὸ χρεὸν L τὸ χρεὼν a ‖ ὁ om. a ‖ ὁ — 21 ἀξίωμα] ἐγένετο ἀντ' αὐτοῦ δημήτριος, καὶ πέμψας ἔλαβε καὶ ἀπὸ τοῦ βασιλέως τὸ δεσποτικὸν ἀξίωμα L 22 περὶ ταῖς] τοῖς L ταῖς d

*τοῦ ἀνδρὸς τῆς μοιχευομένης ἐπεισελθόντος βουληθεὶς ἀποδράσαι καὶ πεσὼν τὸν γλουτὸν ἐπλήγη. ἱκανὰς δὲ ἡμέρας νοσηλευθεὶς ἰάθη μέν, ὑπέσκαζε δὲ τῶν ποδῶν θάτερον. ἀλλ' οὐκ εἰς μακρὸν ἀπώνατο τῆς ἀρχῆς. ὁ γὰρ βασιλεὺς ἀδείας δραξάμενος ** τοῦ πατριάρχου Γερμανοῦ τῶν τῇδε ἀπάραντος καὶ Μεθοδίου τινὸς μοναχοῦ ἡγουμένου τῆς Ὑακίνθου πατριάρχου γεγονότος καὶ μετὰ τρεῖς μῆνας τετελευτηκότος καὶ τότε τῆς ἐκκλησίας χηρευούσης.*

43. *Ὁ δὲ βασιλεὺς εἰς τὴν ἀντίπεραν ἐποιεῖτο τὸν βάδον ἕως τοῦ Ζίχνα ἄστεος. ἦρχε μὲν οὖν τότε Βουλγάρων ὁ τοῦ Ἀσὰν υἱὸς Καλλιμάνος δωδεκέτης ὤν. ἐπεὶ γοῦν περὶ τὰ μέρη τοῦ Κισσοῦ ὁ βασιλεὺς γένοιτο, διημερεύσας τῆς πορείας εἴχετο. καὶ πεφθάκει περὶ τὸν Ἕβρον τὸν πλησίον τῆς μονῆς τοῦ Βηρὸς ποιούμενον τὰς ῥοάς, Μαρίτζαν δὲ καλούμενον, καὶ ἐκεῖ δέχεται ἀναφορὰν παρὰ τοῦ τῆς Ἀχριδοῦ δημοσίαν κρατοῦντος, ὡς ὁ Καλλιμάνος τὸν βιοτὸν ἐξεμέτρησε. καὶ τάχος τοῦ πρόσω εἴχετο καὶ φθάνει τὴν Φιλίππους, κἀκεῖσε σκέψιν ἐποιεῖτο, εἰ δεῖ προσβαλεῖν Βουλγάροις καὶ εἰ εὐχερὲς ἁλῶναί οἱ τὸ τῶν Σερρῶν ἄστυ. καί τινες μὲν ἀπέτρεπον τοῦτο. ὁ δὲ Παλαιολόγος ὁ μέγας δομέστικος καὶ ἀποπειρᾶσθαι Σερρῶν ἔφη, εἰ δὲ καὶ μὴ περιγενοίμεθα, τίς ἡ ζημία; τοῦτο δεξάμενος ὁ βασιλεὺς ἐς τὴν βουλὴν εἰς τὰς Σέρρας ἀφίκετο. εὗρεν οὖν τὴν μὲν*

ὃς ἐκ] ὡς καὶ ἀπὸ L 1 ἐπεισελθόντος] εἰσελθόντος L ‖ ἀποδράσαι] ἀποδρᾶναι L corr. d 2 δὲ] δ' L 3 ὑπέσκαζε] ὑπέσκασε L 4 ἀπώνατο] ἀπώλετο L ἀπελύετο d 5 ἀδείας om. L ἄδειαν d 6 τινὸς μοναχοῦ om. L ‖ τῆς Ὑακίνθου om. L 7 πατριάρχου γεγονότος] πατριαρχεύσαντος La 8 τότε post ἐκκλησίας pos. L ‖ τῆς ἐκκλησίας post χηρευούσης pos. a 9 δὲ om. L 10 Ζίχνα om. L ζιζυχνῶν suppl. d ‖ μὲν—τότε] δὲ τῶν L ‖ τότε om. a 11 δωδεκέτης] δωδεκαέτης L ‖ γοῦν] δὲ L 12 γένοιτο] ἦν καὶ ἐκεῖ L 13 πορείας] ὁδοῦ L ‖ πεφθάκει] πέφθακε La 14 τοῦ—ῥοάς om. L ‖ δὲ om. L 15 Ἀχριδοῦ] ἀχρείδων La 16 τὸν—17 καὶ] ἀπέθανε L 17 τὴν] τοῦ L τοὺς d 18 Φιλίππους] Φιλίππου a 19 τῶν] om. L περὶ a ‖ Σερρῶν] σουρῶν L corr. d 20 sec. ὁ om. L 21 Σερρῶν] σούρων L corr. d 22 τοῦτο] τότε L τοῦ a ‖ ἐς om. La 23 τὰς om. L ‖ Σέρρας] σούρας L corr. d

πόλιν διερρηγμένην, τὴν δ' ἀκρόπολιν τετειχισμένην, καὶ φύλακα ἐπ' αὐτῇ Δραγωτᾶν τινα. τοὺς Τζουλούκωνας οὖν ἀθροίσας ὁ βασιλεὺς κρατῆσαι ταύτης ἠρέθισε. οἳ τὰ τόξα λαβόντες καὶ σανίδας αὐτοσχεδιάσαντες ὡς ἀσπίδας, ἐν οὐ πολλῷ κρατῆσαι ταύτης ἴσχυσαν, καὶ σκυλεύουσι τὰ παρευρημένα. ὅσοι δ' ἴσχυσαν τῶν ἐντός, ἱκέται πρὸς τὸν βασιλέα ἧκον. καὶ ὁ Δραγωτᾶς διαπρεσβεύεται πρὸς τὸν βασιλέα, καὶ χρήματα καὶ ἐσθῆτας δεξάμενος τὸ ἄστυ δέδωκεν· ὑπέσχετο δὲ δοῦναι καὶ Μελενίκον.

44. *Καὶ εὑρὼν τὸν μὲν τοῦ ἄστεος ἔφορον Λιτόβοον κλινήρη, τὸν δὲ Μαγκλαβίτην Νικόλαον ...... ὁ μὲν οὖν βασιλεὺς ἐσκηνοῦτο περὶ τὸν Βαλαβίσδαν τόπον, καὶ οἱ Μελενικιῶται ἀφικόμενοι τὸ ἄστυ τούτῳ παρέσχον. ἐκράτησε δὲ ὁ βασιλεὺς καὶ Στενιμάχου καὶ Τζεπαίνης καὶ τῶν τῆς Ῥοδόπης πολιχνίων καὶ κωμοπόλεων, καὶ ὅρον τὸν Ἕβρον πεποίητο. κατέσχε δὲ καὶ ἐκ τῶν πρὸς βορρᾶν Στούμπιόν τε καὶ Χοττοβὸν καὶ Βελεβουσδίον, Σκόπιά τε καὶ Βελεσσὸν καὶ τὰ μέχρι Πριλάπου καὶ Πελαγονίας χωρία, Νευστάπολίν τε καὶ Πρόσακον, καὶ σπονδὰς ἐκ Βουλγάρων δεξάμενος, ὡς μέχρι τούτων στῇ, ἀνέσχεν.*

45. *Ἵκετο δὲ τῷ βασιλεῖ ἀγγελία, ὡς ἐπιβουλήν τινες τῶν Θετταλῶν κατὰ τοῦ δεσπότου Δημητρίου ἱστῶσιν, ὧν οἱ*

---

1 *διερρηγμένην*] *διηρημένην* L *διερριμμένην* a ‖ *δ'* om. L 2 *αὐτῇ*] *αὐτῆς* L ‖ post *τινα* add. *ἄνδρα ἰσχυρόν* L ‖ *Τζουλούκωνας*] *τζουλούκαινας* L *τζουλούκανας* da 4 *σανίδας*] *σανίδων* L corr. d ‖ *ἀσπίδας*] *ἀσπίδων* L corr. d 6 *τῶν* om. L 9 *Μελενίκον*] *μελένικον* La 10 *Λιτόβοον*] *λιτοβόον* L 11 *τὸν*] *τὴν* La 12 post *τόπον* add. *οὕτω λεγόμενον* L 13 *ἀφικόμενοι—παρέσχον*] *ἧκον* (*ἦλθον* d) *αὐτῷ καὶ τὸ ἄστυ παρέδωκαν* L 14 *ὁ βασιλεὺς* om. L ‖ sec. *καὶ*] *τῆς* L ‖ tert. *καὶ*—15 *Ῥοδόπης*] *ῥοδόπολις καὶ ἄλλων* L 15 *ὅρον*] *ὅλον* L 16 *πεποίητο*] *ὑπεποιήσατο* L 17 *Χοττοβὸν*] *χυττοβὸν* Ld ‖ *Βελεβουσδίον*] *βελεσβουδίους* L ‖ *Σκόπιά*] *σκύπια* L ‖ *τε καὶ Βελεσσὸν*] *βολίσσας* L 18 *Πριλάπου*] *περιλάμπου* L corr. d ‖ *Πελαγονίας*] *πελαγονίων* L corr. d ‖ *χωρία*] *χώρας* L 19 *Πρόσακον*] *πρόσεκκον* L ‖ *καὶ σπονδὰς*] *σπονδάς τε* L *καὶ σπονδάς τε* a 20 *στῇ* om. L 21 *ἀγγελία*] *ἄγγελος* L corr. d ‖ *ἐπιβουλὴν*—22 *Θετταλῶν*] *οἱ θετταλοὶ ἐπίβουλοι* L 22 *ἱστῶσιν* om. L ‖ *ὧν*] *ὡς* L

ὀνομαστοὶ Σπαρτηνὸς ἦσαν καὶ Καμπανός, Ἰατρόπουλός τε καὶ ὁ Κουτζολάτος, ὁ δὲ τῶν ἐπισήμων Μιχαὴλ ὁ Λάσκαρις καὶ ὁ Τζυρίθων. ἕνα γοῦν τούτων, τὸν Καμπανόν, εἰς τὸν βασιλέα ἔπεμψαν, καὶ ὁ βασιλεὺς τὰ κατὰ σκοπὸν τούτοις ἐπεπράχει δι' ἐγγράφου χρυσοβουλλίου. καὶ ἀπάρας Μελενίκου περὶ Θεσσαλονίκην ἐφέρετο, πρέσβεις πρὸς Δημήτριον πέμψας, ὡς ἂν κατὰ τὰς αὐτοῦ ὑποθήκας ἀφίκοιτο εἰς αὐτόν. ὁ δέ — οὐδὲ γὰρ εἶχε νοεῖν — οἴκου κατέμεινεν ἐκ τῶν συμβούλων πεισθείς. ξυνέβη δέ τι ὅπερ ὡς ἥδυσμά τι παραθήσω. τὸν Καμπανόν — εἷς δ' οὗτος τῶν συνιστόρων τοῦ δόλου — ἀπήγγειλάν τινες κατὰ Δημητρίου φρονεῖν. καὶ ὃς παρέστη τῷ Δημητρίῳ καὶ ἀπηλέγχετο, καὶ ἦν πρὸς τῇ τοιαύτῃ ἐξετάσει. ὁ γοῦν Σπαρτηνὸς συμμύστης ὢν τούτῳ τάχος ἐκεῖσε φέρεται καὶ 'τί' φησι 'περὶ τοῦδε τοῦ ἀλητηρίου κατηγοροῦσί τινες, δέσποτα; ὃς εἰ ἁλῴη τοιοῦτος πολλῶν θανάτων κριθείη ἂν ἄξιος.' καὶ ὁ Δημήτριος — ἐθάρρει γὰρ μάλα τούτῳ ὡς πιστῷ — 'προδότην τοῦτόν φασιν εἶναι, Σπαρτηνέ.' ὁ δὲ παίει τὸν Καμπανὸν καὶ λαβόμενος τούτου τῆς γένυος 'ἐγώ' φησιν 'αὐτὸν ἐν τοῖς οἴκοι ἀπαγαγών, δέσποτα, ἐτασμοῖς ἐκπιέσας πάντα τοῦτον καταναγκάσω ἔκφορα ποιῆσαι.' ταῦτ' εἶπε, καὶ ὡς εἶχε τάχους ἐς τὴν οἰκίαν ἀπήει. τὸν μὲν οὖν Καμπανὸν τὸ ἀπὸ τοῦδε κλίνη εἶχεν. ἀσκὸν δὲ διαφυσήσας

---

1 *Σπαρτηνὸς* om. L ‖ *καὶ* om. L ‖ *Ἰατρόπουλος* — 2 *ὁ* om. L 2 *ὁ δὲ*] *καὶ* L ‖ *ὁ* om. L 3 *καὶ* om. L ‖ post *Τζυρίθων* add. *καὶ ἄλλοι* L ‖ *ἕνα* — 4 *ἔπεμψαν*] *καὶ ἔπεμψαν καὶ τὸν Καμπανὸν εἰς τὸν βασιλέα* L 4 *τούτοις ἐπεπράχει*] *διαπλάττει* L 6 *Μελενίκου*] *μελινίκου* V corr. a 8 *κατέμεινεν*] *κατάμεινεν* L *καταμείνας* d 10 *παραθήσω*] *παραστήσω* a 13 *τοιαύτῃ ἐξετάσει*] *τοι ἀνεξετάσει* L corr. d 15 *τοῦδε τοῦ*] *τούτου* L corr. d ‖ *δέσποτα*] *φησὶ δέσποτα* L 16 *ἁλῴη*] *ἁλῷ* a ‖ *τοιοῦτος*] *τοιούτως* L 17 *μάλα* om. L 18 *φασιν* — 19 *γένυος*] *φησὶν εἶναι τὸν καμπανόν, ἐπειλημμένος τοῦ γενείος* (*τῆς γένυος* d) *τούτου* L 19 *καὶ* om. a 20 *αὐτὸν*] *δέσποτα* L ‖ post *οἴκοι* add. *μου* L ‖ *ἀπαγαγών*] *ἀπάγω* L *ἀπαγάγω* d ‖ *δέσποτα* — 21 *καταναγκάσω*] *καὶ τὸν ἐτασμὸν ποιήσω καὶ ἐπαναγκάσω* L 21 post *ἔκφορα* add. *πάντα* L ‖ *ταῦτ'*] *ταῦτα* L 22 *εἶχε* — *ἐς*] *τάχος ἐπὶ* L ‖ *τὸ ἀπὸ τοῦδε* om. L 23 *ἀσκὸν* — 248,1 ἐπαιωρήσας] ὡς λε-

ὁ Σπαρτηνὸς καὶ δεσμεύσας καὶ ἐπαιωρήσας ἔτυπτεν ὡς Καμπανόν, ἀποκαλύψαι δῆθεν τὰ κρύφα. ἀσκὸς δὲ ἦν, οὐ Καμπανὸς ὁ τυπτόμενος. εἶτα ἀφίκετο ὡς εἶχε ποδῶν ὁ Σπαρτηνὸς πρὸς Δημήτριον καί οἵ φησιν· 'δέσποτα, ὅρκῳ σε πιστώσω τὸ πρᾶγμα· μὰ τὸν σὸν καὶ ἡμῶν ἁπάντων Δημήτριον τὸν κηδεμόνα Θεσσαλονίκης καὶ πολιοῦχον, τοιοῦτός ἐστιν ὁ Καμπανὸς ὁποῖος ὁ Σπαρτηνός, καὶ οὕτως διάκειται περί σε καθὰ καὶ ὁ Σπαρτηνός, ὃν ἀνθρώπων ἁπάντων πλέον σε φιλοῦντα ἐπέγνωκας.'

Ὁ δὲ βασιλεὺς ἐπὶ Θεσσαλονίκης χωρεῖ καὶ περὶ ταύτην ἐστρατοπεδεύσατο. πολιορκῆσαι μὲν γὰρ οὐκ ἦν αὐτῷ, πρεσβείας δὲ ἐποίει καὶ ἐζήτει ἐξελθεῖν πρὸς αὐτὸν τὸν Δημήτριον, καθὼς ἦν ὠμοσμένον αὐτῷ, ἔτι δὲ ποιῆσαι καὶ ἀγορὰν ἔξω τῆς πόλεως, ὡς ἂν ἔχοιεν ὠνεῖσθαι τὰ χρειώδη τὰ στρατεύματα. ὁ δὲ τοῖς ἐπιβούλοις συμβούλοις χρώμενος οὐδέν τι τῶν τοιούτων ποιῆσαι παρεχωρεῖτο. πάνυ δὲ ὀλίγων ἡμερῶν παραδραμουσῶν, ὀλίγου τινὸς στρατεύματος πλησίον ἱσταμένου τῆς μικρᾶς πύλης τῆς περὶ τῇ θαλάσσῃ, διὰ τὸ μὴ ἀπροόπτως ἐξελθεῖν τινας τῶν τῆς πόλεως καί τινας λυμαίνεσθαι τῶν ἐκ τοῦ στρατοῦ, ἐξαπίνης ἐκ ταύτης ἐγεγόνει βοή, ὡς ἤνοικται ἡ πύλη παρά τινος τῶν ἐντός, καὶ τῇ βοῇ συνείπετο ἡ παραφυλάττουσα δύναμις, καὶ σύμπαν δὲ τὸ στράτευμα ὁπλισθὲν μετὰ τοῦ κρατοῦντος ἐφοίτα, καὶ ἐν ἀκαρεῖ πάντας εἶχεν ἡ Θεσσαλονίκη τοὺς τοῦ

γεται θανάτου, διαφυσήσαντος σπαρτηνοῦ, δεσμεύσαντος καὶ (τε καὶ d) ἐπαιωρήσαντος L **1** ὡς Καμπανόν] δ' αὐτὸν σφοδρῶς L **2** δῆθεν om. L ‖ κρύφα] κρύφια L ‖ δὲ] δ' L **3** οὐ] ὁ L ‖ ὁ] τὸ τοῦ λόγου L ‖ εἶτα] εἶτ' L corr. d **4** καί οἵ—**9** ἐπέγνωκας] τὸν κηδεμόνα. καί φησι τοιοῦτος αὐτὸς ὡς κἀγώ, δέσποτα, καὶ οὕτω πρός σε διάκειται ἀληθῶς, εἰ καὶ ἁπάντων ἀνθρώπων ἐλπίζεις ἄριστά σε φιλεῖν. L **12** δὲ] δ' La ‖ ἐξελθεῖν—αὐτὸν] αὐτοῖς L **13** ὠμοσμένον αὐτῷ] αὐτῷ ὠμοσμένος L ‖ δὲ] δὲ καὶ L **14** ὠνεῖσθαι τὰ χρειώδη post στρατεύματα pos. L ‖ post χρειώδη add. αὐτῶν L **16** παρεχωρεῖτο] παραχωρεῖ L ‖ δὲ] δ' La **18** ἱσταμένου post πύλης pos. L ‖ τῇ θαλάσσῃ] τὴν θάλασσαν L **19** ἀπροόπτως] ἀπρούπτως L ‖ τῶν om. L **20** τοῦ om. L **21** ἡ πύλη ante ἐντὸς pos. L ‖ τινος τῶν] τινων L **23** δὲ om. L **24** πάντας] πάντως L ‖ εἶχεν ἡ]

βασιλέως ἐντός. ὁ δὲ βασιλεὺς ἔστη περὶ τὴν πρὸς ἀνατολὰς βλέπουσαν πύλην τῆς πόλεως καὶ ἡ τοῦ Δημητρίου ἀδελφὴ Εἰρήνη, τοῦ Βουλγάρου Ἀσὰν γαμετή, γονυπετοῦσα καὶ ποτνιωμένη μὴ παθεῖν τὸν ἀδελφὸν αὐτῆς τῶν ὀφθαλμῶν στέρησιν. ὁ δὲ Δημήτριος ἔφθη εἰς τὴν ἀκρόπολιν ἀναβάς. ἐγγύας δὲ ἐνωμότους πρὸς τοῦ βασιλέως λαβοῦσα ἀπῄει περὶ τὸν ἀδελφὸν καὶ πρὸς τὸν βασιλέα τοῦτον ἐξήγαγεν. ἦν δὲ φέρων οὗτος τὴν ἡλικίαν τοῦ μείρακος, προσεχῶς ἐς αὐτὴν παραγγείλας καὶ μήπω χνοάζων τὸ γένειον, ὡραῖος δὲ τὸ εἶδος καὶ τὴν φυήν. τετίμηκε δὲ ταύτην ὁ βασιλεύς, οἷα ἐκείνης σχηματιζόμενος τὴν ταπείνωσιν. ὡς γὰρ ἀπέβη αὕτη τοῦ ἵππου, τηνικαῦτα καὶ ὁ βασιλεύς. ἡ μὲν οὖν πόλις Θεσσαλονίκη οὕτως ὑπὸ τὸν βασιλέα γέγονεν Ἰωάννην.

46. Ὁ δὲ βασιλεὺς ἀφεὶς ἐκεῖσε τὸν μέγαν δομέστικον τὸν Παλαιολόγον νικητὴς ἐπανέζευξεν εἰς τὴν ἕω, ἀφεὶς καὶ εἰς Μελενίκον καὶ Σέρρας καὶ τὰ περὶ αὐτὰ τὸν τοῦ μεγάλου δομεστίκου υἱὸν Μιχαὴλ τὸν Παλαιολόγον· ἄλλον τε ἀλλαχοῦ ἐπαφῆκεν εἰς ἀσφάλειαν τῶν χωρῶν τε καὶ πόλεων. τὸν δὲ Δημήτριον, ὃν τῆς Θεσσαλονικέων ἀρχῆς καθεῖλεν, ἐν τῷ φρουρίῳ καθείρξας τῶν Λεντιανῶν ἐφρούρει. τοῦ δὲ μεγάλου δομεστίκου νοσήσαντος καὶ ἀποκαρέντος, ἀπεστάλη ἀντ' αὐτοῦ Θεόδωρος ὁ Φιλῆς. καὶ ἐπεὶ ὑπὸ τὸν βασιλέα ἐγεγόνει Θεσσαλονίκη καὶ Βέρροια, καὶ τὰ ἐκεῖθεν αὐτῶν καὶ πρὸς δυσμὰς ἀπὸ τοῦ Πλαταμῶνος ἀρχόμενα ὑπὸ τὸν Μιχαὴλ τὸν δεσπότην ἐτέλουν, ἔτι τε τὰ περὶ

εἶχε La 3 Βουλγάρου] βουλγάρων L 5 ὀφθαλμῶν] προοφθαλμῶν L ‖ δὲ] δ' La 6 πρὸς] πρὸ L 7 περὶ] πρὸς La 8 τὴν om. L 9 ἐς] περὶ L 11 ἐκείνης σχηματιζόμενος post ταπείνωσιν pos. L 12 τὴν om. L ‖ αὕτη] αὐτὴ L 13 Θεσσαλονίκη] αὕτη L 15 Ὁ δὲ βασιλεὺς] ὃς καὶ L ‖ τὸν μέγαν om. L 16 ἀφεὶς] ἐπαφεὶς L 17 καὶ Σέρρας] σούρον L σέρρας d 18 ἄλλον τε ἀλλαχοῦ] ἄλλον τε ἄλλους L 19 χωρῶν τε καὶ om. L 20 Θεσσαλονικέων ἀρχῆς] θεσσαλονίκης L 21 τῶν Λεντιανῶν] τῆς λεντιάνης L 22 ἀπεστάλη] ἐστάλη a 23 Φιλῆς] φιλόσοφος d 24 καὶ Βέρροια] βουρροιά τε L βέρροιά τε d 25 αὐτῶν — ἀρχόμενα] πρὸς πλαταμῶνα L 26 τε om. L ‖ περὶ Πελαγονίαν καὶ

Πελαγονίαν καὶ Ἀχρίδου καὶ Πρίλαπον· τοὺς δὲ Βοδηνοὺς καὶ Σταρίδολα, Στροβός τε καὶ τὰ περὶ ταῦτα ὁ τοῦ Δημητρίου πατήρ.

47. *Ὁ οὖν βασιλεὺς ἐν τοῖς τοῦ Νυμφαίου παραχειμάσας, ἦρος φανέντος τῇ Τζουρολῷ καὶ τῇ Βιζύῃ ἐπιθέσθαι τεθέληκε. καὶ πρῶτον ἀφίκετο ἐν τῇ Τζουρολῷ· ἦν δὲ ἐκεῖσε ἡ τοῦ Ἀσὲλ δε Κάε γυνή, ἀδελφὴ τῆς βασιλίδος Εἰρήνης Εὐδοκία. ὁ μὲν οὖν Ἀσὲλ δε Κάε οὐκ ἐκαρτέρησεν. ὁ δὲ βασιλεὺς παρεκάθισε τῷ ἄστει καὶ ἑλεπόλεις ἔστησε καὶ μηχανήματα καταβλητικὰ τῶν ἐπάλξεων, καὶ διὰ μετρίων ἡμερῶν ἐχειρώσατο τοῦτο, καὶ τὴν αὐτοῦ γυναικαδελφὴν εἰς τὴν Κωνσταντίνου ἀπέστειλε καὶ τοὺς σὺν αὐτῇ. ἀλλὰ καὶ τὸ τῆς Βιζύης ἄστυ στρατιὰν ἐκπέμψας διὰ βραχέος κεχείρωκε.*

48. *Τότε καὶ τὸ ἄστυ Ῥόδου ἑάλω ὑπὸ Γενουϊτῶν κλοπῇ. ὁ γὰρ κρατῶν αὐτὸ Ἰωάννης ὁ Γαβαλᾶς ὁ τοῦ καίσαρος ἀδελφὸς ἀποδεδημήκει μετὰ τοῦ βασιλέως περὶ Νικομήδειαν διάγοντος. εὐθὺς οὖν βασιλικῇ προσταγῇ στέλλεται ὁ ἐπὶ τοῦ κεράσματος Ἰωάννης ὁ Καντακουζηνός, τὴν Θρακησίων ἐζωσμένος ἀρχήν, καὶ εἰσῆλθε τὴν νῆσον καὶ κατέσχε φρούριον ταύτης ὠνομασμένον Φιλέρημον, καὶ ἐμάχετο Γενουίταις. ἐγγὺς δὲ τοῦ ἄστεος πηξάμενος τὰς σκηνὰς ἐπολιόρκει τοὺς Γενουίτας. καὶ τάχος μὲν ἂν τὸ τῆς Ῥόδου ἄστυ ὑπὸ Ῥωμαίους ἐγένετο, εἰ μὴ ὁ τῆς Ἀχαΐας καὶ Πέλοπος πρίγγιψ Βαλδουῖνος εἰς Συρίαν ἐπάγων συμμαχίαν — καὶ ὁπλίτας εἶχεν ἱππότας — κἀκεῖθεν διιὼν συνθήκας μετὰ Γενουϊτῶν ἐποίησε καὶ ἀφῆκεν αὐτοῖς ἄνδρας ἑκατόν· ὃ τοὺς Ῥωμαίους ἔπεισεν ὑποχωρῆσαι εἰς τὸ Φιλέρημον. ἐξήρχοντο οὖν οἱ*

πελαγονίας L ‖ *περὶ*] *περὶ τὴν* a 1 *Ἀχρίδου*] *ἀχρειδῶν* La 2 prim. *καὶ*] *τὰ* L ‖ *Στροβός*] *στρωβός* La *Στροβόν*? ‖ *ταῦτα*] *τοιαῦτα* a 3 *πατήρ*] ⟨*κατεῖχε*⟩ *πατήρ*? 4 *παραχειμάσας*] *παραχωρήσας* L *προχωρήσας* d 5 *Τζουρολῷ*] *τζουρουλῷ* La ‖ *ἐπιθέσθαι τεθέληκε*] *ἐπιτίθεται* L 6 *ἐν τῇ Τζουρολῷ*] *εἰς τζουρουλὸν* L ‖ *δὲ*] *δ'* L 7 *ἡ τοῦ* om. L 8 *Εὐδοκία*] *καὶ εὐδοκίας* L ‖ *ὁ*] *ἡ* L 11 *εἰς τὴν*] *εἰς* La 13 *βραχέος*] *βραχέων* L *βραχέως* a 14 post *ἄστυ* add. *ἰσχυρὸν* La 15 *αὐτὸ*] *ἐκεῖ* L 17 *διάγοντος* om. L 20 *ὠνομασμένον*] *ὀνομαζόμενον* La 22 *Ῥωμαίους*] *Ῥωμαίων* a 23 *πρίγγιψ*] *πρίγγεψ* L 25 *εἶχεν*] *ἔχων* L 27 *ἔπεισεν*] *ἐποίησεν* L

τοῦ πρίγγιπος ἱππεῖς καὶ τὴν χώραν ἐληίζοντο καὶ σπάνιν τῶν ἀναγκαίων Ῥωμαίοις ἐποίουν. ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης τὸ Νύμφαιον καταλαβὼν καὶ στόλον συσκευασάμενος καὶ τριακοσίους ἱππεῖς, καὶ δοὺς αὐτοῖς στρατηγὸν τὸν Κοντοστέφανον τὸν πρωτοσεβαστὸν Θεόδωρον ἐξαπέστειλεν. οἳ τῇ νήσῳ ἐπιόντες καὶ τοὺς Λατίνους ἔξω καταλαβόντες ἄρδην πάντας σπάθης ἔργον ἐποίησαν. οἱ δὲ Γενουῖται παρέδωκαν τὸ ἄστυ καὶ αὐτοὶ πρὸς βασιλέα ἀφίκοντο.

49. *Ὁ δὲ βασιλεὺς μετὰ τοῦ δεσπότου Μιχαὴλ συνθήκας ἐποίησε καὶ εἰς κήδους κοινωνίαν συνῆλθε, τὸν υἱὸν τούτου τὸν Νικηφόρον γαμβρὸν λαβὼν ἐπὶ τῇ τοῦ υἱοῦ αὐτοῦ θυγατρὶ Μαρίᾳ, καὶ περὶ Πηγὰς τὴν μνηστείαν ποιεῖ. ἀλλὰ τὸ τῆς παροιμίας κἀπὶ τῷ Μιχαὴλ ἐπαληθεῦον ἦν, στρεβλὸν ξύλον οὐδέποτ' ὀρθόν, καὶ Αἰθίοψ οὐκ οἶδε λευκαίνεσθαι. εἶτα εἰς ἀποστασίαν ἐχώρησεν ὁ Μιχαὴλ τῷ θείῳ αὐτοῦ Θεοδώρῳ συμβούλῳ χρησάμενος. ὃ γνοὺς ὁ βασιλεὺς διαπεραιοῦται τὸν Ἑλλήσποντον, καὶ καταλαβὼν Θεσσαλονίκην ἐν τοῖς Βοδηνοῖς ἐστρατοπεδεύσατο. ἀπέδρα δ' ἐκεῖθεν ὁ Ἄγγελος Θεόδωρος. εἰς δὲ πολιορκίαν Βοδηνῶν καταστὰς τὸ ἄστυ παρεστήσατο. καὶ ἐν λίμνῃ Ὀστροβῷ παραστρατοπεδεύσας πέμπει τὸν Κομνηνὸν Ἀλέξιον τὸν Στρατηγόπουλον Μιχαὴλ τὸν Παλαιολόγον, τὸν Μακρηνὸν Ἰωάννην, τὸν Τύραννον Γουδέλην, ἵνα ληίζοντο τὰ τοῦ Μιχαήλ. ὁ δὲ βασιλεὺς ἐκεῖ σκηνῶν ἠθύμει, ὅτι μὴ ἄξιόν τι εἰργάσατο. τὴν δὲ τῶν χρειωδῶν σπάνιν ἡμιόνοις καὶ καμήλοις ἐκ Βερροίας ἐθεράπευσεν. ἧκε δ' αὐτῷ πρόσφυξ ὁ Γλαβᾶς Ἰωάννης ἐκ Καστορίας, καὶ συνεχῶς ὁ Πετραλίφας Θεόδωρος ὁ γυναικαδελφὸς τοῦ Μιχαήλ. ὃς ἐπεὶ προσέλθοι τῷ*

---

2 *ἐποίουν*] *ἐποιοῦντο* L **8** *καὶ αὐτοὶ*] *αὐτοῖς καὶ* L **9** *κοινωνίαν*] *κοινωνίας* L ‖ *συνῆλθε*] *συνῆλθον* L ‖ *τούτου* om. L **12** *Μαρίᾳ* om. L **13** *ἐπαληθεῦον ἦν*] *ἐγένετο ἐπαληθεῦον* L **14** *ὀρθὸν*] *ὀργὸν* L corr. d **15** *εἶτα*] *ἔπειτα* L **18** *Βοδηνοῖς*] *βοδηνῶν* L **21** sec. *τὸν* om. La **22** pr. *τὸν*] *τε τὸν* L ‖ *Μακρηνὸν*] *μώκρην* L corr. d **23** *Γουδέλην*] *γουδέλων* La ‖ *ληίζοντο*] *ληΐζοιντο* scrib.? **25** *ἡμιόνοις*] *ἡιώνοις* L corr. d **26** *Βερροίας*] *βορροίας* L corr. d **28** *γυναικαδελφὸς* post *Μιχαὴλ* pos. L ‖ *προσέλθοι*] *προέλθε* L *προσῆλθε* d

βασιλεῖ, αἵ Δεαβόλεις, ἥ τε μικρὰ καὶ μεγάλη, τοῦ βασιλέως ἐγένοντο. καὶ ὁ ἀπὸ Ἀλβάνου Γουλάμος μετὰ στρατοῦ πρὸς Καστορίαν διάγων, σύζυγον ἔχων καὶ τὴν αὐτοῦ ἀνεψιὰν τῆς βασιλίδος Εἰρήνης πρωτεξαδέλφης αὐτῆς θυγατέρα, προσήει τῷ βασιλεῖ. ὁ δὲ Μιχαὴλ ἐν στενῷ ὁρῶν τὰ περὶ αὐτὸν πρεσβείαν πρὸς τὸν βασιλέα ἐστείλατο, καὶ ἀπέλυσε πρὸς τὸν βασιλέα ὁ Μιχαὴλ Πρίλαπον καὶ Βελεσὸν καὶ τὸ ἐν τῷ Ἀλβάνῳ φρούριον τὰς Κροάς. καὶ προέβησαν παρὰ τοῦ βασιλέως ἔγγραφοι ὅρκοι, καὶ δεσπότην τὸν αὐτοῦ υἱὸν τιμήσας ὁ βασιλεὺς διὰ τὴν ἐγγόνην. ὁ δὲ βασιλεὺς ἐν Βοδηνοῖς παραχειμάσας μετὰ μετρίου στρατεύματος ἀπῆλθεν εἰς Ἀχρίδαν καὶ εἰς Δεάβολιν καὶ εἰς Καστορίαν.

50. Καὶ παραμείψας Θεσσαλονίκην καὶ Βισαλτίαν εἰς Φιλίππους ἐπήξατο τὴν σκηνήν. ὁ γὰρ Μαγκλαβίτης Νικόλαος κατεῖπε Μιχαὴλ τοῦ Παλαιολόγου, ὃν καὶ ἤθελεν ἐξετάσαι ὁ βασιλεύς. ἐτασθέντων οὖν τῶν εἰρημένων ὁ μὲν ἤλεγχε τὸν εἰπόντα, ὁ δὲ ὡμολόγει εἰπεῖν, ἀλλ' οὐκ εἰδήσει τοῦ Παλαιολόγου Μιχαήλ. καὶ ὁπλισθέντες καὶ συμβαλόντες ἥττηται ὁ κατηγορούμενος, καὶ συλληφθεὶς ζωὸς αὖθις ἠρνεῖτο. κατεκρίθη θανεῖν, καὶ αὖθις μεθ' ὅρκων μὴ εἰδέναι τὸν Κομνηνὸν Μιχαὴλ ἔλεγεν. ἡ οὖν ἐξέτασις πρὸς τὸν Κομνηνὸν Μιχαὴλ καὶ ἡ διὰ μύδρου ἀπόδειξις. ὁ δὲ 'εἰ μὲν κατηγορεῖ μέ τις, πρὸς ἐκεῖνον ἂν ἐμαχεσάμην, τὸ δὲ μύδρου κρατῆσαι τερατουργοῦ τινος, οἷος ἦν Φειδίας καὶ Πραξιτέλης.' ὁ δὲ Φιλαδελφείας Φωκᾶς συνεβούλευε τούτῳ τὸ τοιοῦτον. ὁ δὲ 'οὐκ οἶδ' ὅπως τὸ τοιοῦτον κέκληται ἅγιον' ἔφη, 'ἀλλ' ἐγὼ ἁμαρτωλός εἰμι ἄνθρωπος καὶ τερα-

---

2 Ἀλβάνου] ἀλβοάνου L corr. d 3 σύζυγον] σύνευνον L 6 πρεσβείαν post βασιλέα pos. L 7 τὸ — 8 φρούριον] τῷ — φρουρίῳ L 10 pr. ὁ om. L 12 Ἀχρίδαν] ἀχριδὰν L Ἀχρίδας a ‖ tert. εἰς om. La 13 Βισαλτίαν] βησαλτία L βησαλτίαν a 16 ἐτασθέντων] λεχθέντων L 18 ὁπλισθέντες καὶ om. L ‖ συμβαλόντες] ξυμβαλόντες L 19 ζωὸς om. L ‖ αὖθις] ἔτι L 20 post ὅρκων add. διεβεβαίου L ‖ μὴ εἰδέναι post ἔλεγε pos. a 21 τὸν — ἔλεγεν om. L 22 Μιχαὴλ om. V add. a ‖ διὰ μύδρου] διαμύδρα L corr. d 23 μέ] μου La 24 ἦν] ἦσαν L corr. d 25 Φιλαδελφείας] φιλαδέλφιος L φιλαδέλφου a ‖ συνεβούλευε] συνεβούλευσε La

τουργεῖν τοιαῦτα οὐ δύναμαι. εἰ δέ μοι συμβουλεύῃ μητροπολίτης ὢν καὶ θεοῦ ἄνθρωπος τουτὶ διαπράξασθαι, ἔνδυσαι μὲν αὐτὸς τὴν ἱεράν σου στολήν, εἶτα ταῖς σαῖς χερσὶν ἐκπύρωσσόν μοι τὸν σίδηρον καὶ ταύταις ἐπίθες τῇ χειρί μου τοῦτον. καὶ εἰ οὕτω γένηται, τεθάρρηκα τῷ δεσπότῃ μου Χριστῷ, ὡς τὴν μὲν ἁμαρτίαν μου παροράσεται, θαυματουργήσει δὲ τὴν ἀλήθειαν.' καὶ ὁ μητροπολίτης 'οὐκ ἔστι τοῦτο τῆς ἡμετέρας καὶ Ῥωμαϊκῆς καταστάσεως οὐδὲ τῆς ἐκκλησιαστικῆς παραδόσεως, βαρβαρικῇ δὲ παραδόσει παρῆκται.' καὶ ὃς 'εἰ μὲν ἐκ βαρβάρων γεγένημαι, βαρβαρικῶς ἂν ἐκτισάμην τὴν δίκην μου.' καὶ ὁ μητροπολίτης πρὸς τὸν βασιλέα ἐλθὼν ταῦτ' εἶπε. καὶ ὁ βασιλεὺς 'αἲ τὸ ἐλεεινόν, οἵας δόξης ἐξέπεσε.'

51. Καὶ εἰς ἕω διαπεραιοῦται καὶ συζεύγνυσι τῷ Μιχαὴλ Κομνηνῷ εἰς γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ σεβαστοκράτορος Ἰσαακίου ἐγγόνην τὴν Θεοδώραν, ἣν μόνην ὁ πατὴρ Ἰωάννης καταλιπὼν ** σὺν τῇ αὐτῆς μητρὶ Εὐδοκίᾳ τῇ τοῦ Ἀγγέλου Ἰωάννου συνοῦσαν, τῇ θείᾳ τῶν Στρατηγοπούλων.

52. Εἰς τὸ ἐπιὸν περὶ τὴν Νίκαιαν ἀφίκετο, ἔνθα περὶ τὸν Φεβρουάριον ἐπὶ κλίνης τὸ πλέον τῆς νυκτὸς καθήμενος καὶ πρηνὴς ἐπὶ κλίνης πεσὼν ἦν ἄναυδος. οἱ δ' ἰατροὶ ἀμυχὰς τοῖς ποσὶν ἐποίουν καὶ ἐφόλβιον ταῖς ἀμυχαῖς ἐνέβαλλον, ἀλλὰ ταύτην τὴν νύκτα καὶ τὸ ἐπιὸν ἡμερονύκτιον ἀκίνητος ἔκειτο· ἀποπληξία γὰρ ἦν ἡ νόσος. μόγις γοῦν ἀνέπνευσεν, ἠλλοιωμένος τὸ χρῶμα. καὶ ἔσπευσε καταλαβεῖν τὸ Νύμφαιον πρὸ τῆς βαϊοφόρου κυριακῆς, καθ' ἣν

---

1 συμβουλεύῃ] συμβουλεύεις L 2 θεοῦ ἄνθρωπος] θεάνθρωπος L corr. d ‖ τουτὶ διαπράξασθαι om. L 3 μὲν αὐτὸς om. L 4 ἐκπύρωσσόν] ἐμπύρωσσόν L ‖ μοι] με L corr. d 8 καὶ] δυνάμεως ἢ τῆς L ‖ οὐδὲ—9 παραδόσεως om. L 15 Κομνηνῷ] τῷ κομνηνῷ La ‖ τοῦ om. L 16 Ἰσαακίου om. L ‖ τὴν Θεοδώραν om. L 17 Ἰωάννης om. L ‖ καταλιπὼν] κατέλιπε La ‖ σὺν—18 Στρατηγοπούλων om. L 19 τὸ om. a 20 post πλέον add. ἦν L 21 καὶ πρηνὴς] πρηνὴς δ' L ‖ ἦν ἄναυδος] ἄναυδος (ἄνανδρος d) ἔμεινε L ‖ δ'] δὲ La 22 ἐνέβαλλον] ἐνέβαλον La 24 ἔκειτο] ἔμεινε L ‖ ἀποπληξία] ἀποληξία L corr. d ‖ μόγις] μόλις La ‖ γοῦν] οὖν L 26 κυριακῆς om. L

εἴωθε θριαμβεύειν, καὶ ἐκεῖ καὶ τὴν ἀναστάσιμον διῆλθε, καὶ τὸ ἀπὸ τοῦδε τοῖς τοιούτοις ἐπεχωρίαζε μέρεσι, τῇ κατασχούσῃ τοῦτον νόσῳ κατὰ διάστημα ἡμερῶν πιεζόμενος. ποτὲ μὲν γὰρ ἐπὶ κλίνης ἔπιπτεν ἄφωνος, ποτὲ δ' ἔφιππος ὁδὸν βαδίζων ὑπὸ τῆς νόσου ἐγίνετο κάτοχος, καὶ οἱ συμπαρόντες κατεῖχον καὶ παρεφύλαττον, καὶ ἐπὰν εἰς λογισμὸν ἧκε σχολῇ πρὸς τὰ βασίλεια ὑπανέστρεφεν, ἐνίοτε δὲ καὶ φοράδην ἤγετο. ἐπεὶ δὲ ἡ νόσος ἐπηύξανε καὶ τὸ σῶμα τοῦ βασιλέως κατέπιπτε — συνεχέστερον γὰρ ἐγίνετο τούτῳ — καὶ ἡ ἀτροφία τοῦτον ἐπίεζε, καὶ ἀφίκετο εἰς Σμύρνην, ὡς τῷ ἐκεῖσε προσκυνήσῃ Χριστῷ καὶ διὰ παρακλήσεων ἵλεων αὐτὸν ἀπεργάσοιτο. καὶ ἀπελθὼν ἀνακωχὴν οὐχ εὗρεν. ἀλλ' ἐν τοῖς Περικλύστροις τόποις σκηνούμενος, ἅ εἰσιν ἐγγὺς Σμύρνης, χείρονος τοῦ πάθους ἐπῄσθετο. καὶ καταλαμβάνει τὸ Νύμφαιον, καὶ ἐν τοῖς ἐγγὺς τῆς χώρας βασιλείοις κήποις τὰς σκηνὰς ἐπήξατο. ἔνθα καὶ τῷ χρεὼν ἐλειτούργησεν, ἑξήκοντα δύο ἐτῶν ὤν, ἐξ ὧν τριάκοντα τρεῖς βεβασίλευκε καλῶς καὶ ἀγαθῶς. πρᾶος γὰρ ἦν καὶ πρὸς τὸ φιλανθρωπότερον ἀεὶ ἀπονεύων, πρὸς πάντας φιλόδωρος, μᾶλλον δὲ πρὸς τοὺς μήκοθεν. ἐρώτων δὲ θήλεων ἡττᾶτο, ἐξ ὅτου ἡ σύζυγος αὐτοῦ Εἰρήνη ἐξ ἀνθρώπων ἐγένετο, μάλιστα δὲ τῆς ἐξ Ἰταλίας μαρκεσίνης, ὡς καὶ πέδιλα ὑποδεδέσθαι ταύτῃ δοῦναι κοκκοβαφῆ καὶ ἐφεστρίδας καὶ χαλινά, ἕπεσθαί τε αὐτῇ πλείους ἢ τῇ κυρίως δεσποίνῃ, ἄλλα

---

1 καὶ τὴν] κατὰ τὴν L 3 ἡμερῶν om. L 4 δ' ἔφιππος ὁδὸν βαδίζων] δὲ καὶ βαδίζων ἔφιππος ἐν ὁδῷ L δὲ ὁδὸν βαδίζων ἔφιππος a 6 λογισμὸν ἧκε] λογισμοὺς ἦλθε L 8 φοράδην] φοράδας L corr. d ‖ ἐπηύξανε] ἐπαύξανε L 9 συνεχέστερον γὰρ] συχνέστερον καὶ L ‖ τούτῳ] πικρῶς L τοῦτο a 11 ἐκεῖσε] ἐν ἐκεῖ L ‖ Χριστῷ] θείῳ ναῷ τοῦ χριστοῦ L 12 ἀπεργάσοιτο] ἀπεργάσηται L 13 ἅ εἰσιν] εὕρεσι L 14 ante χείρονος add. καὶ ἐπεὶ L ‖ καὶ om. L 15 post χώρας add. τοῖς L 16 τῷ] τὸ La 17 τρεῖς] τρία? 18 βεβασίλευκε] ἐβασίλευσε L ‖ καλῶς—ἦν] καλὸς δ' ἦν καὶ ἀγαθὸς καὶ πρᾶος L ‖ πρὸς τὸ—19 πάντας] φιλάνθρωπος καὶ L 20 μᾶλλον δὲ] καὶ μᾶλλον L 21 σύζυγος] σύμβιος L 22 ὑποδεδέσθαι] ὑποδεδέχθαι L 23 ταύτῃ δοῦναι om. L 24 αὐτῇ om. L ‖ πλείους] πλείονες L ‖ κυρίως om. L

τε πολλὰ ἐποίει ταῖς ἐκείνης δουλεύων ὀρέξεσι. καρτερικὸς δὲ ἦν ἐν ταῖς μάχαις, καὶ τοῖς μὲν κατὰ συστάδην πολέμοις οὐκ ἔχαιρε, τὸ ἀλλοπρόσαλλον τοῦ Ἄρεως δειλιῶν, τῇ καρτερίᾳ δὲ χρώμενος, καὶ ἐνεαρίζων εἰς τὴν ἐναντίων καὶ τὴν θέρους ὥραν διαβιβάζων, ἔτι δὲ καὶ τὴν φθίνουσαν, ἐνίοτε δὲ καὶ παραχειμάζων τὴν νικῶσαν ἐλάμβανεν. ἦν δὲ εὐσεβέστατος καὶ φιλόπτωχος, φιλοδίκαιός τε καὶ φιλόχριστος, τὴν βασιλείαν τῷ υἱῷ Θεοδώρῳ καταλιπὼν ἐτῶν ὄντι λγ΄· τοσοῦτος γὰρ ἦν ὁ χρόνος αὐτῷ, ὅσος ὁ τῆς πατρικῆς βασιλείας ἐτύγχανε· σχεδὸν γὰρ τῇ πατρικῇ ἀναρρήσει καὶ ἡ γέννησις ἐκείνου συνέδραμεν.

53. Ὃς τὴν νενομισμένην ὁσίαν ἀποδοὺς τῷ πατρὶ καὶ ὑπ᾽ ἀσπίδος φημισθεὶς τοῦ Νυμφαίου ἀπάρας πρὸς τὴν Φιλαδέλφου ἀφίκετο. καὶ ἐκεῖσε διακαρτερήσας μικρὸν καὶ περὶ τὴν Βιθυνῶν χωρεῖ. καὶ ἐπεὶ ἐχήρευεν ἡ ἐκκλησία — προτέθνηκε γὰρ τοῦ βασιλέως ὁ πατριάρχης Μανουήλ — Ἀρσένιόν τινα μοναχὸν ἐξ Ἀπολλωνιάδος λίμνης μεταπεμψάμενος χειροτονεῖ πατριάρχην, ὃς καὶ μονημέρως διάκονος καὶ ἱερεὺς καὶ πατριάρχης τετέλεστο. καὶ παρ᾽ αὐτοῦ στεφθεὶς ἔξεισιν.

54. Ὁ γὰρ βουλγαράρχης Μιχαήλ, ὁ τούτου γυναικάδελφος, τὸν τοῦ βασιλέως Ἰωάννου πυθόμενος θάνατον, ἐπεὶ τὰ δυτικὰ μέρη γυμνὰ στρατευμάτων ἑώρα, βουληθεὶς τὰ ἀφῃρημένα ἐκ τούτων ἄστη ἀνακαλέσασθαι, τὸν Ἕβρον διαπε-

---

1 ταῖς ἐκείνης] ἐκείνης χάριν L **2** δὲ] δ᾽ La ‖ πολέμοις] πολέμου L **4** καὶ—**5** ὥραν] ἐποίει πάντα (παντοῖα d) καὶ τὰς ὥρας τοῦ ἔτους L **5** ἔτι—**6** ἐλάμβανεν] καὶ οἰκονομῶν, πολέμοις ἔχαιρεν. ἐπαύξων τὰ ἑαυτοῦ L **7** εὐσεβέστατος] εὐσεβὴς L ‖ καὶ] καὶ δίκαιος L ‖ φιλοδίκαιός τε om. L **8** ἐτῶν post ὄντι pos. L **9** γὰρ] ἄρ᾽ L ‖ αὐτῷ—πατρικῆς] τῆς ἡλικίας αὐτοῦ, ὅσων τῷ πατρὶ τῆς L **10** σχεδὸν—πατρικῇ] τῇ γὰρ βασιλικῇ L ‖ καὶ om. L **11** ἐκείνου] αὐτοῦ L **12** ὑπ᾽] ἐπ᾽ da **13** ἀσπίδος[ἀσπίδων L corr. d ‖ Φιλαδέλφου] φιλαδελφίαν L **14** καὶ ἐκεῖσε διακαρτερήσας] ὅπου προσκαρτερήσας L ‖ καὶ περὶ] πρὸς L **15** χωρεῖ] χώραν ἦλθεν L ‖ καὶ ἐπεὶ] ἐπεὶ δὲ L **18** χειροτονεῖ πατριάρχην] χειροτονηθῆναι πατριάρχην ἐντέλλεται L **19** prim. καὶ om. L ‖ sec. καὶ—**20** ἔξεισιν om. L **21** Ὁ γὰρ βουλγαράρχης] ὁ βουλγαρίας δὲ L **24** ἄστη] ἄστεα L

ράσας πολλὰ ὑφ' ἑαυτὸν ἐποιήσατο. κατεσχέθη μὲν οὖν ὁ Στενίμαχος Περιστίτζα Κριτζιμὸς Τζέπαινα καὶ τὰ ἐν τῇ Ἀχριδῷ ξύμπαντα πλὴν Μνιάκου· τοῦτο γὰρ καὶ μόνον ὑπὸ Ῥωμαίων πεφύλακτο. Οὔστρα δὲ καὶ Περπεράκιον καὶ Κρυβοῦς καὶ τὸ παρακείμενον τῇ τοῦ Ἀδριανοῦ καὶ κεκλημένον Ἐφραὶμ τοῖς Βουλγάροις κεχείρωτο. τούτου χάριν ἔσπευδε.

55. Βουλὴν οὖν ποιησάμενος, οἱ μὲν πλείους διαπεράσαι αὐτὸν τὸν Ἑλλήσποντον δέον ἔλεγον· οἱ δὲ πρὸς πάππου αὐτοῦ τοῦ βασιλέως Θεοδώρου, Μανουὴλ καὶ Μιχαὴλ οἱ Λασκάριες, οἷς προσεῖχε μᾶλλον τῇ τε γνησιότητι καὶ τῷ γήρει, οὐ χρεὼν διαπερᾶσαι τὸν βασιλέα ἐβούλευον. ἡ τῶν πλειόνων γοῦν ἴσχυσε βουλή. ὡς εἶχεν οὖν τάχους, τὴν Ἀδριανοῦ πέφθακε.

56. Κἀκεῖθεν ἔξεισι, καί τις τῶν Βουλγάρων κατοπτὴρ τὸν βασιλέα τῆς Ἀδριανοῦ ἐξιόντα τεθεαμένος δρομαῖος πρὸς τὸν βουλγαράρχην ἀφίκετο περὶ τὸν Ἕβρον σκηνοῦντο, καὶ τὸ δρᾶμα διασαφεῖ ὅρκοις, ἰδεῖν τὸν βασιλέα τὴν πρὸς τῇ πόλει τυγχάνουσαν τοῦ ποταμοῦ Ἕβρου γέφυραν διαβαίνοντα. γνοὺς δὲ καὶ ὁ βασιλεὺς τὴν τῶν Βουλγάρων κατασκήνωσιν ἐπέτεινε τὴν ὁδόν. καὶ οἱ προάγοντες τοὺς φύλακας Βουλγάρων ξίφει καὶ ζωγρίᾳ ἑλόντες — ἔκ τινος φυγάδος διαμαθόντες πάντες ἔφυγον τούτων πρὸς τὰ ἐνδότερα, κατεδρύπτοντο δὲ τοῖς συνηρεφέσι τῶν δένδρων. ἕωθεν δὲ τὸν τόπον ἔρημον φθάσας ὁ βασιλεὺς λελύπηται μέν, οὐκ εἶχε δ' ὅ, τι καὶ δράσειε. περὶ δὲ τὴν

---

1 ἑαυτὸν] αὐτὸν L ‖ κατεσχέθη] μετετέθη La 2 Περιστίτζα — Τζέπαινα om. L ‖ τῇ — 3 ξύμπαντα] ἀχριδῶν καὶ πέριξ ἅπαντα L ‖ Μνιάκου] μνίκα L 4 καὶ Κρυβοὺς] κυρβοὶ L 5 τὸ παρακείμενον] τὰ παρακείμενα L ‖ sec. καὶ — 6 Ἐφραὶμ om. L 6 τούτου] καὶ τούτου L ‖ post ἔσπευδε add. πολλά L 9 πάππου — 10 Λασκάριες] λασκάριας ἀπελθεῖν L ‖ Θεοδώρου] Θεοδώρου ⟨θεῖοι⟩? 10 μᾶλλον] πλέον L 11 τῷ — χρεὼν] ἄλλοις, ὅθεν καὶ οὐ L 12 πλειόνων γοῦν] πλείστων οὖν L 14 καί τις] τις καὶ L 15 τῆς — τεθεαμένος] θεασόμενος ἐξιόντα, ὃς καὶ L 17 ἰδεῖν om. L 19 καὶ om. La 22 φυγάδος] φυγόντος καὶ εἰπόντος L ‖ διαμαθόντες om. V ‖ πάντες — 23 δὲ] οἱ λοιποὶ δὲ εἰς τὰ ἐνδότερα εἰσῆλθον, κατακρυβέντες L 25 δ' ὅ, τι καὶ] δὲ καί τι L

Βερρόην χωρεῖ καὶ αὐτοβοεὶ τὸ φρούριον εἷλε. καὶ τάχ' ἂν περὶ τὸν Αἷμον αὐτὸν καὶ τὰ ἐν αὐτῷ φρούρια ἐκεχωρήκει, εἰ μὴ χειμὼν ἐκώλυσεν αὐτόν. πολλὴ γὰρ χιὼν τῆς γῆς τὸ πρόσωπον ἐπηλύγασεν. ἡμέρας γοῦν ἓξ διακαρτερήσας ὁ βασιλεύς, λείαν τὰ Βερρόης ποιησάμενος εἰς τὴν Ἀδριανοῦ ὑπέστρεψε.

57. Κἀκεῖθεν ἐπιλεξάμενος στράτευμα περὶ τὰ ἐν Ἀχριδῷ φρούρια ἐπεπόμφει τὰ κρατηθέντα ὑπὸ Βουλγάρων, εἴ πως καὶ αὖθις τῇ τῶν Ῥωμαίων ὑπαχθεῖεν ἀρχῇ. ἐκεῖσε οὖν ἀφιγμένοι οἱ τῶν Ῥωμαίων ἡγήτορες ῥᾷον τῶν φρουρίων περιεγένοντο τῶν πλείστων. ἐπεὶ δὲ τὸ ἔαρ ἐπέλαμψε, προστάγματα ἧκον πρὸς τὸν Στρατηγόπουλον Ἀλέξιον ἐν Σέρραις, ἵνα κατὰ Τζεπαίνης ἀφίκοιντο. ὃ καὶ ἐποίησαν. ἀλλὰ μήτε πολεμίοις ἀξίοις ἐγκύρσαντες, κτύποις ἤχων κερατίνων διαθροηθέντες ἀκόσμως ἐχρήσαντο τῇ φυγῇ, πᾶσαν ἀποσκευὴν καὶ τοὺς πλείους τῶν ἵππων τοῖς Βουλγάροις ἀπολιπόντες.

58. Καὶ ὁ τοῦ Μελενικιωτικοῦ δὲ προεξάρχων στρατεύματος Δραγωτᾶς τοὔνομα ἀποστασίαν φανερὰν μεμελέτηκε, καὶ συναγαγὼν στρατιὰν πλείστην παρεκάθισε Μελενίκον. ἐφύλαττον δὲ τοῦτον ὁ Νεστόγγος Θεόδωρος καὶ ὁ Ἄγγελος Ἰωάννης, οἳ καὶ γενναίως ἀντεῖχον. ὁ δὲ βασιλεὺς ἐς Σέρρας ἀφίκετο, καὶ ἐπεὶ ἐκπέπυστο τὴν τοῦ Ῥουπελίου δυσχωρίαν, καθ' ἣν ὁ Στρυμὼν ῥεῖ, Βουλγαρικῇ φυλάττεσθαι στρατιᾷ, οἳ καὶ πύλας ἐν αὐταῖς κατεσκεύασαν,

1 Βερρόην] φερόην L corr. d ‖ εἷλε] εἶχε L 2 περὶ — ἐκεχωρήκει] καὶ τὰ περὶ τὸν αἷμον φρούρια πάντα ὑπέταξεν L 3 ἐκώλυσεν] διεκώλυσε L ‖ αὐτὸν] μέγας L αὐτὸν μέγας a ‖ τῆς γῆς post τὸ pos. L 4 ἐπηλύγασεν] ἐπελεύκαινεν L ‖ γοῦν] δὲ L 7 Ἀχριδῷ] ἀχρίδω L ἀχριδὼν d Ἀχρειδῷ a 9 ὑπαχθεῖεν] ὑπαγάγῃ L ‖ οὖν om. L 10 ῥᾷον τῶν] καὶ ῥᾷον τῶν χωρῶν καὶ L 11 τῶν πλείστων om. L 12 ἐν Σέρραις om. L 13 Τζεπαίνης] ζεπαίνης L 14 ἤχων] ἢ ἤχων L ‖ post διαθροηθέντες add. κἂν βοαῖς L 16 πλείους] πλείονας L 17 προεξάρχων] ἐξάρχων L 18 τοὔνομα om. L 19 παρεκάθισε post μελένικον (sic) pos. L 20 Νεστόγγος] νοστόγγος L 21 καὶ ὁ] καὶ L 22 ἐς] εἰς La ‖ Σέρρας] σούρας L corr. d ‖ ἐκπέπυστο] πέπυστο L 23 Στρυμὼν] στρύμων La ‖ ῥεῖ om. L 24 οἳ] ὅπου L ‖ ἐν αὐταῖς om. L

σπουδῇ περὶ τὸν ἐκεῖσε χῶρον ἀφίκετο. ἀποκόψας οὖν στρατιὰν πεζαιτέρων ὑπὲρ κεφαλῆς τῶν Βουλγάρων βαδίζειν εἰς τὸ ὄρος προστέταχεν, ἱππεῦσι δὲ κατευθὺ τῶν πυλῶν τὴν μάχην ποιεῖν ἐκέλευσε. καὶ ἐπεὶ κατεῖδον οἱ Βούλγαροι ἐκ μὲν ἄνωθεν ὀϊστοὺς βάλλοντας, κατεναντίον δὲ σταδαίαν οὖσαν τὴν μάχην, εἰς φυγὴν ἐτράποντο. καὶ τὸ βασιλικὸν ἐφείπετο στράτευμα καὶ πολλοὺς σπάθης ἔργον ἐποίησαν. οἱ δὲ λοιποὶ τὴν τοῦ βασιλέως ἔφοδον τοῖς Βουλγάροις ἀπήγγειλαν, οἳ καὶ διαταραχθέντες ὡς εἶχον ἕκαστος ἔφυγον. ἐπεὶ δὲ νὺξ ἦν ἀσέληνος τῇ φυγῇ καὶ δυσχερὴς ὁ τόπος, ἔνιοι μὲν ἔπιπτον τῶν ἵππων, ἕτεροι δ' αὐτοὺς κατεπάτουν, ἄλλοι τῶν ἐφεστρίδων ἀπεσφενδονοῦντο κατὰ κρημνῶν, ὡς ὀλίγους διασωθῆναι ἐς τὴν Βουλγάρων. καὶ ὁ Δραγωτᾶς δὲ ἵππων ποσὶν ἅπαν τὸ σῶμα συντέθλαστο, καὶ τριταῖος τὴν αὐτοῦ ψυχὴν ἐξεφύσησεν. ὁ γοῦν βασιλεὺς τὸ ἄστυ καταλαβὼν ἀσπάσιος ὤφθη.

59. *Καὶ ἀπάρας ἐκεῖθεν ἐς Θεσσαλονίκην ἀφίκετο. κἀκεῖθεν τὸν Βαρδάριον διαπεράσας καὶ τὰ Βοδηνὰ παραμείψας ἐνόσησε νόσημα ἑδρικόν. διακαρτερήσας δ' ἐκεῖθεν μικρὸν περὶ τὸν Πρίλαπον ὥρμησεν. ἐκεῖθεν ἐς Βελεσὸν ἐχώρει, καὶ ἅμα τῷ φθάσαι ἐκεῖσε οἱ φύλακες τούτου ὅρκους λαβόντες ἐξῄεσαν. κἀκεῖθεν διὰ τῆς Νευσταπόλεως τὴν πορείαν ἐποιεῖτο. τὸ γοῦν τῆς Στρουμίτζης παραμείψαντες*

---

2 *κεφαλῆς—4 καὶ*] *τὸ ὄρος κατὰ τῶν βουλγάρων βαδίζειν προσέταξεν, ἐγκελευσάμενος τὴν μάχην εὐθὺ τῶν πυλῶν ὁρμεῖν τε καὶ γίνεσθαι. δ* L 5 *ὀϊστοὺς*] *ἰστοῖς* L ‖ *βάλλοντας*] *βάλλοντες* L ‖ *σταδαίαν*] *σταδίου* L corr. d 6 *ἐτράποντο. καὶ τὸ*] *ἐτράπησαν. τὸ δὲ* L 7 *σπάθης ἔργον*] *ἐκείνων ἔργον σπάθης* L 9 *ἀπήγγειλαν*] *ἀνήγγειλαν* L ‖ post *διαταραχθέντες* add. *ὡς βάρβαροι, τολμηροὶ ἄκρως καὶ δειλοὶ* L ‖ *εἶχον*] *εἶχεν* L 10 *ἐπεὶ δὲ*] *ἐπεὶ δὴ* L *ἐπειδὴ δὲ* a ‖ post *ἦν* add. *ἐκείνη* L 11 *ἔνιοι*] *ἔνια* L ‖ *ἕτεροι δ' αὐτοὺς*] *ἕτερα δ' ἄλλα* L 13 post *κρημνῶν* add. *ἐφέροντο* L ‖ *ὀλίγους*] *ὀλίγοι πάνυ* L ‖ *ἐς τὴν* om. L 14 *καὶ*] *ὡς καὶ* L ‖ *Δραγωτᾶς*] *δραγότης* L corr. d ‖ *δὲ* om. L ‖ *συντέθλαστο*] *συνθλασθεὶς* L 15 *καὶ*] *καὶ καταπατηθεὶς* L 16 *γοῦν*] *δὲ* L ‖ *ἀσπάσιος*] *ἀσπάσιεν* L *ἀσπασίως* d 17 *ἐς*] *εἰς* La 19 *ἐκεῖθεν*] *ἐκεῖ* L 20 *περὶ—ἐς*] *εἰς* L 21 *ἐκεῖσε*] *ἐκεῖ* L 23 *Στρουμίτζης*] *στουμπὶ* L *στουμπίτης* d ‖ *παραμείψαντες*] *παραμείψας* L

ἄστυ ἐς Σέρρας ἀπήεσαν, οὗ καὶ γραφὰς ἐδέξατο ὁ βασιλεὺς πρὸς τοῦ Μουζάλωνος, ὡς τὰ τῶν Ταχαρίων αὖθις κυμαίνεται. ἀπάρας ἐκεῖθεν ἐς Ἀδριανοῦ μολεῖ. καὶ ἐπεὶ μηδὲν τῶν παρὰ Βουλγάρων κρατηθέντων ἐναπελέλειπτο πάρεξ φρουρίων σμικροτάτων Ἀχριδοῦ καὶ Πάτμου καλουμένων, ἃ καὶ εὐχερῶς πάνυ ὁ Φιλανθρωπηνὸς εἷλεν Ἀλέξιος, καὶ ἄστεος ἄλλου Τζεπαίνης, μᾶλλον ἐδυσφόρει ὁ βασιλεύς. διὸ καὶ τῆς Ἀδριανοῦ ἀπάρας κατὰ Τζεπαίνης χωρεῖ. καὶ χειμὼν μέγας γέγονε χιόνι τε πολλῇ τῆς γῆς ἐπηλυγάσας τὸ πρόσωπον κατὰ τόπον, ὃν Μακρολιβάδα φασί, σκηνοῦντι τῷ βασιλεῖ. ἐκεῖθεν δ' ἄρας ἐς Στενίμαχον ἵκετο, καὶ κατευθὺ Τζεπαίνης χωρεῖ καὶ περὶ Βατκούνιον. καὶ ἀπεστάλκει κατοπτεῦσαι τὸν τόπον, εἰ εὐχερεστέραν τὴν εἰς αὐτὸν πορείαν σχοίη τὸ στράτευμα. τέως ἧκεν ἐκεῖσε, καὶ ἰδὼν τὸ φρούριον δυσάλωτον καὶ τὸν χειμῶνα βαρὺν τὴν μὲν στρατιὰν ἐς τὸ πεδίον ἀνῆκε, μόνος δὲ μετὰ τριῶν οὐράγει.

60. Ἐκεῖ δὲ δύο ἀνύσας ἡμέρας, καὶ λείαν τὴν πόλιν πεποιηκὼς τὸ Βατκούνιον, ἐς Ἀδριανοῦ ἧκε κἀκεῖθεν ἐς Διδυμότοιχον. καὶ διαπεραιωθεὶς τὸν Ἑλλήσποντον περὶ τὴν Λάμψακον σκηνοῖ, καὶ Γεώργιον τὸν Μουζάλωνα πρωτοσεβαστὸν καὶ πρωτοβεστιάριον καὶ μέγαν στρατοπεδάρχην ποιεῖ, τὸν δὲ αὐτοῦ ἀδελφὸν Ἀνδρόνικον μέγαν δομέστικον, τὸν δὲ Ἄγγελον Ἰωάννην πρωτοστράτορα, πρωτοβεστιαρίτην δὲ τὸν Καρυανίτην πεποίηκεν. αὐτοῦ δὲ τὰς ἑορτὰς τῶν Χριστοῦ γέννων καὶ φώτων διαβιβάσας εἰσήει τὸ Νύμφαιον.

---

1 Σέρρας] σήρας L σέρρεις d 2 Ταχαρίων] ταχάρων L 3 ἀπάρας] καὶ ἀπάρας L ‖ ἐς] εἰς La ‖ μολεῖ] χωρεῖ L 4 παρὰ] περὶ La ‖ ἐναπελέλειπτο] ἐναπολέλειπτο La 6 πάνυ] ἔπειτα L 7 καὶ ἄστεος ἄλλου] ὡς καὶ L ‖ μᾶλλον om. L ‖ ὁ] δ' ὁ L ‖ διὸ om. L 8 ἀπάρας] ἀπῆρεν L ‖ κατὰ—χωρεῖ] ἐπιχωρήσας ἐκεῖ L ‖ καὶ χειμὼν] χειμὼν δὲ L 9 γέγονε] ἐγένετο L ‖ χιόνι—10 κατὰ] κατὰ τὸν L 10 ὃν—11 ἐς] ὃν μακροαϊβάδας καλοῦσι, καὶ σκηνοῦται ὁ βασιλεύς, εἶτα εἰς L 11 ἵκετο] ἔρχεται L ‖ χωρεῖ om. L 13 εὐχερεστέραν—15 ἰδὼν] εὐχερῶς τὸ στράτευμα διαπεράσειε. ἦλθεν ἐκεῖ, καὶ καταθεασάμενος L 14 τὸ στράτευμα om. a 17 ἀνύσας] διανύσας L 19 διαπεραιωθεὶς] διεπεραιώθη L ‖ περὶ] καὶ περὶ L 20 σκηνοῖ] χωρεῖ κἀκεῖ σκηνοῦται L 22 αὐτοῦ om. L 24 πεποίηκεν om. L

61. Ἔαρος δ' ἐπιόντος κατευθὺ τῆς δυσμῆς ἐχώρει, ἐλπίζων τοὺς περὶ τὸ Διδυμότοιχον καταλελειμμένους σώους εὑρεῖν. ἀλλὰ τούτους κακοβουλία ἔσφαλεν. ἐπεὶ γὰρ ὁ τῶν Βουλγάρων ἄρχων μακρότερον διάγειν τὸν βασιλέα ἐγίνωσκε, Σκυθικὸν στράτευμα εἰς σφετέραν συμμαχίαν προσκαλεσάμενος κατὰ Μακεδονίαν ἐκπέπομφεν· ἠρίθμηντο δὲ περί που τὰς τέσσαρας χιλιάδας. οἳ τὴν Ἀδριανοῦ παραμείψαντες τὰ περὶ τὸν ποταμὸν Ῥηγῖνα ἐληΐζοντο καὶ τὰ περὶ τὸ Διδυμότοιχον. οἱ δ' ἐκεῖσε στρατάρχαι τῶν βασιλικῶν ἐπιλελησμένοι προστάξεων κατὰ τούτων ἐξώρμησαν. καὶ ἦσαν ὅπλοις κατάφρακτοι, οἱ δὲ Σκύθαι κοῦφοι ὁπλῖται καὶ τόξοις χρώμενοι. μακρόθεν οὖν οὗτοι βέλεσι Ῥωμαίους ἔβαλλον, καὶ πεζοὺς τοὺς ἱππότας ῥᾳδίως ἐποίουν, καὶ τέλος τρέπουσιν. ὁ μὲν οὖν Λάσκαρις ταχύτατον ἔχων τὸν ἵππον φυγὰς εἰς Ἀδριανοῦ ᾤχετο, ὁ δὲ Μαργαρίτης ἑάλω καὶ ἄλλοι πλεῖστοι, οὓς καὶ ἀπεμπόλησαν Βουλγάροις. ὃ μαθὼν ὁ βασιλεὺς ἔσπευσε διὰ τάχους περὶ τὸν τοῦ Βουλγαροφύγου χῶρον ἐλθεῖν. ὡς δ' οἱ Βούλγαροι τὴν βασιλικὴν ἔγνωσαν ἔφοδον, ἔφυγον ὡς εἶχον ποδῶν. οἱ πλείους δὲ τούτων περὶ τὰ μέρη Βιζύης ξίφους ἔργον ἐγένοντο. περὶ τὸν ποταμὸν οὖν Ῥηγίνα τὴν σκηνὴν ἔπηξεν.

62. Ὁ γοῦν τῶν Βουλγάρων ἄρχων πτοίᾳ ληφθεὶς ἐς σπονδὰς ἐτράπετο, καὶ τὸν πενθερὸν αὐτοῦ τὸν Ῥῶσον Οὖρον, τοῦ ῥηγὸς Οὐγγρίας ἐπὶ τῇ θυγατρὶ τελοῦντα γαμβρόν, μεσιτεῦσαι τὰ εἰς εἰρήνην βεβούλευται. καὶ ὁ Οὖρος ἐς τὸν βασιλέα ἀφίκετο καὶ ἐδέχθη προσηκόντως καὶ τὴν εἰρήνην πεποίηκε, καὶ ὤμοσεν ἀπολυθῆναι τὴν Τζέπαιναν καὶ ἑκάτερα τὰ μέρη τοῖς παλαιτέροις ὁρίοις ἀρκεῖσθαι. καὶ ἐς εἴκοσι χιλιάδας βασιλικῶν χαρισμάτων ὁ Οὖρος τυχὼν ἐξῄει. ὁ δὲ βασιλεὺς διεκαρτέρει τὴν τῆς Τζεπαίνης περιμένων ἀπόλυσιν.

---

1 ἐλπίζων] ἐλπίσας L corr. d 3 ἔσφαλλεν? 4 διάγειν post βασιλέα pos. L 6 Μακεδονίαν] μακεδονίας L 7 χιλιάδας] χιλιάδες L 9 δ'] δὲ La 13 ἱππότας ῥᾳδίως] ῥωμαίους L 14 τὸν om. L 16 μαθὼν] δὴ καὶ ἐνωτισθεὶς L δὴ μαθὼν a 19 ὡς εἶχον ποδῶν om. L 22 ἐς] εἰς La 30 περιμένων] περιμείνας d

63. *Ἀφίκετο δὲ καὶ ἡ τοῦ δεσπότου Μιχαὴλ γυνὴ Θεοδώρα μετὰ τοῦ υἱοῦ αὐτῆς Νικηφόρου τὸ πρὸς τὸν βασιλέα κῆδος ἀποπληρώσοντες. ὁ μὲν οὖν βασιλεὺς ἔσπευδε τὴν Θεσσαλονίκην καταλαβεῖν, συνείποντο δὲ τούτῳ καὶ ἡ τοῦ δεσπότου γυνὴ μετὰ τοῦ υἱοῦ, καὶ καθ' ὁδὸν τὰς συμβιβάσεις ἐποίουν, καὶ συμπεφώνηκε καὶ ἄκουσα δοῦναι πρὸς τὸν βασιλέα τὰ Σέρβια καὶ τὸ Δυρράχιον. ἐπὶ τούτοις καὶ ὅρκοι προύβησαν καὶ ἀπεστάλησαν πρὸς τὸν Μιχαήλ· καὶ ὃς ἑκὼν ἀέκοντί γε θυμῷ ξυνῆλθεν.*

64. *Ἐπεὶ δὲ ὁ βασιλεὺς τὴν Θεσσαλονίκην κατέλαβε, τοὺς γάμους πληροῖ, καὶ δεσπότην τὸν Νικηφόρον τετίμηκεν. ἧκε δ' αὐτῷ γραφή, ὡς ὁ Παλαιολόγος Μιχαὴλ ὁ μέγας κονοστάβλος τὴν Βιθυνίαν διέπων φυγὰς ᾤχετο περὶ τὴν τῶν Μουσουλμάνων, καὶ ἐταράχθη ἐπὶ τούτοις ὁ βασιλεύς.*

65. *Ἐπεὶ δ' ὁ Παλαιολόγος ἐν τοῖς οἴκοις τῶν Τουρκομάνων ἀφίκετο, τούτῳ ὡς ἑρμαίῳ ἐντυχόντες τὰ αὐτοῦ διηρπάκασιν. οὗτος δὲ μόγις διεκφυγὼν γυμνὸς περὶ τὸν περσάρχην ἀφίκετο. ὁ δὲ ἀσμένως τοῦτον προσήκατο, καὶ γραφαὶ στέλλονται, ἵνα τὰ ἐσκυλευμένα ἐξ αὐτοῦ ἐπικομισθεῖεν αὐτῷ. ἐπεὶ δ' οἱ Ταχάριοι τὰ πλείω τῶν Μουσουλμάνων ἐληΐζοντο καὶ περὶ τὰ Ἄξαρα ἐστρατοπεδεύσαντο, ὁ Κομνηνὸς Μιχαὴλ τὴν ἡγεμονίαν τῶν Ῥωμαϊκῶν εἰληφὼς στρατιῶν καὶ χάριτι θείᾳ ἀναρρωσθεὶς πρὸς μάχην ἐξώρμησε, καὶ τοὺς Ταχαρίους νενίκηκε, πρῶτος τὸν πρῶτον τούτων βαλών. καί τις ἀμηραχούρης τὸ ὑπ' αὐτὸν συλλα-*

---

1 *Μιχαὴλ* post *γυνὴ* pos. L ‖ *Θεοδώρα*] *θεοδώρου* L 2 *αὐτῆς*] *ταύτης* L 3 *ἀποπληρώσοντες*] *ἀποπληρώσαντες* L 5 *καὶ καθ'*] *καθ'* L ‖ *τὰς συμβιβάσεις*] *τινας συμβάσεις* L *τὰς συμβάσεις* a 6 *ἐποίουν*] *ποιούμενοι* L ‖ *συμπεφώνηκε*] *συνεφώνησε* L 7 *τὰ* om. d ‖ *Σέρβια*] *σούρβοια* L corr. d ‖ *ἐπὶ*] *καὶ ἐπὶ* L 13 *κονόσταβλος*] *κονόσταλος, ὁ* L 14 *Μουσουλμάνων*] *τούρκων χώραν καταφυγὼν* L 15 *δ'*] *δὲ* La 17 *μόγις*] *μόλις* L ‖ *διεκφυγὼν*] *ἀποφυγὼν* L 18 *προσήκατο*] *ἐδέξατο* L 19 *γραφαὶ στέλλονται*] *γραφὰς ἔπεμψεν* L ‖ *ἐξ—20 αὐτῷ*] *κομίσωνται* L 20 *Μουσουλμάνων*] *τούρκων* L 21 *ἐστρατοπεδεύσαντο*] *ἐστράτευσαν* L 22 *τὴν* om. L 23 *στρατιῶν* om. L 24 *πρῶτος τὸν πρῶτον*] *πρῶτον τὸν αὐτὸν* d 25 *τούτων*] *τῶν ταξῶν αὐτῶν* L ‖

βῶν στράτευμα τοῖς Ταχαρίοις προσώρμησε, κἀντεῦθεν οἱ διώκοντες ἔφευγον. ἔπιπτον γοῦν Πέρσαι συχνοί. μέχρι μὲν οὖν μακρῶν διαστημάτων τὴν δίωξιν οἱ νενικηκότες πεποίηνται. ὁ γοῦν Κομνηνὸς Μιχαὴλ συμβὰν οὕτω τῷ μεγίστῳ στρατοπεδάρχῃ τῶν Περσικῶν στρατευμάτων, ὃν πεκλάρπακιν οἴδασι Πέρσαι καλεῖν, ξυνῄει κατὰ τὴν ὁδόν, καὶ ἐπορεύοντο πλείους ἡμέρας ἐφεπομένων τῶν πολεμίων. ἐπεὶ δὲ ἡ τοῦ λεγομένου πεκλάρπακι οἰκία περὶ τὴν Κastάμοναν ἦν, ἐκεῖσε ἐγεγόνεισαν. τὸ δὲ τῶν Ταχαρίων γένος πᾶσαν τὴν ὑπὸ τοὺς Μουσουλμάνους κατέδραμε χώραν.

66. Ὁ δὲ βασιλεὺς Θεόδωρος ἐπεὶ περὶ τῶν γεγενημένων ἐπύθετο, ἔσπευσε πρὸς τὴν ἕω παλινοστῆσαι, καὶ ἀφεὶς ἐν Θεσσαλονίκῃ καὶ τοῖς κατὰ δυσμὴν μέρεσιν εἰς φύλαξιν τὸν πρὸς πάππου θεῖον αὐτοῦ τὸν Λάσκαριν Μιχαὴλ μετὰ μικροῦ στρατεύματος, ὅσον εἰς τριακοσίους ἠριθμημένου, τοῦ δὲ Πριλάπου καὶ τῶν περὶ αὐτὸν στρατευμάτων τὸν ὃν εἶχε σκουτέριον Ξυλέαν ὠνομασμένον, εἰς δὲ τὸν Βελεσσὸν καὶ τὰ περὶ αὐτὸν τὸν Καλαμπάκην Θεόδωρον, ὃν καὶ τατᾶν τῆς αὐλῆς κατωνόμαζον, τὸν δὲ Χαβάρωνα Κωνσταντῖνον εἰς ἡγεμονίαν τοῦ Ἀλβάνου, ἐμὲ δὲ πάντων προΐστασθαι.

67. (—68.) Καὶ διελθὼν τὰ τῆς Χουναβίας καὶ τὸ ὄρος τὴν Κακὴν Πέτραν, τὴν Μάτην, τὴν Δέβρην, τὴν Κύτζαβιν, εἰς Πρίλαπον ἤχθην. εἶτα τὴν Ἀλβανίαν κατέλαβον· ἦλθον εἰς Ἀχρίδαν, τὴν Πρέσπαν, τὸ Σιδηρόκαστρον, καὶ τῷ Πριλάπῳ προσέσχον.

69. Ὁ δὲ βασιλεὺς διαπεραιωθεὶς τὸν Ἑλλήσποντον ὡς

ἀμηραχούρης] ἀμήρας ἀχουμὲτ d 1 τοῖς Ταχαρίοις] τῇ ταχαρίᾳ L 2 γοῦν] δὲ τῇ μάχῃ καὶ L 4 γοῦν] μὲν οὖν L 6 Πέρσαι καλεῖν] παρακαλεῖν L 8 Καστάμοναν] κασταμόνην L 9 ἐγεγόνεισαν] καὶ γεγόνασαν L γεγόνασιν d 10 τοὺς Μουσουλμάνους] τούρκους L 14 πρὸς πάππου] πατρόπαππον L ‖ sec. καὶ om. L ‖ Μιχαὴλ] καὶ μιχαὴλ τὸν ψελόν L 16 δὲ] τε L ‖ Πριλάπου] πρελάπου L corr. d ‖ τῶν — 18 Θεόδωρον] τὰ πέριξ ἀφῆκε θεόδωρον καλαμπάκην L 19 κατωνόμαζον] κατωνόμαζεν L ‖ Χαβάρωνα Κωνσταντῖνον] κωνσταντῖνον τὸν χαβαρὰν 21 καὶ τὸ ὄρος] τὸ ὄρος τε L 22 Κακὴν] κάκον L ‖ Δέβρην] δέβραν L ‖ Κύτζαβιν] τζιτζάβην L 24 τὴν et τὸ om. L 26 διαπεραιωθεὶς] διαπεράσας L

εἶχε τάχους ἐπὶ τοὺς τῆς Λυδίας τόπους κεχώρηκε καὶ περὶ τὰς Σάρδεις τὰς σκηνὰς ἔπηξεν. ὁ δὲ σουλτάνος τὴν αὐτοῦ χώραν καταλιπὼν φυγὰς πρὸς τὸν βασιλέα ἀφίκετο. ὁ δὲ δώροις τοῦτον ἐδεξιώσατο καὶ πρὸς τὴν αὐτοῦ ἐπαναζεῦξαι πεποίηκε, δοὺς αὐτῷ καὶ στρατὸν τετρακοσίων ἐπιλέκτων, στήσας αὐτοῖς ἡγεμόνα Ἰσαάκιον Δούκαν τὸν Μούρτζουφλον. ὁ δὲ περσάρχης τὸ ἄστυ τῆς Λαοδικείας τῷ βασιλεῖ ἐχαρίσατο· ἀλλ' ἐπ' ὀλίγον ἦν Ῥωμαίων. ὁ μὲν οὖν σουλτάνος, ἐπεὶ μὴ ἐξίσχυε τοῖς Ταχαρίοις ἀνθίστασθαι, εἰς ξυμβάσεις αὐτοῖς συνῆλθεν ὑπὸ τέλει φόρων, ἐξ οὗ ἕως νῦν φορολογοῦνται. ὁ δὲ Μιχαὴλ ὁ Παλαιολόγος ὅρκον πρὸς τοῦ βασιλέως λαβὼν πρὸς αὐτὸν ἐπανέζευξε.

70. *Καὶ στέλλει τοῦτον κατὰ τοῦ ἀποστάτου Μιχαὴλ μετὰ στρατεύματος. ὁ δὲ διαβὰς τὸν Βαρδάριον, ὃν οἱ παλαιοὶ Ναξειὸν ὀνομάζουσι, καὶ τῷ Λάσκαρι Μιχαὴλ ἑνωθεὶς τὴν Βέρροιαν ἐληΐσαντο. οἱ δὲ Σέρβοι τὴν Κύτζαβιν παραμείψαντες τὰ πέριξ Πριλάπου ἐσκύλευον. ὁ δὲ σκουτέρης ἐμπλακεὶς τούτοις ἀσυντάκτως ἥττηται.*

71. *Καὶ ὁ ἀποστάτης Μιχαὴλ στρατιὰν ἐκπέμψας, στρατηγὸν ἐπιστήσας αὐτοῖς τὸν νόθον υἱὸν αὐτοῦ Θεόδωρον, τοὺς ὄντας ἐκεῖσε ἐν ἀκαρεῖ ἐτρέψατο. ὃ γνοὺς ὁ Παλαιολόγος Μιχαὴλ κατ' αὐτῶν ὁρμᾷ, καὶ τῷ στρατηγῷ τοῦ ἀποστάτου νόθῳ Θεοδώρῳ συρρήξας βάλλει τοῦτον τοῦ ἵππου καὶ ἱκέτην ὑπὲρ τοῦ μὴ θανεῖν δέχεται. παραδίδωσιν οὖν τοῦτον Τούρκῳ τινί, καὶ ὃς πεφόνευκε τοῦτον. καὶ ἐτρέψαντο τοὺς τοῦ ἀποστάτου· εἶτα ἀφίκοντο πρὸς Πρίλαπον, καὶ ὀλίγας ἡμέρας προσμείναντες ὑπέστρεψαν.*

---

3 *ὁ δὲ*] *ὃς καὶ* L 4 *ἐπαναζεῦξαι*] *ἐπαναζευξεῖν* L 5 *τετρακοσίων ἐπιλέκτων*] *ἄνδρας τε τετρακοσίους ἐπιλέκτους* L 6 *στήσας*] *εἴσας* L corr. d 7 *τῆς* om. L ‖ *ἐχαρίσατο*] *ἐδωρήσατο* L 8 post *Ῥωμαίων* add. *αὐτὸ* L 9 *μὴ ἐξίσχυε*] *οὐκ ἴσχυσε* L 10 *ὑπὸ — φορολογοῦνται*] *καὶ φορολογεῖται ἕως καὶ τοῦ νῦν οὗτος* L ‖ *τέλει*] *τέλη* V corr. a 11 *πρὸς*] *παρὰ* La 12 *αὐτὸν*] *ἑαυτὸν* L 13 *καὶ — τοῦτον*] *ὅθεν καὶ τοῦτον στέλλει* L ‖ *στέλλει*] *στέλλεται* a 17 *σκουτέρης*] *Σκουτέριος* a 19 ante *στρατηγὸν* add. *καὶ* L 22 *νόθῳ Θεοδώρῳ*] *τῷ νόθῳ* post *συρρήξας* pos. L 24 pr. *τοῦτον*] *αὐτὸν* L ‖ *ὃς — 25 τοῦτον*] *οὗτος αὐτὸν ἐφόνευσε* L 25 *τοῦ* om. L ‖ *εἶτα*] *εἶτα καὶ* L ‖ *ἀφίκοντο* post *τὸν πρίλαπον* pos. L

καὶ ἐπεὶ ἐκεχειρίαν εἶχε, περιεστοίχισε τὸ ἄστυ καὶ ἑλεπόλεις συνίστα καὶ κλίμακας ἔφερεν, ὡς ἂν διὰ τούτων περὶ τὸ ἄστυ ἀναρριχήσαιντο. ἀλλὰ τότε μὲν τραπέντες πλεῖστοι ἔργον φόνου γεγόνεισαν. αὖθις δὲ προσβολὴ περισσοτέρα περὶ τὸ ἄστυ, καὶ ἡ ἀπόκρουσις ὁμοία· ὡσαύτως καὶ ἡ τρίτη. εἶτα ἠρέμα παρεκάθηντο, καὶ οὕτως εἷλον τὸν Πρίλαπον.

72. *Ὁ οὖν βασιλεὺς Θεόδωρος τὰ περὶ τούτων ἀκηκοὼς ἠδημόνει.*

73. *Ὁ δὲ τῶν Βουλγάρων ἄρχων, γυναικάδελφος αὐτοῦ Μιχαήλ, ἔχθραν μὲν εἶχε κατὰ Ῥωμαίων, ἀλλὰ πρὸς τοῦ πρωτεξαδέλφου αὐτοῦ Καλλιμάνου καιρίαν πληγεὶς ἐτεθνήκει. ὁ δὲ Καλλιμάνος τὴν ἐκείνου λαβὼν γαμετὴν τὴν Βουλγάρων ἀρχὴν ἐσφετερίζετο. ἀλλ' ὁ Ῥῶσος Οὗρος μετὰ στρατευμάτων ἐπελθὼν τῷ Τρινόβῳ τὴν θυγατέρα τούτου, τὴν τοῦ Μιχαὴλ σύζυγον, εἴληφεν· ὁ γὰρ Καλλιμάνος προπεφόνευτο. ἐπεὶ δ' ἔρημος ἐναπελείφθη κληρονόμου ἡ τῶν Βουλγάρων ἀρχή, οἱ προύχοντες τὸν Τοίχου υἱὸν Κωνσταντῖνον εἰς τὸ ἄρχειν αὐτῶν ἀνεδέξαντο. ἵνα δὲ καὶ εὐπρόσωπος αὐτῷ ἡ ἀρχὴ γένοιτο καὶ δόξειεν ὑπὸ κληρονομίας κρατεῖν, πρὸς τὸν βασιλέα Θεόδωρον πρεσβείαν πεπόμφασιν, ἵνα τὴν πρώτην αὐτοῦ θυγατέρα Εἰρήνην συζεύξῃ τῷ Τοίχῳ, ἐγγόνην οὖσαν τοῦ Ἀσάν. ἐχώρισαν οὖν τὴν ἣν εἶχε γυναῖκα καὶ πρὸς τὸν βασιλέα ἀπέστειλαν. οὕτω γοῦν ἠρέμησαν τὰ τῶν Βουλγάρων.*

74. *Μετὰ δὲ ταῦτα νόσῳ δεινῇ ὁ βασιλεὺς περιπέπτωκεν. ἀπέκαμον οὖν ἐν ταύτῃ καὶ ἰατρῶν χεῖρες. ἐν οὐκ ὀλίγῳ γοῦν χρόνῳ τῇ νόσῳ κατεξετασθεὶς καὶ τὸ σῶμα ὅλον κατα-*

---

1 *καὶ ἐπεὶ—εἶχε* om. L ‖ *τὸ*] *τε τὸ* L 2 *περὶ* om. L 4 *γεγόνεισαν*] *γεγόνασι* L ‖ *αὖθις*] *αὖ* L 6 *εἶτα*] *ἔπειτα* L 7 *οὖν*] *δὲ* L 9 ante *γυναικαδελφὸς* add. *ὁ* L ‖ *αὐτοῦ*] *τοῦ* L *τοῦ αὐτοῦ* a 10 *Ῥωμαίων*] *ῥωμαίους* L 17 *Τοίχου* post *υἱὸν* pos. L 18 *δὲ καὶ* om. L 19 *αὐτῷ* post *ἀρχὴ* pos. L ‖ *ὑπὸ*] *ἀπὸ* L 20 *πρὸς*] *καὶ πρὸς* L 22 *Τοίχῳ*] *τοῦ Τοίχου* a ‖ *ἐχώρισαν*] *ἐχώρησαν* L ‖ *τὴν* om. L 23 *γοῦν*] *δὲ* L 24 *τὰ τῶν Βουλγάρων*] *καὶ τὰ βουλγάρων κακὰ καὶ αἱ ἐπιδρομαί* L 26 *ἀπέκαμον—χεῖρες*] *ἐν ᾗ καὶ ἰατρῶν ποῖδες* (*οἱ ἰατρῶν παῖδες* d) *ἀπέκαμιν* L 27 *γοῦν*] *δὲ* L ‖ *κατασκελετευθεὶς*] *κατασκελητεσθεὶς* L *κατὰ*

σκελετευθεὶς τὸ μοναδικὸν ὑπεισήει σχῆμα, καὶ ἐξομολόγησιν ἐπεποιήκει ψυχῆς γενναίας καὶ μεγαλόφρονος, τὴν εὐαγγελικὴν μιμησάμενος πόρνην, τὸν τῆς Μιτυλήνης ἀρχιερατικῶς προϊστάμενον εἰς τὴν τῶν αὐτοῦ σφαλμάτων ἐξαγορίαν μετακαλεσάμενος καὶ ἔμπροσθεν τῶν αὐτοῦ ποδῶν πίπτει πρὸς τοὔδαφος καὶ δακρύων ῥεύμασι τὴν γῆν ἔπλυνεν, ἐν ᾗ κατέκειτο, ὡς καὶ πηλὸν γενέσθαι ἐκ τούτων, καὶ τὸ 'ἐγκατέλιπόν σε, Χριστέ' συχνῶς ἐπεφώνει, τοῖς τῆς ἐξαγορίας λόγοις τοῦτο συμπαραπλέκων. ἐκεῖνος μὲν οὖν οὕτω βιώσας καὶ μήπω ὅλους τέσσαρας ἐνιαυτοὺς αὐτοκρατορήσας· κατὰ τὸν Νοέμβριον γὰρ ἄρξας ἐν Αὐγούστῳ μηνὶ τὸ τέλος ἔσχηκε τῆς ζωῆς. ὁ μὲν οὖν νεκρὸς αὐτοῦ ἐν τῇ τῶν Σωσάνδρων ἀπεκομίσθη μονῇ, καὶ ἐτάφη ἐκεῖσε, ὅπου καὶ ὁ βασιλεὺς καὶ πατὴρ αὐτοῦ. τετελευτηκὼς δὲ τρία καταλελοίπει παιδία, ἓν μὲν ἄρρεν τοὔνομα Ἰωάννην, θήλεα δὲ δύο, τήν τε Θεοδώραν καὶ Εὐδοκίαν. τὰς ἑτέρας γὰρ δύο αὐτοῦ θυγατέρας ἀνδράσι συνέζευξε, τὴν Εἰρήνην τῷ τοῦ Τοίχου υἱῷ, τὴν δὲ Μαρίαν τῷ τοῦ ἀποστάτου Μιχαὴλ υἱῷ Νικηφόρῳ, ἥτις καὶ ἐν τῷ καιρῷ τῆς τοῦ πενθεροῦ ἀποστάσεως τὸ κοινὸν ἀπέδοτο χρέος.

75. Ἦν δὲ ὁ υἱὸς αὐτοῦ οὔπω τελείων ἐτῶν ὀκτώ. ὁ δὲ πατὴρ αὐτοῦ διαθήκην πεποίηκε τάχα μὲν ὡς ἐπὶ τῷ παιδί, τῇ δ' ἀληθείᾳ ἐπὶ τῷ πρωτοβεστιαρίῳ αὐτοῦ τῷ Μουζάλωνι Γεωργίῳ· τοῦτον γὰρ διετίθετο τὸ κράτος ἔχειν, μέχρις ἂν ὁ τοῦ βασιλέως υἱὸς εἰς ἥβην τελείαν ἀφίκοιτο· καὶ πρού-

---

σκέλη τεθεὶς d 1 ὑπεισήει] ὕπεισι L ‖ ἐξομολόγησιν ἐπεποιήκει] ἐξωμολογήθη L 3 μιμησάμενος] μνησάμενος L corr. d ‖ post Μιτυλήνης add. γὰρ L 4 σφαλμάτων] ἐσφαλμάτων L ἐσφαλμένων d 5 πίπτει—6 τοὔδαφος] ἐπὶ τοῦ ἐδάφους πεσὼν L 6 ἐν ᾗ] ὅπου L 8 συχνῶς] συνεχῶς L 9 τοῦτο] τούτου L ‖ συμπαραπλέκων] συμπεριπλέκων La 10 μήπω] μήτε L ‖ τέσσαρας] δύο L ‖ αὐτοκρατορήσας—11 μηνὶ] βασιλεύσας L 12 ἔσχηκε] εἶχε L ‖ post τῆς add. αὐτοῦ L 14 ὁ] ὁ πότε L 15 μὲν et τοὔνομα et δὲ om. L 16 τε om. La ‖ ἑτέρας] ἄλλας L ‖ δύο om. L 17 τὴν et τοῦ om. L 18 τὴν δὲ Μαρίαν] μαρίαν δὲ L 19 ante Νικηφόρῳ add. τῷ L ‖ τοῦ om. L 20 ἀπέδοτο] ἀπέδωκε L 21 τελείων] τέλειος L 22 πεποίηκε] ἐποίησε L 25 ἀφίκοιτο] φθάση L

βησαν ἐπὶ τούτοις προστάξει τοῦ βασιλέως ὅρκοι παρὰ τῶν ἐντυχόντων τῷ τότε. ἀλλ' οὔπω τριταῖος ἦν ἐν τάφῳ ὁ τοῦ βασιλέως νεκρός, καὶ ὡς ἀπὸ κοινοῦ συνθήματος συνδραμόντες πάντες οἱ ἐκεῖσε — στράτευμα δὲ ἦν ἱκανόν — καὶ οἱ πρὸς βασιλέως κεκακωμένοι ἄνδρες εὐγενεῖς, ὁ Στρατηγόπουλος Ἀλέξιος, οὗ τὸν υἱὸν τετύφλωκεν, ὁ Τορνίκης Κωνσταντῖνον, ὃν εἶχε δέσμιον, ὁ Φιλῆς Θεόδωρος, ὃν τετύφλωκεν, ὁ Ζαγαρομμάτης Γεώργιος, ὃν ἐκράτει, οἱ τέτταρες υἱοὶ τοῦ πρωτοβεστιαρίου τοῦ Ῥαοὺλ καὶ αὐτοὶ καθειργμένοι, Νικηφόρος ὁ Ἀλυάτης, οὗ τὴν γλῶτταν ἐξέτεμεν, αὐτοβοεὶ πρὸς τὴν Σωσάνδρων μονὴν κατὰ τοῦ ἐπιτρόπου πρωτοβεστιαρίου καὶ τῶν αὐταδέλφων αὐτοῦ, ἐντὸς τοῦ ἱεροῦ βήματος ξίφους ἔργον τούτους ἐποίησαν καὶ τὸν βασιλέα ἔσκωπτον, ὅτι ἀνδραρίοις οὐτιδανοῖς τὴν Ῥωμαίων ἀρχὴν ἐνεπίστευσε.

76. *Καὶ οὕτω συνελθόντες ἅμα τῷ ἱερῷ καταλόγῳ καὶ τῷ πατριάρχῃ σκέψιν ἔθεντο τὸ τίς ἂν εἴη ἄξιος περὶ τὴν τῶν κοινῶν πραγμάτων διοίκησιν. ἠρωτοῦντο γοῦν οἱ Ῥωμαῖοι, εἶτα Λατῖνοι, εἶτα Σκύθαι, καὶ πάντες τὸν Κομνηνὸν Μιχαὴλ τὸν Παλαιολόγον ἐπέλεγον καὶ τοῦ παιδὸς ἐπίτροπον εἶναι καὶ τῶν κοινῶν διοικητήν. καὶ ὡς ἐν ὀλίγῳ ταινίᾳ δεσποτικῇ αὐτὸν ἀναδοῦσι, καὶ μετὰ μικρὸν εἰς βασίλειον ἀνήχθη περιωπήν.*

77. *Ἐπεὶ δ' ἀπὸ τῶν μεγιστάνων ὁ Καρυανίτης ἦν, ὃς καὶ φόνον κατεψηφίσατο τῶν Μουζαλώνων, τοῦτον ὁ βασιλεὺς Μιχαήλ, ἵνα μή τι νεωτερίσῃ, ἐν εἱρκτῇ ἔθετο. ὁ δὲ ἀποδρὰς περὶ τὰ τῶν Περσῶν ᾤχετο, κατασχεθεὶς δὲ ὑπὸ τῶν Τουρκομάνων πεφόνευται. ἐναπολέλειπτο δὲ ἀπὸ τῶν*

---

2 *ἀλλ'*] *καὶ* L ‖ *ἐν τάφῳ*] *ἐντάφιος* L 4 *πάντες*] *ἅπαντες* L ‖ *δὲ ἦν*] *δ' ἔτυχεν* L 5 *βασιλέως*] *βασιλέα* L ‖ *κεκακωμένοι*] *κακωμένοι* L corr. d 6 *τὸν*] *καὶ τὸν* L 7 *ὃν*] *ὃν καὶ* L 8 Ζαγαρομμάτης] *ζαγαρομίτης* L ‖ *ὃν ἐκράτει* om. L 10 *γλῶτταν*] *γλῶσσαν* La 12 *αὐταδέλφων* post *αὐτοῦ* pos. L 13 *τούτους*] *αὐτοὺς* L ‖ *ἔσκωπτον*] *ὕβρεσιν ἔπλυνον* L 14 *ἀνδραρίοις οὐτιδανοῖς*] *ἀνδραρίῳ οὐτιδανῷ* La 16 *τῶν* om. La 17 *γοῦν*—18 *Σκύθαι*] *δὲ οἱ ἀνδρεῖοι, εἶτα καὶ ξένοι καὶ σκύθαι* L 18 *Μιχαὴλ*] *μιχαλὴ* L corr. d 19 *ἐπέλεγον καὶ*] *ἔλεγον* L 21 *μετὰ*—*περιωπήν*] *εἰς βασιλέα ἀνάγουσι* L 22 *τῶν* om. L add. d 23 *Μουζαλώνων*] *μουζάλων* L

περιωνύμων ὁ Ἄγγελος Ἰωάννης ὁ πρωτοστράτωρ, ὃς κατὰ τὴν δυσμὴν ἦν. τοῦτον πέμψας ὁ βασιλεὺς ἤθελεν ἀγαγεῖν, καθ' ὁδὸν δὲ βέλει τρωθεὶς ἐτεθνήκει. ὁ γὰρ βασιλεὺς τὸν αὐτάδελφον αὐτοῦ μέγαν χειροτονήσας δομέστικον καὶ τὰ στρατεύματα παραδοὺς αὐτῷ εἰς δύσιν ἐκπέπομφε κατὰ τοῦ ἀποστάτου Μιχαήλ. ὡς δ' ἀνηγορεύθη, σεβαστοκράτορα εἶναι τοῦτον πέπομφε. συνῆν δὲ αὐτῷ καὶ ὁ Στρατηγόπουλος Ἀλέξιος καὶ ὁ πρωτοβεστιάριος Ῥαοὺλ Ἰωάννης. τετίμηκε δὲ καὶ τὸν Στρατηγόπουλον μέγαν δομέστικον, τὸν δὲ ἐξ ἑτέρας μητρὸς ἀδελφὸν αὐτοῦ Κωνσταντῖνον καίσαρα τετίμηκε καὶ εἰς τὰ τῆς Παφλαγονίας ἔστειλε μέρη.

78. Καὶ ἦν χαρὰ ὡς ἐκ σκοτομήνης εἰς φέγγος ἢ ἐκ κλύδωνος εἰς γαλήνην ἢ ἐκ χειμῶνος εἰς ἔαρ ἢ ἐκ λαίλαπος εἰς νηνεμίαν ἢ ἐξ ἀνίας εἰς ἡδονήν.

Οἱ δ' ἐν πόλει Λατῖνοι καὶ ὁ ἐν αὐτῇ βασιλεύων πρεσβείαν ἔστειλαν πρὸς τὸν βασιλέα ἀπὸ Θεσσαλονίκης ποιούμενοι ζήτησιν, ἵνα δοίη ταύτην αὐτοῖς καὶ πᾶσαν τὴν ἄλλην χώραν ἕως Κωνσταντίνου. ὁ δὲ βασιλεὺς ἀστειότερον πρὸς σφᾶς ἀπελογήσατο, ὡς 'ἐν Θεσσαλονίκῃ ὁ ἐμὸς πατὴρ ἡγεμονεύων ἐτεθνήκει· ὡς οὖν πατρίδος θέλω ἄρχειν αὐτῆς.' ταῦτ' ἀκηκοότες οἱ πρέσβεις ὑποκνηστιῶσαν ἔσχον τὴν ἀκοὴν καὶ 'παραχώρησον ἡμῖν ἐκ τῶν Σερρῶν αὐτῶν' ἔφησαν. καὶ ὃς 'ἐκεῖ πρῶτον ἡγεμονεύειν ἠρξάμην, καὶ οὐ χρεὼν ταύτην καταλιπεῖν με.' οἱ δὲ 'καὶ δὸς ἡμῖν ἐκ τοῦ Βολεροῦ τὰ μέχρις ἡμῶν.' καὶ ὃς 'πολλάκις' φησὶν 'ἐκεῖσε ἐθήρευσα, καὶ οὔ μοι κέκριται ἄξιον ἀφεῖναι τοῦ-

---

1 pr. ὁ om. L 2 ἤθελεν — 3 βασιλεὺς om. d 6 σεβαστοκράτορα — 7 πέπομφε] σεβαστοκράτωρ, τοῦτον μὲν ἐξαπέστειλε L ‖ ὁ om. L 10 post ἑτέρας add. υἱὸν L 13 κλύδωνος] κλυδόνος L ‖ γαλήνην] λιμένα L ‖ ἐκ χειμῶνος — 14 ἀνίας] ἀπὸ λύπης L 16 ἀνίας] ἀνοίας V ἀθυμίας a 15 βασιλεύων] βασιλεὺς L 16 ἔστειλαν — βασιλέα] ἔπεμψαν αὐτῷ L 18 post ἕως add. τῆς La 19 σφᾶς] αὐτοὺς L 20 πατρίδος] παῖδες L corr. d ‖ αὐτῆς] αὐτῶν L corr. d 22 ἐκ] κἂν ἀπὸ L ‖ αὐτῶν om. L 23 ἐκεῖ πρῶτον] πρῶτος ταύτης ἐγὼ L ‖ ἐκεῖ om. V add. a 24 post χρεὼν add. οὐδὲ L ‖ με om. L 25 φησὶν om. L 26 οὔ — 268,1 χῶρον] πάλιν θηρεῖν θέλω ἐκεῖ ὡς χωρίου διὰ τοῦτο ἐπιτηδείου L

του τὸν χῶρον.' 'τί οὖν ἡμῖν δίδως;' οἱ πρέσβεις ἀντέφησαν. 'ἐγὼ μὲν' ἔφη 'οὐδέν. ἀλλ' εἴπερ τὴν ἐξ ἐμοῦ λαβεῖν θέλετε εἰρήνην, ἐθέλω τοὺς ἐν Κωνσταντίνου Λατίνους πρὸς τὴν Ῥωμαίων τελεῖν ἀρχὴν μερίδα μὲν ἐκ τοῦ κομμερκίου ἡμίσειαν κἀκ τοῦ χρυσοψητείου ὡσαύτως. εἰ δ' οὖν, ἀλλ' ἔστω μάχη.'

79. Καὶ πρὸς τὸν ἀποστάτην δὲ Μιχαὴλ ἐστείλατο πρεσβείαν διὰ τοῦ Φιλῆ Θεοδώρου, πολλὰ ὑπενδιδοὺς τῶν προσηκόντων ἄστεων καὶ χωρῶν. ἀλλ' ἦν πρὸς τὰς ἀποκρίσεις σκληρός· ἐφύσα γὰρ αὐτὸν οὐ μόνον τὸ τῷ ῥηγὶ Σικελίας Μαφρὲ κῆδος, ἀλλὰ καὶ τὸ ἐπὶ τῷ πρίγγιπι Ἀχαΐας τῷ Γουλιέρμῳ. ὁ δὲ βασιλεὺς πρὸς τὸν ῥῆγα Σικελίας τὸν Μαφρὲ τὸν τοῦ ἀποστάτου γαμβρὸν πρέσβεις ἔστειλε διὰ τοῦ ἐπὶ τοῦ κανικλείου Νικηφόρου τοῦ Ἀλυάτου, ὃν καὶ κατεῖχε μεθ' ἑαυτοῦ ἐγγύς που δύο ἐτῶν. καὶ πρὸς τὸν πρίγγιπα Ἀχαΐας διεπρεσβεύσατο· ἀλλ' οὐδ' οὗτος εἶξε.

80. Τὸν δὲ ἀδελφὸν αὐτοῦ τὸν σεβαστοκράτορα κατὰ τοῦ ἀποστάτου ἐκπέμψας προσέταξε κατευθὺ τὴν πορείαν ποιήσασθαι, μέχρις ἂν τῷ τοῦ ἀποστάτου ἐντύχοι στρατεύματι. ὁ δὲ ἀποστάτης περὶ τὰ τῆς Καστορίας μέρη ἐστρατοπέδευεν. ἄφνω δ' ἐπῆλθε τούτῳ βοή, ὡς τὰ Ῥωμαϊκὰ στρατεύματα τὰ τῶν Βοδηνῶν τέμπη διαβάντα κατ' αὐτῶν χωροῦσι. καὶ πτοίᾳ ληφθεὶς ᾤχετο, πολλοὶ δὲ καθ' ὁδὸν ἐσίνοντο. καὶ ὁ Πετραλίφας δὲ Θεόδωρος, ὁ αὐτοκασίγνητος τῆς τοῦ ἀποστάτου

---

1 δίδως] παραχωρεῖς L ‖ post ἀντέφησαν add. καὶ ἀπὸ ποίου L 2 ἀλλ'—3 ἐθέλω] εἰ μὴ εἰρήνην παρέχω τὴν ἐξ ἐμοῦ, καὶ ἐθέλω, ὡς εὔλογον L 3 ἐν] ἐκ L corr. d 4 πρὸς—5 ἡμίσειαν] τὸν ῥωμαίων γινώσκειν βοσιλέα ἐμέ. ἢ κἂν εἰρηνεύοντας ἔχειν τῶν κομουρκίων (κομερκίων d) τὴν ἡμίσειαν μερίδα L 5 εἰ—6 μάχη] καὶ λοιπῶν μεγάλων προσόδων ἢ ὡς θέλετε ἔστω L 6 ἔστω] ἔστι V corr. a 7 Μιχαὴλ ἐστείλατο] ἔπεμψε μιχαήλ L 8 ὑπενδιδοὺς] ὑπενδιδοῦσαν L 9 καὶ χωρῶν om. L 10 τῷ] ⟨ἐπὶ⟩ τῷ? ‖ τῷ—11 κῆδος] κῆδος τοῦ μαφρὲ σικελίας L 12 Γουλιέρμῳ] γουλιέλμω La 13 πρέσβεις om. L ‖ τοῦ ἐπὶ τοῦ om. L 14 κανικλείου post Νικηφόρου pos. L 15 ἐτῶν] ἔτη L 16 Ἀχαΐας] ἀχαίων L corr. d ‖ εἶξε] ἧξε L 20 ἐστρατοπέδευεν] ἐστρατοπέδευσεν L 23 πολλοὶ] πολλὰ L ‖ δὲ om. L

συζύγου, τόπῳ ἐντυχὼν κρημνώδει σὺν ἵππῳ ὤλετο. συνεστάλησαν οὖν μέχρι τῶν Πυρρηναίων ὀρῶν, ἃ δὴ διορίζει τὴν παλαιάν τε καὶ νέαν Ἤπειρον τῆς Ἑλληνίδος καὶ ἡμετέρας γῆς. ἐπεὶ δὲ οὕτω συνέβη, ἄδειαν ὁ σεβαστοκράτωρ δραξάμενος κατὰ τῶν ἄστεων ὥρμησεν. εἷλεν οὖν Ἀχρίδαν, Δεάβολιν, καὶ πᾶσα δὲ ἡ περὶ τούτων χώρα, εἴτουν Πρέσπα Πελαγονία Σωσκὸς Μολυσκὸς ὑπὸ τὴν Ῥωμαϊκὴν ἐγεγόνεισαν ἐπικράτειαν.

81. Ὁ δ' ἀποστάτης πάντα κάλων κινήσας τοὺς οἰκείους συνέλεξε καὶ συμμαχίαν παρὰ τοῦ ῥηγὸς τοῦ γαμβροῦ αὐτοῦ προσελάβετο εἰς τετρακοσίους ἱππότας. ἅτερος δὲ τούτου γαμβρὸς ὁ Ἀχαΐας πρίγγιψ τὴν πᾶσαν αὐτοῦ στρατιὰν συλλεξάμενος δι' ἑαυτοῦ τὴν πρὸς τὸν αὐτοῦ πενθερὸν συμμαχίαν πεποίητο, ἄγων πλῆθος ἱππέων τε καὶ πεζῶν. συνήθροιστο γοῦν παμπληθὴς στρατιά, καὶ κατὰ τοῦ σεβαστοκράτορος Ἰωάννου τὴν ὁρμὴν ἐποιοῦντο. ὁ δὲ στρατηγικῶς τοὺς ἀντιπάλους μετήρχετο. ἐκεῖνος μὲν γὰρ μετὰ τῶν καταφράκτων καὶ θώραξι κεχρημένων δυνάμεων τὰ ἐχυρώτατα τῶν τόπων ἐκράτει, τοὺς δ' ἐλαφροτέρους κατὰ τῆς πεδιάδος πρὸς τοὺς ἀντιπάλους ἀνθίστασθαι προσετετάχει. ἦσαν δὲ οὗτοι οἱ μὲν ἐκ Σκυθῶν, οἱ δὲ ἐκ Τούρκων, ἕτεροι δ' ἐκ Ῥωμαίων, οἷς μᾶλλον ἡ τοξεία τὸ ἐπιτήδευμα, οἳ καὶ μακρόθεν τούτους τοῖς βέλεσιν ἔπληττον.

---

1 ἵππῳ] τῷ ἵππῳ La ‖ post ἵππῳ add. αὐτοῦ L
2 συνεστάλησαν] συνεστείλησαν L ‖ post δὴ add. καὶ L
4 post οὕτω add. ταῦτα L 5 δραξάμενος] διαδραξάμενος L ‖ εἷλεν] ἕλεν L 6 Ἀχρίδαν] ἀχρίδας L Ἀχρίδα a ‖ Δεάβολιν] διαβόλην L ‖ καὶ — 8 ἐπικράτειαν] πρέσπαν πελαγονίαν σωσκοὺς μελισκὸν καὶ ἄλλας χώρας τε καὶ πολίχνια καὶ ὑπὸ τὴν ῥωμαϊκὴν ἤγαγεν ἀρχὴν L 9 οἰκείους] οἰκειοτέρους L 11 εἰς om. L ‖ ἱππότας] ἱππεῖς L ‖ ἅτερος — 12 ὁ] ὁ δ' L 12 Ἀχαΐας] ἀχαίων L 13 ἑαυτοῦ] αὐτοῦ L 14 ἱππέων] ἵππων L 15 συνήθροιστο — στρατιά] συνήθροισε δε καὶ ἄλλα πλήθη L 16 Ἰωάννου om. L ‖ ἐποιοῦντο] ἐποίησαν L 17 μὲν om. L 19 ἐχυρώτατα] εὐχορώτατα L 20 τῆς πεδιάδος] τὰς πεδιάδας L ‖ τοὺς om. L ‖ προσετετάχει] προσέταξεν L 21 οἱ μὲν ἐκ] καὶ ἀπὸ L ‖ οἱ δ' ἐκ] καὶ ἀπὸ L 22 ἕτεροι δ' ἐκ] καὶ ἀπὸ L ‖ οἷς] οἳ καὶ L corr. d ‖ ἡ τοξεία] τῇ τοξείᾳ L corr. d 23 τούτους om. L

ἤρξαντο μὲν οὖν ἐκ τόπου, οὗ Βορίλα Λόγγος τοὔνομα, καὶ οὔθ' ἡμέρας ἀνέτως βαδίζειν αὐτοὺς παρεχώρουν οὔτε νυκτός. συνερρήγνυντο γὰρ αὐτοῖς ἡμέρας μὲν ἐν τοῖς τῶν ἵππων ποτοῖς, συνέπιπτον δὲ τούτοις καὶ καθ' ὁδόν, καὶ ταῖς ἁμάξαις καὶ τοῖς φορταγωγοῖς ὑποζυγίοις προσπελάζοντες ἐκ τῶν παρ' αὐτοῖς φορτίων ἐσκύλευον ὑποχωρούντων τῶν φυλασσόντων. τοῦτο δὲ πολλάκις πεποιηκότες εἰς θάρσος κατὰ τῶν ἐναντίων οὐ μέτριον ἐληλάκασιν, ὥστε καὶ χερσὶ χεῖρας ἐμβαλεῖν κἀξ αὐτῶν σκυλεύειν τὰ προστυχόντα. οὕτω τὸ τοῦ ἀντάρτου Μιχαὴλ συνέσταλται στράτευμα, βίᾳ καὶ μόγις Στανὸν καὶ Σωσκὸν καὶ Μολυσκὸν παραμείψαντες· ἔσπευδε γὰρ ἐς τὸ τοῦ Πριλάπου ἄστυ γενέσθαι, ὅπως αὐτὸ διασώσειαν. ἐκεῖ δὲ γεγονότες, εἰς οἰκείαν ἕκαστος διασκεδασθέντες βουλὴν τὸν περὶ ψυχῆς τρέχειν βεβούλευται. καὶ ὁ μὲν ἀποστάτης μετὰ τοῦ υἱοῦ Νικηφόρου καί τινων νυκτὸς ἐποχηθέντες ἀπέδρασαν· ὡς δ' ἔγνωστο τοῖς λοιποῖς, καὶ αὐτοὶ πρὸς φυγὴν ἐτράποντο. τὸ μὲν οὖν Ῥωμαϊκὸν στράτευμα καὶ ὁ νόθος τοῦ ἀποστάτου υἱὸς Ἰωάννης τῷ σεβαστοκράτορι Ἰωάννῃ προσῆλθον καὶ τῷ βασιλεῖ τοὺς ὅρκους ἀπέδοντο, ὁ δὲ πρίγγιψ Ἀχαΐας καὶ οἱ μετ' αὐτοῦ ἄλλος ἀλλαχοῦ διεσπάρησαν. καὶ ὁ μὲν πρίγγιψ κατὰ τὴν Καστορίαν ἑάλω ὑπ' ἀχυρμιᾷ τινι κρυβεὶς κἀκ τῶν ὀδόντων γνωρισθείς — εἶχε γὰρ τοὺς ἐμπροσθίους εὐμεγέθεις — καὶ δέσμιος ἀπήχθη τῷ βασιλεῖ· οἱ

---

1 Βορίλα Λόγγος] βρίλα L ‖ τοὔνομα] τὸ ὄνομα ὡς λόγος αὐτοῖς L 2 ἀνέτως] ἀνέτους La 3 συνερρήγνυντο — 4 τούτοις] ἀλλὰ συνερρήγνυντο καὶ συνέπιπτον αὐτοῖς L 5 ταῖς — 9 προστυχόντα] κατὰ τὰς ἁμάξας καὶ ἐν τοῖς χορτολογίοις καὶ (ἐν add. d) ἅπαντι τόπῳ L 10 τὸ] τὰ L ‖ στράτευμα — 11 Μολυσκὸν] καὶ διασκόρπισθαι στράτευμα βίαις τοιαύταις. καὶ σωσκὸν καὶ μελενικὸν (μελισκὸν d) L 12 ἔσπευδε] ἔσπευδον L 13 αὐτὸ] ἑαυτοὺς L 14 οἰκείαν] οἰκίαν La ‖ post βουλὴν add. ἔθεντο L 15 βεβούλευται om. L ‖ καὶ om. L 16 post τινων add. ἄλλων L 17 ἐτράποντο] ἐτράπησαν L 18 τοῦ ἀποστάτου post υἱὸς pos. L 19 Ἰωάννης om. L 20 ἀπέδοντο] ἐπέδωκαν L ‖ Ἀχαΐας] ἀχαίων L 22 ἀχυρμιᾷ] ἀχυρματίᾳ La ‖ κρυβεὶς] ἐναποκρυβεὶς L 24 post εὐμεγέθεις add. πάνυ L

δὲ κρείττους τῶν πραγμάτων αὐτοῦ καὶ προσγενεῖς, οἵ τε Ἀσὲλ δε Τουσί, ὁ τῆς Καρυταίνης Ἰοφρὲ καὶ ἄλλοι τῶν ὀνομαστῶν, οἱ μὲν κατὰ τὸν Πλαταμῶνα οἱ δὲ κατ' ἄλλο μέρος ἑάλωσαν. καὶ τὸ συμμαχικὸν στράτευμα τὸ ἐκ τοῦ ῥηγὸς Σικελίας Μαφρὲ σταλὲν ὑπὸ τεσσάρων κατεσχέθησαν, ὧν μὲν εἷς ἦν ὁ μέγας δομέστικος ὁ Στρατηγόπουλος, ὁ Ῥιμψᾶς Νικηφόρος, οἱ δὲ δύο τῶν ἀνωνύμων. καὶ τούτους ὡς δεσμώτας πρὸς τὸν βασιλέα ἐξέπεμψαν.

82. Ὁ μὲν οὖν σεβαστοκράτωρ Ἰωάννης τὴν Θετταλίαν παραμείψας περὶ τὴν νέαν Πάτραν ἐστρατοπεδεύσατο, ὁ δὲ Στρατηγόπουλος σὺν ἑτέροις τὰ Πυρρηναῖα ὑπερβάντες ὄρη καὶ καταλιπόντες ἐν τοῖς Ἰωαννίνοις στράτευμα εἰς τούτων πολιορκίαν περὶ τὴν Ἄρταν ἧκον. κατέλιπον δὲ τὸν ἐκεῖσε λαὸν οὐκέτι εὐνοϊκῶς περὶ αὐτοὺς ἔχοντα· οὐ γὰρ καλῶς ἐχρήσαντο τούτοις. διὰ ταῦτα καὶ ἡ περιφανεστάτη ἐκείνη νίκη πρὸς τοὐναντίον κεχώρηκεν. ὁ δὲ νόθος υἱὸς τοῦ Μιχαὴλ Ἰωάννης κατὰ τῶν Λατίνων κεχώρηκε, καὶ τὴν Λεβαδίαν παραμείψας τὰς Θήβας ἐσκύλευσε, τὴν δ' ἣν ὤδινεν ἀπιστίαν εἰς προὖπτον ἐξέφηνε, καὶ μετ' ἄλλων ἀποδρὰς πρὸς τὸν ἀποστάτην πατέρα ἧκε, μεθ' οὗ πλοιαρίοις ἐμβάντες τὰς διατριβὰς ἐν τῇ θαλάττῃ ἐποίουν. ὅμως ἀνερρώσθη, καὶ περὶ Ἄρταν ἀφιγμένος, ἐπεὶ τοὺς πάντας οἰκήτορας προσκειμένους εὗρεν αὐτῷ, εἶδε δὲ καὶ τὸ τῆς Βουδίτζης ἄστυ παρὰ τοῦ μέρους τούτου κρατούμενον, συναγαγὼν πάντας τοὺς ἡμετέρους ἐξ Ἄρτης ἐξήλασεν, ἀλλὰ καὶ τοὺς πολιορκοῦντας τὰ Ἰωάννινα. ὁ μὲν οὖν σεβαστο-

---

2 Ἰοφρὲ] ἰσφραὶ L ‖ τῶν ὀνομαστῶν om. L 3 οἱ δὲ — 4 μέρος post ἑάλωσαν pos. L 5 Μαφρὲ σταλὲν] σταλὲν τοῦ μαφρὲ L 6 ὁ Ῥιμψᾶς] ῥιψὰς post Νικηφόρος pos. L 7 post δὲ add. λοιποὶ L ‖ post ἀνωμύμων add. πλὴν τῶν ἀνδρείων L 12 καταλιπόντες] καταλείποντες αὐτὰ L ‖ τούτων om. L τούτου εἰς a 13 περὶ] κατὰ L ‖ ἧκον] χρειωδῶς ἔπεμψαν L 14 περὶ] πρὸς L 15 διὰ] καὶ διὰ L ‖ ἡ om. L 17 καὶ] ὃς L 18 τὰς Θήβας] τὴν θήβοαν L αὐτὴν τὴν θήβαν αὐτὴν d ‖ τὴν δ'] καὶ L 20 ἀποδρὰς] ἀποστὰς L 21 θαλάττῃ] θαλάσσῃ La 22 ἀφιγμένος] ἀφίκετο καὶ L 23 δὲ om. L 24 παρὰ — κρατούμενον] παρακαλούμενον L παρακρατούμενον d 25 ἐξ] τῆς L 26 post Ἰωάννινα add.

κράτωρ Ἰωάννης καὶ Τορνίκιος ὁ πενθερὸς αὐτοῦ πρὸς τὸν αὐτοκράτορα ἐπανήεσαν· ὃν καὶ τῷ τῶν δεσποτῶν τετίμηκεν ἀξιώματι, τὸν δὲ Τορνίκιον τῷ τῶν σεβαστοκρατόρων, καὶ τὸν αὐτάδελφον αὐτοῦ Κωνσταντῖνον σεβαστοκράτορα κατωνόμασεν. ἀλλὰ καὶ τὸν Στρατηγόπουλον Ἀλέξιον δι' ἐπιστολῆς τετίμηκε καίσαρα.

83. Ὁ δὲ βασιλεὺς ἔαρος ἐπιλάμψαντος κατὰ τῆς Κωνσταντίνου κεχώρηκεν. ἐπῆλθε γοῦν κατ' αὐτῆς τῷ ἐξαδέλφῳ αὐτοῦ Ἀσὲλ ἐξηπατημένος, ὑπισχνουμένου παραδοῦναι ταύτην αὐτῷ, καὶ ἐν τῷ Γαλατᾷ ἐστρατοπεδεύσατο καὶ τὸ τοῦ Γαλατᾶ ἐμάχετο φρούριον. ἀπιόντι οὖν ἐκεῖθεν πρέσβεις ἐκ Λατίνων ἧκον περὶ ἀγάπης, καὶ γέγονε χρόνον ἕνα.

84. Ἧκεν οὖν εἰς Πηγάς, εἶτα πρὸς Νύμφαιον. ἧκε καὶ περὶ Κλαζομενήν, οὗ ἧξε καὶ ὁ σεβαστοκράτωρ Τορνίκιος καὶ δι' ὄχλου γέγονε τῷ βασιλεῖ διὰ τὸν πατριαρχεύσαντα Ἀρσένιον. ὁ γὰρ πατριαρχικὸς ἐχήρευε θρόνος, τοῦ πατριαρχεύσαντος Νικηφόρου, ὃς ἀπὸ τῆς Ἐφέσου εἰς τὸν πατριαρχικὸν μετετέθη θρόνον, ἀπάραντος τῶν ἐνθένδε μηδ' ὅλον ἐνιαυτὸν διαρκέσαντος. ὁ δὲ Ἀρσένιος προεκλήθη ἀπὸ τοῦ βασιλέως Θεοδώρου, ὃς ἔχθραν ἔσχε κατὰ τοῦ βασιλέως. καὶ ἀνήχθη αὖθις Ἀρσένιος.

85. Ὁ δὲ βασιλεὺς τὸν Στρατηγόπουλον καίσαρα πέμπει τοῖς δυτικοῖς μέρεσι, παρήγγειλε δὲ τῆς Κωνσταντίνου ἀποπειράσασθαι. ναῦς οὖν τότε μεγίστη ἐκ Βενετίας εἰς τὴν Κωνσταντίνου ἀφίκετο καὶ ποτεστάτος, ὃς παροτρύνας ** τοὺς ἐν Κωνσταντίνου Λατίνους ἐν τριήρεσι καὶ πλοίοις καὶ

καὶ ταῦτα μὲν οὕτω διέκειτο ἐπτοημένα L ‖ μὲν οὖν] δὲ L
1 ὁ πενθερὸς αὐτοῦ ante καὶ pos. V 5 ἐπιστολῆς] ἀποστολῆς L 9 ὑπισχνουμένῳ? ‖ παραδοῦναι] παραδώσειν post ταύτην pos. L 10 αὐτῷ] αὐτῶν, ἀλλὰ L 11 Γαλατᾶ ἐμάχετο] ἐκεῖ ἐμάχοντο L ‖ οὖν] δ' L 13 εἶτα πρὸς] ἔπειτα εἰς L ‖ ἧκε om. L 14 Κλαζομενήν] κλυζομενήν L
15 πατριαρχεύσαντα] πατριάρχην L 16 ἐχήρευε] ἐχήρευσε L ‖ πατριαρχεύσαντος] πατριάρχου τελευτήσαντος L 17 post ὃς add. καὶ L 23 δὲ] δὲ καὶ L ‖ ἀποπειράσασθαι] ἀπόπειραν λαβεῖν L 24 ναῦς] ναυσὶν L ‖ μεγίστη] μεγίσταις L
25 ἀφίκετο καὶ] ἀφίκοντο L ‖ ποτεστάτος] μποτεστάς τε καὶ ἄλλοι L ‖ παροτρύνας] δὴ καὶ παροξύνας L

λεμβαδίοις καὶ δρόμωσι κατὰ Δαφνουσίας χωρῆσαι. καὶ γέγονεν οὕτως, καὶ κεκένωτο ἡ πόλις ἀνδρῶν, τῷ βασιλεῖ ταύτης Βαλδουίνῳ μετά τινων μετρίων φυλασσομένη. αἴφνης οὖν ὁ καῖσαρ τῇ Κωνσταντίνου ἐπήει, ἔχων καὶ ἄνδρας τινὰς ἐκεῖθεν ὄντας καὶ ἀκριβῶς εἰδότας τὰ κατ' αὐτήν. καὶ μαθὼν ὀπήν τινα περὶ τὰ τείχη χωροῦσαν εἰσιέναι ὁπλίτην ἐκεῖ ἥει. εἰσῆλθεν οὖν διὰ ταύτης ἀνὴρ καὶ ἕτερος καὶ ἄλλος καὶ καθεξῆς μέχρι τῶν ιε'. ἔτι δὲ καὶ πλείους ἄλλοι εἰσιόντες ἕνα εὗρον περὶ τὰ τείχη φύλακα, ὃν ἀναβάντες ἔξω τῶν τειχῶν ἔρριψαν, καὶ πελέκεσι τὰς πύλας ἐκμοχλεύσαντες ἐλευθέραν τὴν εἰς αὐτὴν εἴσοδον ἐποίησαν τῷ στρατεύματι. οἱ δ' ἐντὸς τῷ αἰφνιδίῳ κατασεισθέντες ὡς εἶχον ἕκαστος τὴν ἑαυτοῦ σωτηρίαν ἐπραγματεύοντο. καὶ ὁ Βαλδουῖνος περὶ τὸ μέγα παλάτιον ἐχώρησεν. οἱ δὲ περὶ Δαφνουσίαν ἀπιόντες Λατῖνοι καὶ ὁ ποτεστάτος, ἐπεὶ μὴ κατ' αὐτῶν τι δρᾶσαι ἴσχυσαν, πρὸς τὴν πόλιν ἐπανεζεύγνυον· ἀντελάβετο γὰρ κἀκείνων θεός. καὶ πλησιάσαντες εἰς τὴν πόλιν ὥρμησαν εἰσελθεῖν. ἀλλὰ τὰ Ῥωμαϊκὰ στρατεύματα τοῦτο γνόντες πῦρ ταῖς οἰκίαις τῶν Λατίνων ἐνέβαλον περὶ τὸν αἰγιαλὸν κειμέναις, καὶ ἐνέπρησαν ταύτας, πρῶτα Βενετίκων, εἶτα τῶν ἄλλων γενῶν, ἃς καὶ Κάμπους ὠνόμαζον. ὡς δ' εἶδον τοῦτο Λατῖνοι, λαβόντες ἐντὸς τῶν τριήρεων ὅσους ἠδύναντο, καὶ μιᾶς εἰς τὸ μέγα παλάτιον χωρησάσης καὶ δεξαμένης τὸν Βαλδουῖνον, ὑπε-

---

1 *χωρῆσαι*] *χωρεῖν* L 3 *μετὰ—φυλασσομένη*] *μετ' ὀλίγων φυλαττομένη τινῶν* L 5 post *ἀκριβῶς* add. *τῷ τότε* L ‖ *εἰδότας* post *αὐτὴν* pos. L 7 *ἥει*] *ἴει*? ‖ *εἰσῆλθεν οὖν*] *καὶ εἰσῆλθε* L 8 *ἔτι—9 πλείους*] *καὶ ἔτι καὶ* L 9 *ἕνα* post *εὗρον* pos. L ‖ *περὶ*] *παρὰ* L 19 *ἀναβάντες*] *ἀναβιβάσαντες* L 12 *τῷ*] *παντὶ τῷ* L 13 *σωτηρίαν*] *σοφίαν* L ‖ *ἐπραγματεύοντο*] *ἐπραγματεύσαντο* L 14 *περὶ*] *εἰς* L 15 *ἀπιόντες*] *ἀπελθόντες* ante *εἰς* pos. L 16 *κατ'—ἴσχυσαν*] *τι δρᾶσαι ὅλως ἰσχύοντες* L 17 *ἐπανεζεύγνυον*] *ἐπανεζεύγνυντο* L ‖ *ἀντελάβετο—θεός*] *ἀντιλαμβανομένου θεοῦ* L ‖ *πλησιάσαντες—18 ἀλλὰ*] *ὥρμησαν* L 19 *γνόντες*] *γνόντα καὶ διαμαθόντα καὶ* L 20 *ἐνέπρησαν*] *ἐπύρεσαν* L corr. d 21 post *πρῶτα* add. *τῶν* L ‖ post *εἶτα* add. *καὶ* L 22 *λαβόντες—23 ὅσους*] *ἐμβαλόντες ἑαυτοὺς ταῖς τριήρεσι ὅσοι* L 23 pr. *καὶ*] *ἀνεχώρουν* L 24 post *δεξαμένης* add. *ἔνδον μετὰ τῶν οἰκείων* L ‖ post *Βαλδουῖνον* add.

χώρησαν. οὕτω μὲν ἡ Κωνσταντίνου προνοίᾳ θεοῦ ὑπὸ Ῥωμαίους ἐγένετο, Ἰουλίου κε' ἄγοντος, οὔσης ἐπινεμήσεως δ' καὶ ἀπὸ γενέσεως κόσμου ἔτους ὄντος ͵ϛψξθ', ὑπὸ Λατίνων κρατηθεῖσα χρόνους νη'.

αὐτὸν καὶ L ‖ post ὑπεχώρησαν add. οὕτω ἀπαξάπαντες αὐτοί. οἱ δὲ λοιποὶ οἱ ἔνδον τῆς πόλεως ἐναπομείναντες οἱ μὲν μαχαίρας ἔργον, ἄλλοι πυρός, καὶ ἄλλοι αἰχμάλωτοι ἐγένοντο πανοικεσίαις (πανοικεσίᾳ d) L 1 προνοίᾳ—2 ἐγένετο] πόλις καὶ ἑάλω, θεοῦ παραχωρήσαντος ταῖς ἡμῶν ἁμαρτίαις, καὶ ὑπὸ ῥωμαίους ἐγένετο θεοῦ αὐτοῦ ἐλεήσαντος πάλιν L 2 οὔσης om. L 3 καὶ om. L ‖ post γενέσεως add. δὲ L 4 νη'] πεντήκοντα καὶ ὀκτὼ μόνους, εἶτα ἀπετίναξεν αὐτοὺς σὺν θεῷ. ἑάλω δὲ ͵ϛψιβ' ἀπριλλίῳ ιβ' L

THEODORI SCUTARIOTAE

ADDITAMENTA

AD

GEORGII ACROPOLITAE HISTORIAM.

P = cod. Ambrosianus Gr. A 202 inf. saec. XVI.
S = cod. Venetus Marcianus Gr. 407 saec. XV.
T = cod. Taurinensis Gr. B. V 13 (189 b Π 43) saec. XV/XVI.
s = *Σύνοψις χρονική* edid. C. Sathas.

1.

7,10 τοῖς πολίταις βούλευμα οὐκ ἐπαίνου ἄξιον] βούλευμα τοῖς πολίταις, οὐκ οἶδα περὶ τούτου φάναι εἴτε καλῶς εἴτε καὶ τοῦτο καθ' ἑαυτῶν s. 450,10 sq.

2.

11,21 Ἰταλοὶ κατὰ τὴν ἑῴαν] Ἰταλοὶ καὶ ἐξ ἑαυτῶν ἀλλὰ καὶ παρὰ τῶν κατὰ Πηγὰς ὁμοεθνῶν, ἔτι δὲ καὶ τῶν κατὰ Σκάμανδρον Ἀρμενίων παραθηγόμενοι, κατὰ τὴν ἕω s. 452,18 sq.

3.

14,1 Ἠπείρου κρατήσας] Ἠπείρου κρατήσας, Ἀχαΐας τε καὶ Ἀκαρνάνων ἐξουσιάζων καὶ τῆς Ναυπάκτου αὐτῆς s. 454,3—4.

4.

14,19 ἀφικνεῖται] εἰς τὸ Ἰκόνιον ἄπεισι s. 454,20.

5.

17,15 οὐδὲ—16 πρόφασις] καὶ σκυλεύει τὸ στρατόπεδον τῶν Περσῶν. οἱ γὰρ πάντες ὡς εἶδον ἐπὶ δόρατος φερομένην τὴν τοῦ σουλτάνου κεφαλήν, ἔφευγον ἀμεταστρεπτί. τοῦτο τοῖς Ῥωμαίοις ἀναψυχῆς ἐγένετο πρόφασις, οὐ μόνον ὅτι χρημάτων οὐκ εὐαριθμήτων αὐτός τε βασιλεὺς καὶ οἱ

---

6 κατὰ] καὶ T 14 πρόφασις] πρόφασιν T

σὺν αὐτῷ ἐγένοντο κύριοι καὶ ἵππων καλῶν καὶ πολλῶν καὶ ἄλλης μεγίστης περιουσίας, ἀλλ' ὅτι καὶ φοβεροὶ πᾶσιν ἔθνεσιν ἔδοξαν s. 456,23 sq.

6.

17,21 καὶ τὰ εἰκότα — 23 θνήσκει] ὁ δὲ τοῦτον ἰδὼν τοῦ ἵππου τε ἀποβαίνει καὶ οὕτως τὴν ὀφειλομένην ὡς βασιλεῖ τούτῳ ἀφοσιοῦται προσκύνησιν. οἱ δὲ τῆς συγκλήτου καὶ τοῦ στρατοῦ τὸ διαφέρον αἰτήσαντες καὶ λαβόντες αὐτόν, αἰτίαν προσάψαντες τὴν αὐτῶν πρὸς τὸν σουλτάνον προδοσίαν καὶ τῶν χωρῶν τῶν Ῥωμαϊκῶν, μετὰ δίκην στεροῦσι τοῦ φάους τῶν ὀφθαλμῶν. ἐν δὲ τῇ Νικαίᾳ τὸ λεῖπον τῆς ζωῆς αὐτοῦ διανύσας, θνήσκει καὶ θάπτεται ἐν τῇ τοῦ Ὑακίνθου μονῇ s. 457,1 sq.

7.

23,12 Περιθεώριον — πολλάς] Περιθεώριον, Πόρους καὶ ἄλλας πολλάς s. 459,25.

8.

23,13 λαὸν ἀπάρας] περισωθέντα λαόν — τοὺς γὰρ πλείους κατηφάνισε καταχώσας τοῖς πτώμασιν — ἀπάρας s. 459,26 sq.

9.

23,14 Ἴστρου] Ἕβρου s. 459,28.

10.

26,1 ὑπῆρχον — 2 ἣ] ὑπῆρχε δὲ τούτοις καὶ ἀδελφὴ Μαρία, ἣ s. 461,14.

11.

28,1 οὕτω — τυγχάνον] ὅρος δὲ τοῦτο περί που τοῦ κάστρου τῶν Ὀχυρῶν, ὃ καὶ Ἀχυράους παρά τισι λέγεται s. 462,24 sq.

---

2 ἄλλης] ἄλλοις T 14 πολλὰς om. T 16 κατηφάνισε] ἠφάνισε T 22 λέγεται] λέγονται T

12.

28,11 πράγματα. Ὁ δ' εἰρημένος] πράγματα. δεδόσθω καὶ τοῦτο τῇ ἱστορίᾳ ὡς ἀστεῖον καὶ χάριεν. ἦν τις κατὰ τὸν καιρὸν τοῦτον ἀνὴρ ἁπλοϊκός τε καὶ ἀπερίσκεπτος. οὗτος ἀνὰ τὰς ἀγυιὰς Νικαίας τῆς μεγαλοπόλεως διερχόμενος, οἷς ἂν ἐντύχοι συνήθεσι, συγχαίρειν αὐτῷ ἔλεγεν· 'ἀναφανήσεται γὰρ δι' ὀλίγου ὁ ἀγαθὸς βασιλεύς.' τοῦτο τὸ θρυλλούμενον φθάνει καὶ εἰς τὰς τοῦ αὐτοκράτορος ἀκοάς, καὶ εὐθὺς ἀγώγιμος ὁ προαγορευτὴς ἐκεῖνος ἐς τὸν ἄνακτα γίνεται. καὶ παραστὰς ἐρωτᾶται καὶ ὁμολογεῖ ταῦτα λέγειν ἃ κατηγόρητο. καὶ ὁ βασιλεύς· 'τί δ' ἐγώ; οὔ σοι δοκῶ καλὸς βασιλεύς;' καὶ αὐτός· 'καὶ τί μοί ποτε δέδωκας, ἵνα σὲ ἔχω καλόν;' καὶ πάλιν ὁ βασιλεύς· 'οὐ δίδομαί σοι καθ' ἑκάστην ὑπέρ σου καὶ τῶν ὁμοφύλων μέχρι θανάτου ἀγωνιζόμενος;' ὁ δὲ ἀνὴρ ἀνθυπέφερε· 'καὶ ὁ ἥλιος ἐπιλάμπων θερμαίνει καὶ φωτίζει ἡμᾶς, ἀλλ' οὐκ ἔχομεν χάριν αὐτῷ· ὃ γὰρ προσετάχθη, ἀποπληροῖ· καὶ σὺ γοῦν ὃ ὀφείλεις ἐργάζῃ, ὑπὲρ τῶν ὁμογενῶν, ὡς εἴρηκας, κοπιῶν καὶ μοχθῶν.' καὶ ἐπὶ τούτοις ὁ αὐτοκράτωρ ἐπέφερεν· 'ἀλλ' εἰ δώσω δῶρά σοι, ἔσομαι ἀγαθός;' 'καὶ μάλα γε' ἀντέφησεν ὁ ἁπλοϊκός. καὶ εὐθὺς βασιλικῇ προσταγῇ ἐνδύματα καὶ χρήματα τούτῳ προσέφερον, ἃ καὶ λαβὼν ἀρᾶσθαι ἤρξατο τὸν ἐπιζητοῦντα ἕτερον καλὸν βασιλέα· οὗτος γάρ, ὁ τοῦτον τού-

---

1 post δεδόσθω add. τοίνυν P 2 τοῦτο] τούτω T 3 τὸν καιρὸν τοῦτον] τοῦτον τὸν χρόνον P 6 δι' ὀλίγου] δι' ὅλου T 7 καὶ εὐθὺς] εὐθὺς δ' T 8 ἀγώγιμος] ἀγωγιμένος PT ἐς] εἰς P 9 ὁμολογεῖ post λέγειν pos. P 10 δ'] δὲ P 11 post αὐτός add. πρὸς τὸν βασιλέα P ‖ post μοί add. φησι P ‖ σὲ] σ' P 12 πάλιν] αὖθις P ‖ οὐ] καὶ οὐ PT ‖ δίδομαι] δίδωμι P 13 μέχρι θανάτου om. PT 14 ὁ δὲ] καὶ ὁ T ὁ δ' P ‖ καὶ ὁ] ὃ θ' P 15 ἡμᾶς ante θερμαίνει pos. P ‖ ἔχομεν—αὐτῷ] αὐτῷ χάριν ἔχομεν P 16 ὃ—ἀποπληροῖ] ἀποπληροῦντι τὸ προσταχθὲν P ‖ καὶ σὺ—17 μοχθῶν] κ' αὐτὸς γοῦν ὡς εἰρήκεις ὑπὲρ τῶν ὁμογενῶν κοπιῶν καὶ μοχθῶν καὶ ὀφειλομένου μηδὲν πλέον ἐργάζῃ P 18 καὶ ἐπὶ] ἐπὶ δὲ P ‖ ἐπέφερεν] ἀνθυποφέρει τὸ τρίτον P 19 δῶρά σοι] σοι δῶρα, φησίν P ‖ γε] γ' P 20 καὶ εὐθὺς] εὐθὺς δ' οὖν P ‖ καὶ] τε καὶ P 21 ἃ καὶ] ἅπερ P ‖ ἀρᾶσθαι—280,1 βασιλέα] τὸν ἕτερον καλ. βασ. ἐπιζ. ἀρ. ἤρξατο P 22 τοῦτον—280,2 βασι-

τοις δεξιωσάμενος, ὁ καλός τε καὶ ὁλόκαλος καὶ χρηστὸς βασιλεύς. ὁ δὲ Ἐρρῆς s. 463,2 sqq.

13.

28,14 ἱλαρώτερον προσεφέρετο] ἱλαρώτερον τῶν ὁμογενῶν διετίθετο s. 463,26.

14.

29,3 εἰ μὴ μόνος — 4 Δερμοκαΐτης] εἰ μὴ ὁ εἰς ἡγεμόνα τοῦ στρατοῦ τοῦ βασιλέως αὐτάδελφος καὶ ὁ Δερμοκαΐτης s. 464,7.

15.

29,19 πολλὰ — 20 οἰκήτορσι] τοὺς ἐν Κωνσταντινουπόλει ἱερεῖς καὶ μονάζοντας ἀπανθρώπως ἐκόλασεν s. 464,21.

16.

30,22 ἐβίωσαν] ἐβίωσαν· οὐκ ὀλίγοι δ' ἐξ αὐτῶν καὶ εἰς ἀρχιερωσύνης ὕψος ἀνεβιβάσθησαν s. 465,14.

17.

31,8 μηδ' ὅλως — 9 συγκατανεύοντος] μηδ' ὅλως μήτε αὐτοῦ μήτε τῶν ἀρχιερέων συναινούντων τῇ ἀθεμιτογαμίᾳ ταύτῃ, μᾶλλον δὲ καὶ ὅση δύναμις κωλυόντων, ὡς μὴ ἐγνωσμένου τοῦ τοιούτου γάμου τῇ ἐκκλησίᾳ ἡμῶν s. 465,23 sq.

18.

31,13 ὃν γὰρ — 15 προύφθασεν] οὓς γὰρ ἐκ τῆς βασιλίδος Ἄννης ἐγέννησε δύο, Νικόλαον καὶ Ἰωάννην, ὁ θάνατος προαφήρπασεν s. 465,30 sq.

19.

32,5 πλουτεῖν] πλουσίους ποιῶν. τὴν δὲ περὶ τὰ θεῖα τούτου εὐλάβειαν δέον δι' ὀλίγου δηλῶσαι. ὡς γὰρ μάθοι

λεύς] καλοκἀγαθός τε χρηστὸς βασιλεὺς καὶ ὁλόχαρος, ὁ αὐτὸν τοῖς τοιούτοις δεξιωσάμενος P 1 ὁλόκαλος] ὁλόκαρος T 10 καὶ om. T 15 τοῦ om. T 19 δὲ] τε P 20 μάθοι ... ὰς] μάθοι τινὰς ἐξ ἡμῶν post λογίων pos. P

τινὰς τῶν ἀπὸ τῆς Κωνσταντίνου λογίων περὶ τῶν προσαγομένων θείων καὶ ὑπὲρ ἡμᾶς δώρων λογομαχοῦντας, καὶ εἰ φθαρτὰ ἢ ἄφθαρτα ταῦτα ἐπερωτῶντας, ὡς κἂν τῇ Κωνσταντινουπόλει ἐλέγετο, παραστησάμενος τούτους μετ' ἐμβριθείας ἠπείλησεν, ὅρκον προσθεὶς εἰς πίστωσιν ὧν ἀπεφήνατο, ἢ σιγῆσαι τούτους τοῦ περὶ τοιούτων γυμνάζειν καὶ ἐμμένειν ταῖς πατρικαῖς παραδόσεσι καὶ τοῖς δόγμασι τῆς τοῦ θεοῦ ἐκκλησίας, ἢ ἀλλὰ γινώσκειν ὡς καὶ Πέρσας καὶ Ἰταλοὺς καὶ ἄλλους πάντας ἐναντιουμένους καταλιπὼν τούτοις μαχέσασθαι, ἕως ἂν τέλεον ἐκτρίψῃ. καὶ οὕτως τὴν ἄλογον ἔριν κατέστειλε καὶ ψυχοβλαβῆ s. 466,10 sq.

20.

32,12 Καθὼς — αὐτοῦ] οὗτος ὁ βασιλεὺς ὅσα καὶ πατὴρ ὀφείλει τιμᾶσθαι παρὰ πάντων τῶν μετ' αὐτὸν βασιλέων καὶ γενάρχης, ἐπείπερ, ὡς εἴρηται, τοῦ κοσμικοῦ κατειληφότος κλύδωνος, τῆς ἁλώσεως δηλαδὴ τῆς βασιλίδος τῶν πόλεων, καὶ ὡς ἐν καταποντισμῷ τῆς Ῥωμαϊκῆς μεγαλειότητος καὶ εὐδοξίας διαφθαρείσης καὶ βασιλείας καὶ ἱερωσύνης ἄρδην ἀποιχομένων, αὐτὸς καὶ βασιλείαν καὶ ἱερωσύνην συνέστησεν, οὐ χρήμασι πεποιθώς, οὐ χωρῶν ἐπικρατείᾳ, οὐ πόλεων κυριότητι, ἀλλ' ἐπὶ τῷ τοῦ θεοῦ ἐλέει μόνῳ, τε-

---

1 προσαγομένων — 2 λογυμαχοῦντας] ὑπὲρ ἡμῶν προσαγομένων θείων λογομαχοῦντας δώρων P 3 φθαρτὰ] φθαρτὸς PT ‖ ἄφθαρτα] ἄφθαρτος PT 5 ὅρκον προσθεὶς post πίστωσιν pos. P 6 σιγῆσαι — γυμνάζειν] τοῦ γυμνάζεσθαι τούτους περὶ τοιούτων σιγῆσαι P 7 ἐμμένειν] ἐμμένειν ὡς θεμιτὸν post πατρικαῖς pos. P ‖ παραδόσεσι] παραδίσωσι T ‖ τοῖς] μάλιστα P 8 ἀλλὰ] τοῦτο πάντως P ‖ ὡς — 9 ἐναντιουμένους] ὡς ἰταλούς τε καὶ πέρσας καὶ πάντας ἄλλους P 10 τέλεον ἐκτρίψῃ] αὐτοὺς παντελῶς ἀποτρίψῃ P ‖ οὕτως] οὕτω P 11 ἄλογον — ψυχοβλαβῆ] ψυχοβλαβῆ καὶ ἄλογον ἔριν κατέστειλε P 12 ὅσα] ὡσεὶ P ‖ καὶ om. P 13 τιμᾶσθαι post πάντων pos. P 14 καὶ γεννάρχης post 12 πατὴρ pos. P

15 τῆς βασιλίδος] τὴν βασιλίδα? 16 καταποντισμῷ] καταποντιμῷ T 17 βασιλείας καὶ ἱερωσύνης] γε ἱερωσύνης καὶ βασιλείας P 18 ἀποιχομένων] ἐποιχομένων s ‖ καὶ βασιλείαν καὶ ἱερωσύνην] αὐτὸς μὲν ἱερωσύνην τε καὶ βασιλείαν P 20 ἐλέει post μόνῳ pos. P

θαρρηκὼς καὶ τοῖς οἰκείοις κόποις τε καὶ ἀγῶσιν, οὓς ὑπὲρ τῶν ὁμοφύλων ἐνδείξασθαι ἠρετίσατο. διὸ καὶ ὁ φυγὰς καὶ ἀνέστιος βασιλεὺς μέγιστος ἀνεφάνη, καὶ τοῖς αἰχμαλωτεῦσαι διώκουσι φοβερὸς καὶ ἐπίδοξος, Νῶέ τις ἕτερος, δίκαιος ἐν τῇ αὐτοῦ γενεᾷ, σπέρματα δευτέρου βίου διασωσάμενος ὡς ἐκ κατακλυσμοῦ τῆς κοσμικῆς ἐκείνης πανωλεθρίας, ἢ Ζοροβάβελ ἄλλος, ἅτε δὴ καταπεπτωκότα νεὼν ἀναστήσας, τὰ Ῥωμαίων εἰς τὸ μηδὲν καταντήσαντα, καὶ βασιλεύειν ἐγκαταστήσας Ῥωμαίους καὶ χωρῶν καὶ πόλεων ἄρχειν, καὶ ἀρχιερωσύνῃ καὶ συγκλήτῳ, ἔτι δὲ στρατηγῶν τοῖς ἀρίστοις καὶ ταγμάτων, πρὸς δὲ καὶ δυνάμεων στρατιωτικῶν τάξεσι συνίστασθαί τε καὶ ὡραΐζεσθαι, μετὰ τῆς ἄνωθεν συμμαχίας καὶ τῶν οἰκείων σπουδασμάτων ταῦτα τετελεκώς, ἃ μικροῦ καὶ ὑπὲρ ἄνθρωπον ἐνεδείξατο. τοὺς δ' ὑπὸ τῆς Λατινικῆς χειρὸς αἰχμαλώτους γεγενημένους προσφεύγοντας ἐπ' αὐτὸν πάντας τε προσεδέχετο καὶ πᾶσι φιλοφρόνως διατιθέμενος πόρους ζωῆς ἐχορήγει καὶ ἀναλόγως εὐηργέτει, ἀνάδοχος τῶν πάντων γενόμενος καὶ πᾶσιν, ὡς ἡ χεὶρ ἐδίδου, ἀπονέμων τὰ δέοντα, οὐκ εἰς τὸ συναγαγεῖν ἀπιδὼν χρήματα καὶ θησαυροὺς περιποιήσασθαι καὶ κειμήλια· οὐ γὰρ ἐδίδου ῥοπὴν αὐτῷ πρὸς τοῦτο τὰ πράγματα, ἀλλ' εἰς τὸ κυβερνῆσαι καὶ διασώσασθαι, οὓς ὁ θεὸς ἐκίνει τούτῳ, προσέρχεσθαι s. 466,28 sq.

21.

33,23 καὶ — ἀντεχόμενον] καὶ ἐξορίᾳ δεινῇ κατεδίκασε καὶ τὰ μοναδικὰ καὶ ἄκοντα βιαίως ἐνέδυσεν ἄμφια s. 468,26 sq.

---

2 διὸ καὶ] ὅθεν δὴ P 3 ἀνέστιος] ὁ ἀνέστιος s ‖ βασιλεὺς post μέγιστος pos. P 6 κοσμικῆς] κομικῆς T 8 εἰς] ἐς P 10 καὶ ἀρχιερωσύνῃ] ἀρχιεροσύνῃ τε P ‖ δὲ] γε μὴν P 11 καὶ] τε καὶ P ‖ δυνάμεων post στρατιωτικῶν τε pos. P 13 σπουδασμάτων post τετελεκώς pos. P 14 μικροῦ καὶ] καὶ μικροῦ T καὶ μικροῦ δεῖν P 16 τε] ἵλεῳ τῷ ὄμματι P ‖ καὶ — 18 εὐηργέτει] ἀναλόγως τούτους εὐεργετῶν P 18 τῶν] τε τῶν P ‖ καὶ om. P ‖ πᾶσιν post χεὶρ pos. P 20 ἀπιδὼν] ἐπιδὼν PT 21 ἐδίδου — τοῦτο] αὐτῷ πρὸς τοῦτο ῥοπὴν παρεῖχε P 22 post κυβερνῆσαι add. καὶ P 25 μοναδικὰ] μοναχικὰ T

22.

34,1 Δημήτριος] Δημήτριος, ᾧ Χωματηνὸς ἦν ἡ ἐπίκλησις s. 468,28.

23.

36,12 καὶ ἦν—πράγματα] πόρος δὲ οὗτος περί που τὴν Λάμψακον—τοὺς ἐκ τῶν Ἰταλικῶν χωρῶν πρὸς τὴν Κωνσταντίνου διαπλωϊζομένους παγίδα ταύτας ἔχειν διαταξάμενος s. 470,19 sq.

24.

51,3 φιλίας.] φιλίας, καὶ πρὸς τούτοις ὅτι ὑπέσχετο αὐτὸς οὗτος τὰ δυνατά οἱ συνάρασθαι τῷ βασιλεῖ εἰς τὴν τῆς Κωνσταντινουπόλεως ἐλευθερίαν s. 478,21 sq.

25.

58,19 χαρτουλάριος] ἑταιρειάρχης s. 482,31.

26.

62,22 ἐτίμα—ὑπερβαλλόντως] ἀρετὴν ἐτίμα ὑπερβαλλόντως, ἀρχιερεῖς τε καὶ ἱερεῖς ὡς θεοῦ δεχομένη ἀπεικονίσματα, καὶ τὸ μοναχικὸν τάγμα ἔστεργε s. 485,21 sq.

27.

71,23 τὴν αὐτοῦ—ποίμνην] τὴν ποίμνην ἐπὶ χρόνοις ιε΄ ποιμάναντα s. 490,28.

28.

85,22 ἀπέλυσεν.] ἀπέλυσεν. ὁπότε καὶ ὁ βασιλεὺς τοῖς ἐντὸς θελήσας περὶ τοῦ προσελθεῖν αὐτῷ διαλέξασθαι καὶ πλησιάσας τῷ τείχει, μικροῦ ἂν ἐκινδύνευσεν, εἰ μὴ θεὸς ὁ παμβασιλεὺς αὐτὸν διεφύλαττεν. οἱ γὰρ ἐντὸς Ἰταλοὶ τὴν λεγομένην μαγγανότζαγραν ἑτοιμάσαντες, βέλος κατ' αὐτοῦ

---

3 πόρος] τόπος T 8 αὐτὸς om. T 9 τῆς Κωνσταντινουπόλεως] τῇ κωνσταντίνου T 14 χρόνοις] χρόνους Ss 16 καὶ] καὶ αὐτὸς P ‖ τοῖς] τῆς T om. P 17 θελήσας] θελήσασι P 18 ἐκινδύνευσεν] ἐκινδύνευεν s ‖ ὁ παμβασιλεὺς post αὐτὸν pos. P 20 μαγγανότζαγραν] μαγγανοτζάγραν P

ἐπαφῆκαν, ὃ καὶ πρὸ τῶν ποδῶν τοῦ ἵππου αὐτοῦ πέπτωκεν· ἐφ' ᾧ καὶ ὁ βασιλεὺς χαλεπήνας ὀργῇ μεγάλῃ κατὰ τούτων ἠρέθιστο. ἀλλ' ὁ θεὸς καὶ ταύτην διεσκέδασε, κλόνῳ συσσείσας τὴν γῆν s. 498,27 sq.

29.

86,12 τὸ ἐν αὐτῇ φρούριον τὸ ἐπονομαζόμενον Φιλέρημον] τὰ ἐν αὐτῇ φρούρια, τήν τε Φιλέρημον καὶ τὴν Λίνδον s. 499,15.

30.

91,20 διά τε — Ξηροῦ] τόν τε Ναυπάκτου μητροπολίτην, Ἰωάννην τὸν Ξηρόν s. 502,7.

31.

101,22 καὶ φθίνων ἐτύγχανε Φεβρουάριος] περίπου τὸν Φεβρουάριον μῆνα. καὶ ἡμέρας διέτριψεν ἐν αὐτῇ, τὴν ἀπὸ τῶν Ἀτάρων ἔχων πτοίαν καὶ ὅσα εἰς φυλακὴν αὐτῆς καὶ ἀσφάλειαν παντοίως διαπραττόμενος s. 504,16.

32.

103,22 ἵν' ὑπ' αὐτῶν — 104,10 ὀρέξεσι.] ἐλεημοσύνην ὡς οὐδείς τις ἐπιμελόμενος, καὶ εὐποιΐαις χαίρων τῶν ἀπόρων καὶ ἐνδεῶν ὑπὲρ τοὺς πολλούς s. 505,25 sq.

33.

104,23 ἐλπὶς — 105,17 πλείοσιν.] οὗτος ὁ ἀοίδιμος βασιλεὺς τοῖς τὸ πρωτεῖον ἐσχηκόσιν ἐν τοῖς χρηστοῖς τῶν πρὸ αὐτοῦ βασιλέων ἀνθαμιλλώμενος, καὶ τὸ δευτερεῖον ἔν τισιν ὡς τὸν χρόνον δεύτερος δοκῶν ἔχειν, εἰ καὶ τοῖς πλείοσιν ἐξισούμενος ἀναφαίνεται, τῇ τε περὶ τὰ θεῖα εὐλαβείᾳ καὶ τῇ περὶ τοὺς ὑπηκόους κηδεμονίᾳ τὸ πρωτεῖον ἀσύγκριτον ἀπηνέγκατο. τοὺς γὰρ τοῦ τῶν μοναστῶν τάγματος οὐ

---

1 ποδῶν post αὐτοῦ pos. P 3 ταύτην in textu τοῦτο in marg. P 11 ἡμέρας] ἡμέρως? 17 post οὗτος add. δὴ ἔτι P // post βασιλεὺς add. ἰωάννης P 21 ἀναφαίνεται] ἀναφανήσεται s

μόνον τοὺς διαφέροντας καὶ ὅσοι διαφανεῖς ἐξ ἀρετῆς πολλῆς τῆς αἰδοῦς ἠξίου καὶ τούτοις ὡς ἀνθρώποις θεοῦ προσεφέρετο, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς ὅσοι τὸ σχῆμα καὶ τὴν περιβολὴν ἐνεδέδυντο κατὰ μοναχούς, τοῖς ἀρχιερεῦσι δὲ καὶ ἱερωμένοις μικροῦ καὶ ὡς τῷ θεῷ συγγινόμενος ὁμιλῶν αὐτοῖς διετίθετο καὶ ἐνθουσιῶν καθωρᾶτο ὡς πρὸς θεὸν μεσίταις, ὅπερ καὶ ἦν, ἐντυγχάνων καὶ δι' αὐτῶν ὃν οὐχ ἑώρακε καθορῶν. τίς δ' ἂν ἀριθμήσαιτο, ὅσα τῶν ὑπ' αὐτὸν προνοούμενος καθ' ἑκάστην πόλιν, οὐχ ὅσαι μέγισται καὶ περιφανεῖς, ἀλλ' ἤδη καὶ ὅσαι τῇ σμικρότητι καὶ ἀφανείᾳ μὴ πόλεις ἀλλὰ φρούρια εἰκότως κατονομάζονται, ὅσαι τε ἀνὰ τὴν ἕω καὶ τὴν δυσμικὴν χώραν, πρὸς σύστασιν αὐτῶν καὶ ἀσφάλειαν διεπράξατο κτίσμασι κατοχυρώσας, ὡς πύργον ἐπὶ πύργῳ ἑδράσαι, καὶ στεφάνην ἐπὶ στεφάνῃ καὶ ἐπὶ περιβόλῳ ἀνεγεῖραι περίβολον, ἔτι τε ὅπλα ἀποθέσθαι παντοῖα καὶ τόξα καὶ βέλη καὶ θυρεούς τε καὶ θώρακας, ὄργανά τε πετροβόλα καὶ ἄλλα μηχανήματα, ὅσα πρὸς ἄμυναν ἐπερχομένων ἐχθρῶν; κατὰ δὲ τὰς μεγάλας τῶν πόλεων καὶ ἄνθρωποι ἦσαν τεχνῖται τῶν διαφόρων ὅπλων ἐπὶ μισθῷ, τόσα μὲν τόξα, τόσα δὲ βέλη, καὶ ἄλλα ὅσα κατ' ἔτος ἐργαζόμενοι ὅπλα, καὶ ἐς δημοσίους οἴκους ἀποτιθέντες καὶ ἀριθμὸν ὑπερβαίνοντα, ἵν' ὅτε τούτων χρεία ἀνενδεῶς οἱ ἀμυνόμενοι ἔχοιεν. τὸ δὲ καὶ χωρία ἀναθεῖναι, ὡς ἂν τοὺς ἐκεῖθεν καρποὺς εἰσκομίζεσθαι καὶ εἰς σιτοβολῶνας εἶτουν ὡρεῖα ἐνθησαυρίζεσθαι εἰς χιλιάδας καὶ μυριάδας μεδίμνων ἀριθμουμένους οὐ κριθῆς μόνον καὶ σίτου, ἀλλὰ καὶ τῶν ἄλλων σπορίμων καὶ τῶν χρειωδῶν ἄλλως ἐν

1 post διαφανεῖς add. τούτων ὑπῆρχον P 3 sec. καὶ — 4 ἐνεδέδυντο post μοναχοὺς pos. P 4 τοῖς om. P 6 καθωρᾶτο] καθεωρᾶτο s 9 προνοούμενος — πόλιν] καθ' ἑκάστην τῶν πόλεων ἣν προνοούμενος P 10 post σμικρότητι add. γε P 11 post φρούρια add. γε P 12 πρὸς σύστασιν] πρόστασιν P 13 κτίσμασι] κτίσματι P 15 ἀποθέσθαι] ἐπιθέσθαι P 16 καὶ post βέλη om. P 18 post ἐχθρῶν add. ἐτύγχανεν ἐπιτήδεια P 19 ἦσαν om. P ‖ τεχνῖται ἦσαν post ὅπλων pos. P 21 ἐς] εἰς PT ‖ οἴκους post ἀποτιθέντες pos. P 22 ante χρεία add. γένηται P 24 εἰς om. PT 25 εἶτουν] εἴτουν s 26 κριθῆς] κρίθης P 27 ἀλλὰ] ἀλλά γε P ‖ ἄλλως] [illegible]

ἀφορίας καὶ ἐνδείας καιρῷ, φυλαττόμενα καὶ τοῖς μὴ ἔχουσι τὸ ἐνδέον ἀναπληροῦντα βασιλικῇ πλουσίᾳ χειρί, τίνος ἔργον ἄλλου ἢ τοῦ αὐτοκράτορος τούτου κατόρθωμα, ἐφ' ᾧ καὶ ἦν δρᾶν οἴκους ὅλους πεπληρωμένους κατὰ τὸ εἰρημένον, ἀπὸ σίτου, οἴνου τε καὶ ἐλαίου καὶ τῶν ἄλλων ἐκ γῆς χρειωδῶν, ἀλλὰ καὶ τοὺς τῶν πόλεων πύργους σιτῷ καὶ κριθῇ καὶ κέγχρου σπέρματι βρίθοντας; ἐν δὲ τῇ κατὰ Λυδίαν Μαγνησίᾳ, ὅπου καὶ τὰ πλείω τῶν χρημάτων ἀπέθετο, τί τίς ἂν ἐζήτησεν ἀφ' ὧν ἄνθρωποι χρῄζομεν, καὶ οὐχ εὑρὼν ἐκληρώσατο τὴν ἀπόλαυσιν, οὐ τῶν ἐν τοῖς ἡμετέροις τόποις εὑρισκομένων ἀλλὰ καὶ ὅσα ἐνιαχοῦ τῆς οἰκουμένης, κατ' Αἴγυπτόν φημι καὶ Ἰνδίαν καὶ ἀλλαχοῦ; ἀλλὰ καὶ βιβλιοθήκας κατὰ πόλεις συνήθροισεν ἐκ βίβλων πασῶν τεχνῶν καὶ ἐπιστημῶν, ἀπογραφὴν δὲ καὶ ἐξίσωσιν ἐν ταῖς χώραις ἅπαξ γενέσθαι προστάξας παρ' ἀνθρώπων φοβεῖσθαι τὸν θεὸν ἐπεγνωσμένων αὐτῷ, ἀφ' οὗ καὶ τῆς τῶν ἐναντίων χειρὸς αὐτὰς ἠλευθέρωσε, παρ' ὅλην αὐτοῦ τὴν ζωὴν ταύτην ἔστερξε. κἀκ τούτου τοῖς τε ὑποτελέσιν ἐπεγένετο πᾶσι πλουτῆσαι, καὶ οἱ τῶν στρατιωτικῶν καταλόγων καὶ τῶν μεγιστάνων τὸ σύστημα πολλαπλασίους τὰς ἐκ τῶν προνοιῶν καὶ τῶν κτημάτων εἶχον εἰσόδους καὶ τὰ εἰς διατροφὰς κεχορηγημένα τούτοις πληθύνοντα. ἵππων δ' ἀγέλας καὶ βοῶν καὶ προβάτων τοσαύτας ἐκτήσατο καὶ καμήλων, ὡς μικροῦ καὶ στενὴν τὴν γῆν ἀπελέγχεσθαι ἐπὶ ταῖς τούτων νομαῖς. θησαυρούς τε συνῆξε μεγίστους καὶ πολλοὺς καὶ σωρείας χρημάτων ἐπισυνήγαγε, πόλεων ἐπὶ πολλῶν τούτους θησαυρίσας καὶ ἀποθέμενος. ἀλλὰ καὶ δόξαν ἡγεῖτο καὶ μέγα καύχημα ἐλογίζετο τὸ τοὺς ὑπηκόους πλουτοῦντας ἔχειν καὶ εὐθηνοῦντας ἐν ἅπασιν. ἔνθεν τοι καὶ πανταχοῦ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἔρις ἦν πᾶσιν, ὅστις ἂν ἐκ πόρων ἀκατακρίτων καὶ ἀμέμπτων πλείονα

2 ἐνδέον] ἐνδεὲς P 9 χρῄζομεν] χρῄζουσι PT 10 ἐκληρώσατο] ἐκπληρώσατο P 13 πόλεις] πόλιν P 14 τεχνῶν] τε χριστοῦ P 19 καὶ τῶν] τῶν τε P 22 πληθύνοντα] πληθύνουντα P 26 πόλεων] πολλοὺς s 27 ἀλλὰ om. s 28 ἐλογίζετο — ὑπηκόους om. P 29 εὐθηνοῦντας] εὐθυμοῦντας P 31 ἐκ πόρων] ἐκπόρων P

κτήσαιτο κτήματα καὶ βοσκήματα. εἴ τις εἶδε τὰς ἐκείνου σκηνὰς καὶ τῶν ὑπ' αὐτόν, ὅτε καὶ ὁδὸν ἐποιεῖτό τινα ἐκστρατεύων καὶ διερχόμενος, καὶ τὰ ἱπποστάσια ὅπως μὲν μέγιστα, ὅπως δὲ καὶ πολλοὺς ἁμιλλητηρίους ἔτρεφον ἵππους, καὶ πρὸς τὴν τῶν βρωτῶν καὶ ποτῶν ἀφθονίαν ἐπέβλεψεν, οὐκ οἶδα τίς ἂν οὗτος ἐτύγχανεν, ὃς μὴ θάμβει συνεσχέθη, εἰ καὶ πολλὰ ἐθεάσατο βασιλέων στρατόπεδα, καὶ τοῦτο μέγιστον καὶ ἀπαράμιλλον ἰδεῖν διεβεβαιώσατο. ποία πόλις καὶ χώρα καὶ δῆμος τίς τῶν ἐκείνου εὐεργεσιῶν οὐκ ηὐμοίρησε καὶ κοινῇ καὶ καθ' ἕκαστον; νεὼς δὲ θεῖος ἀπὸ τῶν μικρῶν ἕως καὶ τῶν μεγάλων καὶ αὐτῶν δὲ τῶν σεμνείων καὶ τῶν μονῶν ἔστιν ὅστις ἄμοιρος τῶν αὐτοῦ φιλοτιμιῶν; ἦν γὰρ ἁπάντων ὡς οἰκονόμος κοινὸς προμηθούμενος, οὐ μόνων τῶν ὑπὸ τὴν ἀρχὴν αὐτοῦ ἀλλὰ καὶ τῶν ὑπ' ἄλλους ταττομένων. συμμαρτυρεῖ μοι τῷ λόγῳ ἥ τε τοῦ Σινᾶ σεβασμία μονὴ καὶ ὅσαι κατὰ τὴν Σιών, καὶ αὐτὰ δὲ τὰ πατριαρχεῖα, τό τε τῆς μητρὸς τῶν ἐκκλησιῶν Ἱερουσαλὴμ καὶ τῆς Ἀλεξανδρείας καὶ μέντοι καὶ τὸ τῆς Ἀντιόχου, καὶ μοναί, ἃς διὰ τὸ πλῆθος κατ' ὄνομα λέγειν ἐῶ. ἀλλὰ καὶ ἐν τῇ Κωνσταντινουπόλει, τῶν τότε αὐτῆς ἀρχόντων Ἰταλῶν πολλὰς τῶν ἐν αὐτῇ ἐκκλησιῶν βουλευσαμένων καταστρέψαι πρὸς θεραπείαν τῆς ἐνούσης ἐνδείας αὐτοῖς, αὐτὸς δὴ χρήμασιν ἐξωνησάμενος σώους διαμένειν περιεποιήσατο· ἥ τῶν Βλαχερνῶν αὗται ἥ τε τῶν Ῥουφινιανῶν καὶ ἡ ἐν τῷ ἀνάπλῳ τοῦ ταξιάρχου τῶν ἄνω δυνάμεων. τὸν δὲ τῶν θεοκηρύκων ἀποστόλων ναὸν ἁγιώτατον ὑπὸ σεισμοῦ κινδυνεύσαντα βασιλικῶς ἐπεσκέψατο καὶ χρήμασιν ἱκανοῖς ἀνακτισθῆναι πεποίηκεν. ἐπὶ τούτοις καὶ αἱ

2 τῶν] τὸν T 4 ἔτρεφον] ἔτρεφεν PT 5 βρωτῶν] βροτῶν P 6 οἶδα τίς] οἶδά τις s 9 δῆμος τίς] δῆμός τις s 10 ηὐμοίρησε] εὐμοίρησε P 13 φιλοτιμιῶν] εὐεργεσιῶν P 17 δὲ om. P ‖ μητρὸς om. P 18 post Ἱερουσαλὴμ add. μητροπόλεως P ‖ sec. καὶ] ναὶ T 19 καὶ μοναί] πρὸς δέ γε τούτοις μοναί P 20 καὶ ἐν] κἀν P 24 αὗται] αὖτε P ‖ τε om. s ‖ Ῥουφινιανῶν] ῥουφιανιῶν T ῥουφιανῶν P 27 καὶ om. P 28 ἀνακτισθῆναι πεποίηκεν] ἀνεγερθῆναι πεποιηκώς P ‖ πεποίηκεν] πεποίηκε s ‖ post τούτοις add. δὲ PT

ἐν τῷ Ἄθωνι, ὃ καὶ Ἅγιον Ὄρος καλεῖται, θεῖαι μοναὶ καὶ ὅσαι κατὰ τὴν Θεσσαλονίκην καὶ αὐτὴν δὲ τὴν Ἀττικὴν καὶ ἄλλαι, ἃς καὶ ἀριθμεῖσθαι οὔκουν ἔμοιγε ῥᾴδιον, τὴν αὐτοῦ πλουτοδότιν χεῖρα συναντιλαμβανομένην ἐγνώρισαν εἰς σύστασιν καὶ βοήθειαν. τοιοῦτος ἦν ὁ βασιλεὺς Ἰωάννης, τῶν δεομένων κοινὸς ἀντιλήπτωρ, καὶ οὕτω τὴν βασιλείαν θεαρέστως διῴκησεν s. 506,6 sqq.

34.

105,20 *πατρί*] *πατρί, καὶ ἐν τῇ παρ' ἐκείνου νεουργηθείσῃ τῶν Σωσάνδρων ἐνσοριάσας πολυόλβῳ μονῇ* s. 509,16 sq.

35.

106,9 *ἡ δόξα* — 107,13 *ἐκτελέσαντες.*] *ἡ δέ τινων δόξα, τοῦ βασιλέως καὶ μάλιστα, ἐπὶ τῷ Βλεμμύδῃ ἐτύγχανε Νικηφόρῳ. ἦν δ' οὗτος μέγας ἐπὶ σοφίᾳ, φιλόσοφος καὶ ὢν καὶ ὀνομαζόμενος, καὶ τοῦ βασιλέως ἐπὶ φιλοσοφίᾳ διδάσκαλος. οἱ πλείους δὲ πρὸς τὴν ἐκλογὴν ἀπηρέσκοντο καὶ ἐπὶ μᾶλλον ὁ τῶν ἀρχιερέων σύλλογος. ἠδημόνει οὖν ὁ βασιλεύς, οἷα τῶν πάντων μὴ συμφωνούντων ἐπί τινι, ἀλλὰ τῶν μὲν τόνδε, τῶν δὲ ἕτερον προκρινόντων, καὶ ἀλλήλοις βουλευομένων ἀντίφωνα. διὸ καὶ ἔφησε πρὸς αὐτούς· 'εἰ μὲν ἦν ἡμῖν κλήρους βαλεῖν, τάχ' ἂν οὕτω τὸ τῷ θεῷ ἀρεστὸν διεκρίνομεν· ἐπεὶ δὲ τοῦτο οὐκ ἔνεστιν, ὅπερ ἔξεστι μετὰ πίστεως καὶ τῆς εἰς θεὸν ἐλπίδος ποιῆσαι ἡμᾶς χρή. ἀνοίξωμεν τοιγαροῦν εὐλαβῶς τὴν τῶν ἁγίων εὐαγγελίων βίβλον ἐφ' ἑκάστου τῶν λεγομένων τούτων ἀνδρῶν, καὶ ὅσπερ ἂν ἡμῖν ἐκεῖθεν ἐκκαλυφθείη, ἔστω οὗτος ὡς θεο-*

1 *καλεῖται*] *λέγεται* P ‖ *καὶ ὅσαι*] *ὅσαι τε* P 2 *δὲ* om. P 4 *πλουτοδότιν* Ts *πλουτοδότην* S *πλουτοδότιδα* P 5 *ἦν*] *δὲ ὢν* P 6 *καὶ οὕτω*] *οὕτω γε* P 7 *διῴκησεν*] *διῴκησε καὶ πρὸς κύριον ἐξεδήμησεν* P 15 *ἠδημόνει — βασιλεὺς*] *ἀδημονῶν δὲ* P 17 *τόνδε*] *ἓν* P ‖ *τῶν δὲ* om. T ‖ *ἕτερον* post *προκρινόντων* pos. P 18 *βουλευομένων*] *βουλομένων* PT ‖ post *ἀντίφωνα* add. *ἐφ' ἑτέρους καὶ ὁδὸν ἑτέραν ἐτράπετο* P ‖ *ἔφησε*] *φησι* P 20 *διεκρίνομεν*] *διεκρίναμεν* PT ‖ *ἔνεστιν*] *ἔστιν* PT 24 *ἔστω — θεοπρόβλητος*] *ὡς θεοπρόβλητος οὗτος ἔστω* P

πρόβλητος.’ ἔδοξε τοῦτο τοῖς πᾶσι, καὶ μετὰ τῆς πρὸς θεὸν δεήσεως ἐν συντετριμμένῃ καρδίᾳ ἐγίνετο τὸ δόξαν καλόν. ἀνεῴγνυτο τοίνυν ἡ θεία βίβλος ἐπ’ ὀνόματι τοῦ φιλοσόφου Βλεμμύδου, ἀλλ’ ἦν ἄγραφος δι’ ὅλου ὁ χάρτης· καὶ διὰ τοῦτο οὗτος ἠμέλητο. γέγονε καὶ εἰς τὸν ἕτερον τὸ αὐτό — ὁ τῆς Ἐφέσου δὲ ἦν ἀρχιερατικῶς προϊστάμενος Νικηφόρος — καὶ εὕρηται ‘οὐ τελεσφοροῦσιν’, ὄπισθεν Luc. VIII 14 προσκειμένου εἰς τὴν τοῦ λόγου συνέπειαν τοῦ ‘συμπνίγονται’ μετὰ καὶ τοῦ συνδέσμου τοῦ ‘καί’. ἀνεῴχθη τοίνυν κἀπὶ τῷ τρίτῳ· παρεώραται γὰρ ἐκ τῶν γραφομένων καὶ ὁ δεύτερος ὥσπερ ὁ πρῶτος διὰ τὸ ἄγραφον ὥσπερ εἴρηται. ἐπεὶ δὲ ἀνέῳκται, ‘ὄνον καὶ τὸν πῶλον’ ἐνέτυχον ἔχουσαν Matth. XXI 2 τὴν γραφήν, καὶ ἀπεδοκιμάσθη καὶ οὗτος· ὁ τῆς τῶν Σωσάνδρων δὲ μονῆς καθηγούμενος ἐτύγχανεν Ἰωαννίκιος ὁ Κυδώνης. θλίψις ἐπὶ τούτοις εἷλε πάντας καὶ συνοχὴ καὶ αὐτὸν δὲ τὸν βασιλέα Θεόδωρον, ὃς καὶ πρὸς τοὺς παρόντας εἰρήκει· ‘τίς ἐξ ὑμῶν γινώσκει ἕτερον; εἰπάτω τοῦτον ἡμῖν.’ καί τις ἔφη περὶ τοῦ Αὐτωρειανοῦ Ἀρσενίου. τότε ζητοῦσι καὶ περὶ τούτου ἀπὸ τῆς βίβλου μαθεῖν τὸ δοκοῦν τῷ θεῷ μετὰ συντριβῆς μείζονος τῆς καρδίας καὶ θείας τῆς ἐπικλήσεως. ἀνοίξαντες οὖν τὴν τῶν εὐαγγελίων καὶ πάλιν βίβλον εὑρίσκουσιν ‘αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ.’ Joh. II 12 ἐφ’ ᾧ καὶ πάντες ἐδόξασαν τὸν θεόν, καὶ μηδὲ ἰδόντες αὐτοῦ ἐξεκρέμαντο καὶ ὡς ἐκ θεοῦ ποιμένα καὶ διδάσκαλον

1 ἔδοξε] καλὸν ἔδοξε P ‖ μετὰ] μετά γε P 3 ἀνεῴγνυτο] ἀνεῴχθη pr. m. P 4 Βλεμμύδου] Βλεμμίδου s βλεμμύδους ante τοῦ pos. P ‖ ἦν — χάρτης] ὁ χάρτης διόλου ἐτύγχανεν ἄγραφος P 5 sec. καὶ] δὲ P ‖ εἰς τὸν ἕτερον] καὶ εἰς ἕτερον post τὸ αὐτὸ pos. P 6 δὲ ἦν] ἦν οὗτος P 9 pr. τοῦ] τοῦτο PT 10 ἐκ] κἀκ P ‖ γραφομένων] ἀγραφομένων T ἐγγραφομένων P ‖ καὶ om. P 11 post ὥσπερ add. καὶ P ‖ ὥσπερ] ὡς s καθὰ P 12 ἀνέῳκται] τὸ τρίτον ἠνέωκται P ‖ τὸν om. P 13 ὁ] ὃς ὁ P 14 δὲ om. P ‖ καθηγούμενος post ἐτύγχανε pos. P 15 Κυδώνης] κηδώνης ὀνομαζόμενος P 17 τίς] τὶς s εἴ τις P ‖ ὑμῶν] ἡμῶν T 18 ἔφη post Ἀρσενίου pos. P ‖ Αὐτωρειανοῦ] αὐτουρειανοῦ T αὐτορειανοῦ P 19 ζητοῦσι om. P ‖ τὸ — 20 θεῷ] τὸ θεῷ ζητοῦσι δοκοῦν P 20 συντριβῆς post μείζονος pos. P 21 εὐαγγελίων — 22 πάλιν] ἱερῶν καὶ αὖθις εὐαγγελίων P 22 εὑρίσκουσιν] εὗρον P 24 ἐξεκρέμαντο] [illegible]

σὺν αὐτῷ ἐγένοντο κύριοι καὶ ἵππων καλῶν καὶ πολλῶν καὶ ἄλλης μεγίστης περιουσίας, ἀλλ' ὅτι καὶ φοβεροὶ πᾶσιν ἔθνεσιν ἔδοξαν s. 456,28 sq.

6.

17,21 καὶ τὰ εἰκότα — 28 θνήσκει] ὁ δὲ τοῦτον ἰδὼν τοῦ ἵππου τε ἀποβαίνει καὶ οὕτως τὴν ὀφειλομένην ὡς βασιλεῖ τούτῳ ἀφοσιοῦται προσκύνησιν. οἱ δὲ τῆς συγκλήτου καὶ τοῦ στρατοῦ τὸ διαφέρον αἰτήσαντες καὶ λαβόντες αὐτόν, αἰτίαν προσάψαντες τὴν αὐτῶν πρὸς τὸν σουλτάνον προδοσίαν καὶ τῶν χωρῶν τῶν Ῥωμαϊκῶν, μετὰ δίκην στεροῦσι τοῦ φάους τῶν ὀφθαλμῶν. ἐν δὲ τῇ Νικαίᾳ τὸ λεῖπον τῆς ζωῆς αὐτοῦ διανύσας, θνήσκει καὶ θάπτεται ἐν τῇ τοῦ Ὑακίνθου μονῇ s. 457,1 sq.

7.

23,12 Περιθεώριον — πολλάς] Περιθεώριον, Πόρους καὶ ἄλλας πολλάς s. 459,25.

8.

23,13 λαὸν ἀπάρας] περισωθέντα λαόν — τοὺς γὰρ πλείους κατηφάνισε καταχώσας τοῖς πτώμασιν — ἀπάρας s. 459,26 sq.

9.

23,14 Ἴστρου] Ἕβρου s. 459,28.

10.

26,1 ὑπῆρχον — 2 ἣ] ὑπῆρχε δὲ τούτοις καὶ ἀδελφὴ Μαρία, ἣ s. 461,14.

11.

28,1 οὕτω — τυγχάνον] ὅρος δὲ τοῦτο περί που τοῦ κάστρου τῶν Ὀχυρῶν, ὃ καὶ Ἀχυράους παρά τισι λέγεται s. 462,24 sq.

---

2 ἄλλης] ἄλλοις T 14 πολλὰς om. T 16 κατηφάνισε] ἠφάνισε T 22 λέγεται] λέγονται T

12.

28,11 πράγματα. Ὁ δ' εἰρημένος] πράγματα. δεδόσθω καὶ τοῦτο τῇ ἱστορίᾳ ὡς ἀστεῖον καὶ χάριεν. ἦν τις κατὰ τὸν καιρὸν τοῦτον ἀνὴρ ἁπλοϊκός τε καὶ ἀπερίσκεπτος. οὗτος ἀνὰ τὰς ἀγυιὰς Νικαίας τῆς μεγαλοπόλεως διερχόμενος, οἷς ἂν ἐντύχοι συνήθεσι, συγχαίρειν αὐτῷ ἔλεγεν· 'ἀναφανήσεται γὰρ δι' ὀλίγου ὁ ἀγαθὸς βασιλεύς.' τοῦτο τὸ θρυλλούμενον φθάνει καὶ εἰς τὰς τοῦ αὐτοκράτορος ἀκοάς, καὶ εὐθὺς ἀγώγιμος ὁ προαγορευτὴς ἐκεῖνος ἐς τὸν ἄνακτα γίνεται. καὶ παραστὰς ἐρωτᾶται καὶ ὁμολογεῖ ταῦτα λέγειν ἃ κατηγόρητο. καὶ ὁ βασιλεύς· 'τί δ' ἐγώ; οὔ σοι δοκῶ καλὸς βασιλεύς;' καὶ αὐτός· 'καὶ τί μοί ποτε δέδωκας, ἵνα σὲ ἔχω καλόν;' καὶ πάλιν ὁ βασιλεύς· 'οὐ δίδομαί σοι καθ' ἑκάστην ὑπέρ σου καὶ τῶν ὁμοφύλων μέχρι θανάτου ἀγωνιζόμενος;' ὁ δὲ ἀνὴρ ἀνθυπέφερε· 'καὶ ὁ ἥλιος ἐπιλάμπων θερμαίνει καὶ φωτίζει ἡμᾶς, ἀλλ' οὐκ ἔχομεν χάριν αὐτῷ· ὃ γὰρ προσετάχθη, ἀποπληροῖ· καὶ σὺ γοῦν ὃ ὀφείλεις ἐργάζῃ, ὑπὲρ τῶν ὁμογενῶν, ὡς εἴρηκας, κοπιῶν καὶ μοχθῶν.' καὶ ἐπὶ τούτοις ὁ αὐτοκράτωρ ἐπέφερεν· 'ἀλλ' εἰ δώσω δῶρά σοι, ἔσομαι ἀγαθός;' 'καὶ μάλα γε' ἀντέφησεν ὁ ἁπλοϊκός. καὶ εὐθὺς βασιλικῇ προσταγῇ ἐνδύματα καὶ χρήματα τούτῳ προσέφερον, ἃ καὶ λαβὼν ἀρᾶσθαι ἤρξατο τὸν ἐπιζητοῦντα ἕτερον καλὸν βασιλέα· οὗτος γάρ, ὁ τοῦτον τού-

---

1 post δεδόσθω add. τοίνυν P 2 τοῦτο] τούτω T 3 τὸν καιρὸν τοῦτον] τοῦτον τὸν χρόνον P 6 δι' ὀλίγου] δι' ὅλου T 7 καὶ εὐθὺς] εὐθὺς δ' T 8 ἀγώγιμος] ἀγωγιμένος PT ‖ ἐς] εἰς P 9 ὁμολογεῖ post λέγειν pos. P 10 δ'] δὲ P 11 post αὐτός add. πρὸς τὸν βασιλέα P ‖ post μοί add. φησι P ‖ σὲ] σ' P 12 πάλιν] αὖθις P ‖ οὐ] καὶ οὐ PT ‖ δίδομαι] δίδωμι P 13 μέχρι θανάτου om. PT 14 ὁ δὲ] καὶ ὁ T ὁ δ' P ‖ καὶ ὁ] ὃ θ' P 15 ἡμᾶς ante θερμαίνει pos. P ‖ ἔχομεν — αὐτῷ] αὐτῷ χάριν ἔχομεν P 16 ὃ — ἀποπληροῖ] ἀποπληροῦντι τὸ προσταχθέν P ‖ καὶ σὺ — 17 μοχθῶν] κ' αὐτὸς γοῦν ὡς εἰρήκεις ὑπὲρ τῶν ὁμογενῶν κοπιῶν καὶ μοχθῶν καὶ ὀφειλομένου μηδὲν πλέον ἐργάζῃ P 18 καὶ ἐπὶ] ἐπὶ δὲ P ‖ ἐπέφερεν] ἀνθυποφέρει τὸ τρίτον P 19 δῶρά σοι] σοι δῶρα, φησίν P ‖ γε] γ' P 20 καὶ εὐθὺς] εὐθὺς δ' οὖν P ‖ καὶ] τε καὶ P 21 ἃ καὶ] ἅπερ P ‖ ἀρᾶσθαι — 280,1 βασιλέα] τὸν ἕτερον καλ. βασ. ἐπιζ. ἀρ. ἤρξατο P 22 τοῦτον — 280,2 βασι-

τοις δεξιωσάμενος, ὁ καλός τε καὶ ὁλόκαλος καὶ χρηστὸς βασιλεύς. ὁ δὲ Ἐρρῆς s. 463,2 sqq.

13.

28,14 *ἱλαρώτερον προσεφέρετο*] *ἱλαρώτερον τῶν ὁμογενῶν διετίθετο* s. 463,26.

14.

29,3 *εἰ μὴ μόνος*—4 *Δερμοκαΐτης*] *εἰ μὴ ὁ εἰς ἡγεμόνα τοῦ στρατοῦ τοῦ βασιλέως αὐτάδελφος καὶ ὁ Δερμοκαΐτης* s. 464,7.

15.

29,19 *πολλὰ*—20 *οἰκήτορσι*] *τοὺς ἐν Κωνσταντινουπόλει ἱερεῖς καὶ μονάζοντας ἀπανθρώπως ἐκόλασεν* s. 464,21.

16.

30,22 *ἐβίωσαν*] *ἐβίωσαν· οὐκ ὀλίγοι δ' ἐξ αὐτῶν καὶ εἰς ἀρχιερωσύνης ὕψος ἀνεβιβάσθησαν* s. 465,14.

17.

31,8 *μηδ' ὅλως*—9 *συγκατανεύοντος*] *μηδ' ὅλως μήτε αὐτοῦ μήτε τῶν ἀρχιερέων συναινούντων τῇ ἀθεμιτογαμίᾳ ταύτῃ, μᾶλλον δὲ καὶ ὅση δύναμις κωλυόντων, ὡς μὴ ἐγνωσμένου τοῦ τοιούτου γάμου τῇ ἐκκλησίᾳ ἡμῶν* s. 465,23 sq.

18.

31,13 *ὃν γὰρ*—15 *προύφθασεν*] *οὓς γὰρ ἐκ τῆς βασιλίδος Ἄννης ἐγέννησε δύο, Νικόλαον καὶ Ἰωάννην, ὁ θάνατος προαφήρπασεν* s. 465,30 sq.

19.

32,5 *πλουτεῖν*] *πλουσίους ποιῶν. τὴν δὲ περὶ τὰ θεῖα τούτου εὐλάβειαν δέον δι' ὀλίγου δηλῶσαι. ὡς γὰρ μάθοι*

λεύς] *καλοκἀγαθός τε χρηστὸς βασιλεὺς καὶ ὁλόχαρος, ὁ αὐτὸν τοῖς τοιούτοις δεξιωσάμενος* P **1** *ὁλόκαλος*] *ὁλόκαρος* T **10** *καὶ* om. T **15** *τοῦ* om. T **19** *δὲ*] *τε* P **20** *μάθοι τινὰς*] *μάθοι τινὰς ἐξ ἡμῶν* post *λογίων* pos. P

τινὰς τῶν ἀπὸ τῆς Κωνσταντίνου λογίων περὶ τῶν προσαγομένων θείων καὶ ὑπὲρ ἡμᾶς δώρων λογομαχοῦντας, καὶ εἰ φθαρτὰ ἢ ἄφθαρτα ταῦτα ἐπερωτῶντας, ὡς κἂν τῇ Κωνσταντινουπόλει ἐλέγετο, παραστησάμενος τούτους μετ' ἐμβριθείας ἠπείλησεν, ὅρκον προσθεὶς εἰς πίστωσιν ὧν ἀπεφήνατο, ἢ σιγῆσαι τούτους τοῦ περὶ τοιούτων γυμνάζειν καὶ ἐμμένειν ταῖς πατρικαῖς παραδόσεσι καὶ τοῖς δόγμασι τῆς τοῦ θεοῦ ἐκκλησίας, ἢ ἀλλὰ γινώσκειν ὡς καὶ Πέρσας καὶ Ἰταλοὺς καὶ ἄλλους πάντας ἐναντιουμένους καταλιπὼν τούτοις μαχέσασθαι, ἕως ἂν τέλεον ἐκτρίψῃ. καὶ οὕτως τὴν ἄλογον ἔριν κατέστειλε καὶ ψυχοβλαβῆ s. 466,10 sq.

20.

32,12 Καθὼς—αὐτοῦ] οὗτος ὁ βασιλεὺς ὅσα καὶ πατὴρ ὀφείλει τιμᾶσθαι παρὰ πάντων τῶν μετ' αὐτὸν βασιλέων καὶ γενάρχης, ἐπείπερ, ὡς εἴρηται, τοῦ κοσμικοῦ κατειληφότος κλύδωνος, τῆς ἁλώσεως δηλαδὴ τῆς βασιλίδος τῶν πόλεων, καὶ ὡς ἐν καταποντισμῷ τῆς Ῥωμαϊκῆς μεγαλειότητος καὶ εὐδοξίας διαφθαρείσης καὶ βασιλείας καὶ ἱερωσύνης ἄρδην ἀποιχομένων, αὐτὸς καὶ βασιλείαν καὶ ἱερωσύνην συνέστησεν, οὐ χρήμασι πεποιθώς, οὐ χωρῶν ἐπικρατείᾳ, οὐ πόλεων κυριότητι, ἀλλ' ἐπὶ τῷ τοῦ θεοῦ ἐλέει μόνῳ, τε-

---

1 προσαγομένων—2 λογομαχοῦντας] ὑπὲρ ἡμῶν προσαγομένων θείων λογομαχοῦντας δώρων P 3 φθαρτὰ] φθαρτὸς PT || ἄφθαρτα] ἄφθαρτος PT 5 ὅρκον προσθεὶς post πίστωσιν pos. P 6 σιγῆσαι—γυμνάζειν] τοῦ γυμνάζεσθαι τούτους περὶ τοιούτων σιγῆσαι P 7 ἐμμένειν] ἐμμένειν ὡς θεμιτὸν post πατρικαῖς pos. P || παραδόσεσι] παραδίσωσι T || τοῖς] μάλιστα P 8 ἀλλὰ] τοῦτο πάντως P || ὡς—9 ἐναντιουμένους] ὡς ἰταλούς τε καὶ πέρσας καὶ πάντας ἄλλους P 10 τέλεον ἐκτρίψῃ] αὐτοὺς παντελῶς ἀποτρίψῃ P || οὕτως] οὕτω P 11 ἄλογον—ψυχοβλαβῆ] ψυχοβλαβῆ καὶ ἄλογον ἔριν κατέστειλε P 12 ὅσα] ὡσεὶ P || καὶ om. P 13 τιμᾶσθαι post πάντων pos. P 14 καὶ γεννάρχης post 12 πατὴρ pos. P 15 τῆς βασιλίδος] τὴν βασιλίδα? 16 καταποντισμῷ] καταποντιμῷ T 17 βασιλείας καὶ ἱερωσύνης] γε ἱερωσύνης καὶ βασιλείας P 18 ἀποιχομένων] ἐποιχομένων s || καὶ βασιλείαν καὶ ἱερωσύνην] αὐτὸς μὲν ἱερωσύνην τε καὶ βασιλείαν P 20 ἐλέει post μόνῳ pos. P

θαρρηκὼς καὶ τοῖς οἰκείοις κόποις τε καὶ ἀγῶσιν, οὓς ὑπὲρ τῶν ὁμοφύλων ἐνδείξασθαι ᾑρετίσατο. διὸ καὶ ὁ φυγὰς καὶ ἀνέστιος βασιλεὺς μέγιστος ἀνεφάνη, καὶ τοῖς αἰχμαλωτεῦσαι διώκουσι φοβερὸς καὶ ἐπίδοξος, Νῶέ τις ἕτερος, δίκαιος ἐν τῇ αὐτοῦ γενεᾷ, σπέρματα δευτέρου βίου διασωσάμενος ὡς ἐκ κατακλυσμοῦ τῆς κοσμικῆς ἐκείνης πανωλεθρίας, ἢ Ζοροβάβελ ἄλλος, ἅτε δὴ καταπεπτωκότα νεὼν ἀναστήσας, τὰ Ῥωμαίων εἰς τὸ μηδὲν καταντήσαντα, καὶ βασιλεύειν ἐγκαταστήσας Ῥωμαίους καὶ χωρῶν καὶ πόλεων ἄρχειν, καὶ ἀρχιερωσύνῃ καὶ συγκλήτῳ, ἔτι δὲ στρατηγῶν τοῖς ἀρίστοις καὶ ταγμάτων, πρὸς δὲ καὶ δυνάμεων στρατιωτικῶν τάξεσι συνίστασθαί τε καὶ ὡραΐζεσθαι, μετὰ τῆς ἄνωθεν συμμαχίας καὶ τῶν οἰκείων σπουδασμάτων ταῦτα τετελεκώς, ἃ μικροῦ καὶ ὑπὲρ ἄνθρωπον ἐνεδείξατο. τοὺς δ' ὑπὸ τῆς Λατινικῆς χειρὸς αἰχμαλώτους γεγενημένους προσφεύγοντας ἐπ' αὐτὸν πάντας τε προσεδέχετο καὶ πᾶσι φιλοφρόνως διατιθέμενος πόρους ζωῆς ἐχορήγει καὶ ἀναλόγως εὐηργέτει, ἀνάδοχος τῶν πάντων γενόμενος καὶ πᾶσιν, ὡς ἡ χεὶρ ἐδίδου, ἀπονέμων τὰ δέοντα, οὐκ εἰς τὸ συναγαγεῖν ἀπιδὼν χρήματα καὶ θησαυροὺς περιποιήσασθαι καὶ κειμήλια· οὐ γὰρ ἐδίδου ῥοπὴν αὐτῷ πρὸς τοῦτο τὰ πράγματα, ἀλλ' εἰς τὸ κυβερνῆσαι καὶ διασώσασθαι, οὓς ὁ θεὸς ἐκίνει τούτῳ, προσέρχεσθαι s. 466,28 sq.

21.

33,23 *καὶ—ἀντεχόμενον*] καὶ ἐξορίᾳ δεινῇ κατεδίκασε καὶ τὰ μοναδικὰ καὶ ἄκοντα βιαίως ἐνέδυσεν ἄμφια s. 468,26 sq.

---

2 διὸ καὶ] ὅθεν δὴ P 3 ἀνέστιος] ὁ ἀνέστιος s || βασιλεὺς post μέγιστος pos. P 6 κοσμικῆς] κομικῆς T 8 εἰς] ἐς P 10 καὶ ἀρχιερωσύνῃ] ἀρχιεροσύνῃ τε P || δὲ] γε μὴν P 11 καὶ] τε καὶ P || δυνάμεων post στρατιωτικῶν τε pos. P 13 σπουδασμάτων post τετελεκὼς pos. P 14 μικροῦ καὶ] καὶ μικροῦ T καὶ μικροῦ δεῖν P 16 τε] ἵλεῳ τῷ ὄμματι P || καὶ—18 εὐηργέτει] ἀναλόγως τούτους εὐεργετῶν P 18 τῶν] τε τῶν P || καὶ om. P || πᾶσιν post χεὶρ pos. P 20 ἀπιδὼν] ἐπιδὼν PT 21 ἐδίδου—τοῦτο] αὐτῷ πρὸς τοῦτο ῥοπὴν παρεῖχε P 22 post κυβερνῆσαι add. καὶ P 25 μοναδικὰ] μοναχικὰ T

22.

34,1 *Δημήτριος*] *Δημήτριος, ᾧ Χωματηνὸς ἦν ἡ ἐπίκλησις* s. 468,28.

23.

36,12 *καὶ ἣν—πράγματα*] *πόρος δὲ οὗτος περί που τὴν Λάμψακον—τοὺς ἐκ τῶν Ἰταλικῶν χωρῶν πρὸς τὴν Κωνσταντίνου διαπλωϊζομένους παγίδα ταύτας ἔχειν διαταξάμενος* s. 470,19 sq.

24.

51,3 *φιλίας.*] *φιλίας, καὶ πρὸς τούτοις ὅτι ὑπέσχετο αὐτὸς οὗτος τὰ δυνατά οἱ συνάρασθαι τῷ βασιλεῖ εἰς τὴν τῆς Κωνσταντινουπόλεως ἐλευθερίαν* s. 478,21 sq.

25.

58,19 *χαρτουλάριος*] *ἑταιρειάρχης* s. 482,31.

26.

62,22 *ἐτίμα—ὑπερβαλλόντως*] *ἀρετὴν ἐτίμα ὑπερβαλλόντως, ἀρχιερεῖς τε καὶ ἱερεῖς ὡς θεοῦ δεχομένη ἀπεικονίσματα, καὶ τὸ μοναχικὸν τάγμα ἔστεργε* s. 485,21 sq.

27.

71,23 *τὴν αὐτοῦ—ποίμνην*] *τὴν ποίμνην ἐπὶ χρόνοις ιε΄ ποιμάναντα* s. 490,28.

28.

85,22 *ἀπέλυσεν.*] *ἀπέλυσεν. ὁπότε καὶ ὁ βασιλεὺς τοῖς ἐντὸς θελήσας περὶ τοῦ προσελθεῖν αὐτῷ διαλέξασθαι καὶ πλησιάσας τῷ τείχει, μικροῦ ἂν ἐκινδύνευσεν, εἰ μὴ θεὸς ὁ παμβασιλεὺς αὐτὸν διεφύλαττεν. οἱ γὰρ ἐντὸς Ἰταλοὶ τὴν λεγομένην μαγγανότζαγραν ἑτοιμάσαντες, βέλος κατ᾽ αὐτοῦ*

---

3 *πόρος*] *τόπος* T **8** *αὐτὸς* om. T **9** *τῆς Κωνσταντινουπόλεως*] *τῇ κωνσταντίνου* T **14** *χρόνοις*] *χρόνους* Ss **16** *καὶ*] *καὶ αὐτὸς* P ‖ *τοῖς*] *τῆς* T om. P **17** *θελήσας*] *θελήσασι* P **18** *ἐκινδύνευσεν*] *ἐκινδύνευεν* s ‖ *ὁ παμβασιλεὺς* post *αὐτὸν* pos. P **20** *μαγγανότζαγραν*] μαγγανοτζάκραν P

ἐπαφῆκαν, ὃ καὶ πρὸ τῶν ποδῶν τοῦ ἵππου αὐτοῦ πέπτωκεν· ἐφ' ᾧ καὶ ὁ βασιλεὺς χαλεπήνας ὀργῇ μεγάλῃ κατὰ τούτων ἠρέθιστο. ἀλλ' ὁ θεὸς καὶ ταύτην διεσκέδασε, κλόνῳ συσσείσας τὴν γῆν s. 498,27 sq.

29.

86,12 τὸ ἐν αὐτῇ φρούριον τὸ ἐπονομαζόμενον Φιλέρημον] τὰ ἐν αὐτῇ φρούρια, τήν τε Φιλέρημον καὶ τὴν Λίνδον s. 499,15.

30.

91,20 διά τε — Ξηροῦ] τόν τε Ναυπάκτου μητροπολίτην, Ἰωάννην τὸν Ξηρόν s. 502,7.

31.

101,22 καὶ φθίνων ἐτύγχανε Φεβρουάριος] περίπου τὸν Φεβρουάριον μῆνα. καὶ ἡμέρας διέτριψεν ἐν αὐτῇ, τὴν ἀπὸ τῶν Ἀτάρων ἔχων πτοίαν καὶ ὅσα εἰς φυλακὴν αὐτῆς καὶ ἀσφάλειαν παντοίως διαπραττόμενος s. 504,16.

32.

103,22 ἵν' ὑπ' αὐτῶν — 104,10 ὀρέξεσι.] ἐλεημοσύνην ὡς οὐδείς τις ἐπιμελόμενος, καὶ εὐποιΐαις χαίρων τῶν ἀπόρων καὶ ἐνδεῶν ὑπὲρ τοὺς πολλούς s. 505,25 sq.

33.

104,23 ἐλπὶς — 105,17 πλείοσιν.] οὗτος ὁ ἀοίδιμος βασιλεὺς τοῖς τὸ πρωτεῖον ἐσχηκόσιν ἐν τοῖς χρηστοῖς τῶν πρὸ αὐτοῦ βασιλέων ἀνθαμιλλώμενος, καὶ τὸ δευτερεῖον ἔν τισιν ὡς τὸν χρόνον δεύτερος δοκῶν ἔχειν, εἰ καὶ τοῖς πλείοσιν ἐξισούμενος ἀναφαίνεται, τῇ τε περὶ τὰ θεῖα εὐλαβείᾳ καὶ τῇ περὶ τοὺς ὑπηκόους κηδεμονίᾳ τὸ πρωτεῖον ἀσύγκριτον ἀπηνέγκατο. τοὺς γὰρ τοῦ τῶν μοναστῶν τάγματος οὐ

---

1 ποδῶν post αὐτοῦ pos. P   3 ταύτην in textu τοῦτο in marg. P   11 ἡμέρας] ἡμέρως?   17 post οὗτος add. δὴ ἔτι P ‖ post βασιλεὺς add. ἰωάννης P   21 ἀναφαίνεται] ἀναφανήσεται s

μόνον τοὺς διαφέροντας καὶ ὅσοι διαφανεῖς ἐξ ἀρετῆς πολλῆς τῆς αἰδοῦς ἠξίου καὶ τούτοις ὡς ἀνθρώποις θεοῦ προσεφέρετο, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς ὅσοι τὸ σχῆμα καὶ τὴν περιβολὴν ἐνεδέδυντο κατὰ μοναχούς, τοῖς ἀρχιερεῦσι δὲ καὶ ἱερωμένοις μικροῦ καὶ ὡς τῷ θεῷ συγγινόμενος ὁμιλῶν αὐτοῖς διετίθετο καὶ ἐνθουσιῶν καθωρᾶτο ὡς πρὸς θεὸν μεσίταις, ὅπερ καὶ ἦν, ἐντυγχάνων καὶ δι' αὐτῶν ὃν οὐχ ἑώρακε καθορῶν. τίς δ' ἂν ἀριθμήσαιτο, ὅσα τῶν ὑπ' αὐτὸν προνοούμενος καθ' ἑκάστην πόλιν, οὐχ ὅσαι μέγισται καὶ περιφανεῖς, ἀλλ' ἤδη καὶ ὅσαι τῇ σμικρότητι καὶ ἀφανείᾳ μὴ πόλεις ἀλλὰ φρούρια εἰκότως κατονομάζονται, ὅσαι τε ἀνὰ τὴν ἕω καὶ τὴν δυσμικὴν χώραν, πρὸς σύστασιν αὐτῶν καὶ ἀσφάλειαν διεπράξατο κτίσμασι κατοχυρώσας, ὡς πύργον ἐπὶ πύργῳ ἑδράσαι, καὶ στεφάνην ἐπὶ στεφάνῃ καὶ ἐπὶ περιβόλῳ ἀνεγεῖραι περίβολον, ἔτι τε ὅπλα ἀποθέσθαι παντοῖα καὶ τόξα καὶ βέλη καὶ θυρεούς τε καὶ θώρακας, ὄργανά τε πετροβόλα καὶ ἄλλα μηχανήματα, ὅσα πρὸς ἄμυναν ἐπερχομένων ἐχθρῶν; κατὰ δὲ τὰς μεγάλας τῶν πόλεων καὶ ἄνθρωποι ἦσαν τεχνῖται τῶν διαφόρων ὅπλων ἐπὶ μισθῷ, τόσα μὲν τόξα, τόσα δὲ βέλη, καὶ ἄλλα ὅσα κατ' ἔτος ἐργαζόμενοι ὅπλα, καὶ ἐς δημοσίους οἴκους ἀποτιθέντες καὶ ἀριθμὸν ὑπερβαίνοντα, ἵν' ὅτε τούτων χρεία ἀνενδεῶς οἱ ἀμυνόμενοι ἔχοιεν. τὸ δὲ καὶ χωρία ἀναθεῖναι, ὡς ἂν τοὺς ἐκεῖθεν καρποὺς εἰσκομίζεσθαι καὶ εἰς σιτοβολῶνας εἴτουν ὡρεῖα ἐνθησαυρίζεσθαι εἰς χιλιάδας καὶ μυριάδας μεδίμνων ἀριθμουμένους οὐ κριθῆς μόνον καὶ σίτου, ἀλλὰ καὶ τῶν ἄλλων σπορίμων καὶ τῶν χρειωδῶν ἄλλως ἐν

---

1 post διαφανεῖς add. τούτων ὑπῆρχον P 3 sec. καὶ — 4 ἐνεδέδυντο post μοναχοὺς pos. P 4 τοῖς om. P 6 καθωρᾶτο] καθεωρᾶτο s 9 προνοούμενος — πόλιν] καθ' ἑκάστην τῶν πόλεων ἦν προνοούμενος P 10 post σμικρότητι add. γε P 11 post φρούρια add. γε P 12 πρὸς σύστασιν] πρόστασιν P 13 κτίσμασι] κτίσματι P 15 ἀποθέσθαι] ἐπιθέσθαι P 16 καὶ post βέλη om. P 18 post ἐχθρῶν add. ἐτύγχανεν ἐπιτήδεια P 19 ἦσαν om. P ‖ τεχνῖται ἦσαν post ὅπλων pos. P 21 ἐς] εἰς PT ‖ οἴκους post ἀποτιθέντες pos. P 22 ante χρεία add. γένηται P 24 εἰς om. PT 25 εἴτουν] εἰτοῦν s 26 κριθῆς] κρίθης P 27 ἀλλὰ] ἀλλά γε P ‖ ἄλλως] ὅπως P

ἀφορίας καὶ ἐνδείας καιρῷ, φυλαττόμενα καὶ τοῖς μὴ ἔχουσι τὸ ἐνδέον ἀναπληροῦντα βασιλικῇ πλουσίᾳ χειρί, τίνος ἔργον ἄλλου ἢ τοῦ αὐτοκράτορος τούτου κατόρθωμα, ἐφ' ᾧ καὶ ἦν δρᾶν οἴκους ὅλους πεπληρωμένους κατὰ τὸ εἰρημένον, ἀπὸ σίτου, οἴνου τε καὶ ἐλαίου καὶ τῶν ἄλλων ἐκ γῆς χρειωδῶν, ἀλλὰ καὶ τοὺς τῶν πόλεων πύργους σιτῷ καὶ κριθῇ καὶ κέγχρου σπέρματι βρίθοντας; ἐν δὲ τῇ κατὰ Λυδίαν Μαγνησίᾳ, ὅπου καὶ τὰ πλείω τῶν χρημάτων ἀπέθετο, τί τίς ἂν ἐζήτησεν ἀφ' ὧν ἄνθρωποι χρήζομεν, καὶ οὐχ εὑρὼν ἐκληρώσατο τὴν ἀπόλαυσιν, οὐ τῶν ἐν τοῖς ἡμετέροις τόποις εὑρισκομένων ἀλλὰ καὶ ὅσα ἑνιαχοῦ τῆς οἰκουμένης, κατ' Αἴγυπτόν φημι καὶ Ἰνδίαν καὶ ἀλλαχοῦ; ἀλλὰ καὶ βιβλιοθήκας κατὰ πόλεις συνήθροισεν ἐκ βίβλων πασῶν τεχνῶν καὶ ἐπιστημῶν, ἀπογραφὴν δὲ καὶ ἐξίσωσιν ἐν ταῖς χώραις ἅπαξ γενέσθαι προστάξας παρ' ἀνθρώπων φοβεῖσθαι τὸν θεὸν ἐπεγνωσμένων αὐτῷ, ἀφ' οὗ καὶ τῆς τῶν ἐναντίων χειρὸς αὐτὰς ἠλευθέρωσε, παρ' ὅλην αὐτοῦ τὴν ζωὴν ταύτην ἔστερξε. κἀκ τούτου τοῖς τε ὑποτελέσιν ἐπεγένετο πᾶσι πλουτῆσαι, καὶ οἱ τῶν στρατιωτικῶν καταλόγων καὶ τῶν μεγιστάνων τὸ σύστημα πολλαπλασίους τὰς ἐκ τῶν προνοιῶν καὶ τῶν κτημάτων εἶχον εἰσόδους καὶ τὰ εἰς διατροφὰς κεχορηγημένα τούτοις πληθύνοντα. ἵππων δ' ἀγέλας καὶ βοῶν καὶ προβάτων τοσαύτας ἐκτήσατο καὶ καμήλων, ὡς μικροῦ καὶ στενὴν τὴν γῆν ἀπελέγχεσθαι ἐπὶ ταῖς τούτων νομαῖς. θησαυρούς τε συνῆξε μεγίστους καὶ πολλοὺς καὶ σωρείας χρημάτων ἐπισυνήγαγε, πόλεων ἐπὶ πολλῶν τούτους θησαυρίσας καὶ ἀποθέμενος. ἀλλὰ καὶ δόξαν ἡγεῖτο καὶ μέγα καύχημα ἐλογίζετο τὸ τοὺς ὑπηκόους πλουτοῦντας ἔχειν καὶ εὐθηνοῦντας ἐν ἅπασιν. ἔνθεν τοι καὶ πανταχοῦ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἔρις ἦν πᾶσιν, ὅστις ἂν ἐκ πόρων ἀκατακρίτων καὶ ἀμέμπτων πλείονα

2 ἐνδέον] ἐνδεὲς P 9 χρήζομεν] χρήζουσι PT 10 ἐκληρώσατο] ἐκπληρώσατο P 13 πόλεις] πόλιν P 14 τεχνῶν] τε χριστοῦ P 19 καὶ τῶν] τῶν τε P 22 πληθύνοντα] πληθύνουντα P 26 πόλεων] πολλοὺς s 27 ἀλλὰ om. s 28 ἐλογίζετο — ὑπηκόους om. P 29 εὐθηνοῦντας] εὐθυμοῦντας P 31 ἐκ πόρων] ἐκπόρων P

κτήσαιτο κτήματα καὶ βοσκήματα. εἴ τις εἶδε τὰς ἐκείνου σκηνὰς καὶ τῶν ὑπ' αὐτόν, ὅτε καὶ ὁδὸν ἐποιεῖτό τινα ἐκστρατεύων καὶ διερχόμενος, καὶ τὰ ἱπποστάσια ὅπως μὲν μέγιστα, ὅπως δὲ καὶ πολλοὺς ἁμιλλητηρίους ἔτρεφον ἵππους, καὶ πρὸς τὴν τῶν βρωτῶν καὶ ποτῶν ἀφθονίαν ἐπέβλεψεν, οὐκ οἶδα τίς ἂν οὗτος ἐτύγχανεν, ὃς μὴ θάμβει συνεσχέθη, εἰ καὶ πολλὰ ἐθεάσατο βασιλέων στρατόπεδα, καὶ τοῦτο μέγιστον καὶ ἀπαράμιλλον ἰδεῖν διεβεβαιώσατο. ποία πόλις καὶ χώρα καὶ δῆμος τίς τῶν ἐκείνου εὐεργεσιῶν οὐκ ηὐμοίρησε καὶ κοινῇ καὶ καθ' ἕκαστον; νεὼς δὲ θεῖος ἀπὸ τῶν μικρῶν ἕως καὶ τῶν μεγάλων καὶ αὐτῶν δὲ τῶν σεμνείων καὶ τῶν μονῶν ἔστιν ὅστις ἄμοιρος τῶν αὐτοῦ φιλοτιμιῶν; ἦν γὰρ ἁπάντων ὡς οἰκονόμος κοινὸς προμηθούμενος, οὐ μόνων τῶν ὑπὸ τὴν ἀρχὴν αὐτοῦ ἀλλὰ καὶ τῶν ὑπ' ἄλλους ταττομένων. συμμαρτυρεῖ μοι τῷ λόγῳ ἥ τε τοῦ Σινᾶ σεβασμία μονὴ καὶ ὅσαι κατὰ τὴν Σιών, καὶ αὐτὰ δὲ τὰ πατριαρχεῖα, τό τε τῆς μητρὸς τῶν ἐκκλησιῶν Ἱερουσαλὴμ καὶ τῆς Ἀλεξανδρείας καὶ μέντοι καὶ τὸ τῆς Ἀντιόχου, καὶ μοναί, ἃς διὰ τὸ πλῆθος κατ' ὄνομα λέγειν ἐῶ. ἀλλὰ καὶ ἐν τῇ Κωνσταντινουπόλει, τῶν τότε αὐτῆς ἀρχόντων Ἰταλῶν πολλὰς τῶν ἐν αὐτῇ ἐκκλησιῶν βουλευσαμένων καταστρέψαι πρὸς θεραπείαν τῆς ἐνούσης ἐνδείας αὐτοῖς, αὐτὸς δὴ χρήμασιν ἐξωνησάμενος σώους διαμένειν περιεποιήσατο· ἡ τῶν Βλαχερνῶν αὗται ἥ τε τῶν Ῥουφινιανῶν καὶ ἡ ἐν τῷ ἀνάπλῳ τοῦ ταξιάρχου τῶν ἄνω δυνάμεων. τὸν δὲ τῶν θεοκηρύκων ἀποστόλων ναὸν ἁγιώτατον ὑπὸ σεισμοῦ κινδυνεύσαντα βασιλικῶς ἐπεσκέψατο καὶ χρήμασιν ἱκανοῖς ἀνακτισθῆναι πεποίηκεν. ἐπὶ τούτοις καὶ αἱ

2 τῶν] τὸν T 4 ἔτρεφον] ἔτρεφεν PT 5 βρωτῶν] βροτῶν P 6 οἶδα τίς] οἶδά τις s 9 δῆμος τίς] δῆμός τις s 10 ηὐμοίρησε] εὐμοίρησε P 13 φιλοτιμιῶν] εὐεργεσιῶν P 17 δὲ om. P ‖ μητρὸς om. P 18 post Ἱερουσαλὴμ add. μητροπόλεως P ‖ sec. καὶ] ναὶ T 19 καὶ μοναί] πρὸς δέ γε τούτοις μοναί P 20 καὶ ἐν] κἀν P 24 αὗται] αὗτε P ‖ τε om. s ‖ Ῥουφινιανῶν] ῥουφιανιῶν T ῥουφιανῶν P 27 καὶ om. P 28 ἀνακτισθῆναι πεποίηκεν] ἀνεγερθῆναι πεποιηκὼς P ‖ πεποίηκεν] πεποίηκε s ‖ post τούτοις add. δὲ PT

ἐν τῷ Ἄθωνι, ὃ καὶ Ἅγιον Ὄρος καλεῖται, θεῖαι μοναὶ καὶ ὅσαι κατὰ τὴν Θεσσαλονίκην καὶ αὐτὴν δὲ τὴν Ἀττικὴν καὶ ἄλλαι, ἃς καὶ ἀριθμεῖσθαι οὔκουν ἔμοιγε ῥάδιον, τὴν αὐτοῦ πλουτοδότιν χεῖρα συναντιλαμβανομένην ἐγνώρισαν εἰς σύστασιν καὶ βοήθειαν. τοιοῦτος ἦν ὁ βασιλεὺς Ἰωάννης, τῶν δεομένων κοινὸς ἀντιλήπτωρ, καὶ οὕτω τὴν βασιλείαν θεαρέστως διῴκησεν s. 506,6 sqq.

34.

105,20 πατρί] πατρί, καὶ ἐν τῇ παρ' ἐκείνου νεουργηθείσῃ τῶν Σωσάνδρων ἐνσοριάσας πολυόλβῳ μονῇ s. 509,16 sq.

35.

106,9 ἡ δόξα—107,13 ἐκτελέσαντες.] ἡ δέ τινων δόξα, τοῦ βασιλέως καὶ μάλιστα, ἐπὶ τῷ Βλεμμύδῃ ἐτύγχανε Νικηφόρῳ. ἦν δ' οὗτος μέγας ἐπὶ σοφίᾳ, φιλόσοφος καὶ ὢν καὶ ὀνομαζόμενος, καὶ τοῦ βασιλέως ἐπὶ φιλοσοφίᾳ διδάσκαλος. οἱ πλείους δὲ πρὸς τὴν ἐκλογὴν ἀπηρέσκοντο καὶ ἐπὶ μᾶλλον ὁ τῶν ἀρχιερέων σύλλογος. ἠδημόνει οὖν ὁ βασιλεύς, οἷα τῶν πάντων μὴ συμφωνούντων ἐπί τινι, ἀλλὰ τῶν μὲν τόνδε, τῶν δὲ ἕτερον προκρινόντων, καὶ ἀλλήλοις βουλευομένων ἀντίφωνα. διὸ καὶ ἔφησε πρὸς αὐτούς· 'εἰ μὲν ἦν ἡμῖν κλήρους βαλεῖν, τάχ' ἂν οὕτω τὸ τῷ θεῷ ἀρεστὸν διεκρίνομεν· ἐπεὶ δὲ τοῦτο οὐκ ἔνεστιν, ὅπερ ἔξεστι μετὰ πίστεως καὶ τῆς εἰς θεὸν ἐλπίδος ποιῆσαι ἡμᾶς χρή. ἀνοίξωμεν τοιγαροῦν εὐλαβῶς τὴν τῶν ἁγίων εὐαγγελίων βίβλον ἐφ' ἑκάστου τῶν λεγομένων τούτων ἀνδρῶν, καὶ ὅσπερ ἂν ἡμῖν ἐκεῖθεν ἐκκαλυφθείη, ἔστω οὗτος ὡς θεο-

---

1 καλεῖται] λέγεται P ‖ καὶ ὅσαι] ὅσαι τε P 2 δὲ om. P 4 πλουτοδότιν Ts πλουτοδότην S πλουτοδότιδα P 5 ἦν] δὲ ὢν P 6 καὶ οὕτω] οὕτω γε P 7 διῴκησεν] διῴκησε καὶ πρὸς κύριον ἐξεδήμησεν P 15 ἠδημόνει—βασιλεὺς] ἀδημονῶν δὲ P 17 τόνδε] ἓν P ‖ τῶν δὲ om. T ‖ ἕτερον post προκρινόντων pos. P 18 βουλευομένων] βουλομένων PT ‖ post ἀντίφωνα add. ἐφ' ἑτέρους καὶ ὁδὸν ἑτέραν ἐτράπετο P ‖ ἔφησε] φησι P 20 διεκρίνομεν] διεκρίναμεν PT ‖ ἔνεστιν] ἔστιν PT 24 ἔστω—θεοπρόβλητος] ὡς θεοπρόβλητος οὗτος ἔστω P

πρόβλητος.’ ἔδοξε τοῦτο τοῖς πᾶσι, καὶ μετὰ τῆς πρὸς θεὸν δεήσεως ἐν συντετριμμένῃ καρδίᾳ ἐγίνετο τὸ δόξαν καλόν. ἀνεῴγνυτο τοίνυν ἡ θεία βίβλος ἐπ’ ὀνόματι τοῦ φιλοσόφου Βλεμμύδου, ἀλλ’ ἦν ἄγραφος δι’ ὅλου ὁ χάρτης· καὶ διὰ τοῦτο οὗτος ἠμέλητο. γέγονε καὶ εἰς τὸν ἕτερον τὸ αὐτό — ὁ τῆς Ἐφέσου δὲ ἦν ἀρχιερατικῶς προϊστάμενος Νικηφόρος — καὶ εὕρηται ‘οὐ τελεσφοροῦσιν’, ὄπισθεν Luc. VIII 1 προσκειμένου εἰς τὴν τοῦ λόγου συνέπειαν τοῦ ‘συμπνίγονται’ μετὰ καὶ τοῦ συνδέσμου τοῦ ‘καί’. ἀνεῴχθη τοίνυν κἀπὶ τῷ τρίτῳ· παρεώραται γὰρ ἐκ τῶν γραφομένων καὶ ὁ δεύτερος ὥσπερ ὁ πρῶτος διὰ τὸ ἄγραφον ὥσπερ εἴρηται. ἐπεὶ δὲ ἀνέῳκται, ‘ὄνον καὶ τὸν πῶλον’ ἐνέτυχον ἔχουσαν Matth. XXI τὴν γραφήν, καὶ ἀπεδοκιμάσθη καὶ οὗτος· ὁ τῆς τῶν Σωσάνδρων δὲ μονῆς καθηγούμενος ἐτύγχανεν Ἰωαννίκιος ὁ Κυδώνης. θλίψις ἐπὶ τούτοις εἷλε πάντας καὶ συνοχὴ καὶ αὐτὸν δὲ τὸν βασιλέα Θεόδωρον, ὃς καὶ πρὸς τοὺς παρόντας εἰρήκει· ‘τίς ἐξ ὑμῶν γινώσκει ἕτερον; εἰπάτω τοῦτον ἡμῖν.’ καί τις ἔφη περὶ τοῦ Αὐτωρειανοῦ Ἀρσενίου. τότε ζητοῦσι καὶ περὶ τούτου ἀπὸ τῆς βίβλου μαθεῖν τὸ δοκοῦν τῷ θεῷ μετὰ συντριβῆς μείζονος τῆς καρδίας καὶ θείας τῆς ἐπικλήσεως. ἀνοίξαντες οὖν τὴν τῶν εὐαγγελίων καὶ πάλιν βίβλον εὑρίσκουσιν ‘αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ.’ Joh. II 12 ἐφ’ ᾧ καὶ πάντες ἐδόξασαν τὸν θεόν, καὶ μηδὲ ἰδόντες αὐτοῦ ἐξεκρέμαντο καὶ ὡς ἐκ θεοῦ ποιμένα καὶ διδάσκαλον

1 ἔδοξε] καλὸν ἔδοξε P ‖ μετὰ] μετά γε P 3 ἀνεῴγνυτο (χθη) pr. m. P 4 Βλεμμύδου] Βλεμμίδου s βλεμμύδους ante τοῦ pos. P ‖ ἦν — χάρτης] ὁ χάρτης διόλου ἐτύγχανεν ἄγραφος P 5 sec. καὶ] δὲ P ‖ εἰς τὸν ἕτερον] καὶ εἰς ἕτερον post τὸ αὐτὸ pos. P 6 δὲ ἦν] ἦν οὗτος P 9 pr. τοῦ] τοῦτο PT 10 ἐκ] κἀκ P ‖ γραφομένων] ἀγραφομένων T ἐγγραφομένων P ‖ καὶ om. P 11 post ὥσπερ add. καὶ P ‖ ὥσπερ] ὡς s καθὰ P 12 ἀνέῳκται] τὸ τρίτον ἠνέωκται P ‖ τὸν om. P 13 ὁ] ὃς ὁ P 14 δὲ om. P ‖ καθηγούμενος post ἐτύγχανε pos. P 15 Κυδώνης] κηδώνης ὀνομαζόμενος P 17 τίς] τὶς s εἴ τις P ‖ ὑμῶν] ἡμῶν T 18 ἔφη post Ἀρσενίου pos. P ‖ Αὐτωρειανοῦ] αὐτουρειανοῦ T αὐτορειανοῦ P 19 ζητοῦσι om. P ‖ τὸ — 20 θεῷ] τὸ θεῷ ζητοῦσι δοκοῦν P 20 συντριβῆς post μείζονος pos. P 21 εὐαγγελίων — 22 πάλιν] ἱερῶν καὶ αὖθις εὐαγγελίων P 22 εὑρίσκουσιν] εὗρον P 24 ἐξεκρέμαντο] ἐξ-

κατωνόμαζον. ἦν δὲ οὗτος πατρὸς μὲν Ἀλεξίου τοῦ Αὐτωρειανοῦ, ὃς καὶ κριτὴς ἦν τοῦ βήλου καὶ θεῖος δικαστὴς πρὸ τοῦ ἁλῶναι παρ' Ἰταλῶν τὴν βασιλίδα τῶν πόλεων, ἡ δέ γε μήτηρ αὐτῷ ἐκ τοῦ τῶν Καματηρῶν γένους κατήγετο. Γεώργιος δὲ εἶχεν ὄνομα, καὶ μοναχὸς ἀποκαρεὶς ἔτι σωζομένης τῆς ἐν τῇ Ὀξείᾳ μονῆς Γεννάδιος μετωνόμασται, διὰ δὲ τὸν πατέρα Ἀρσένιον ἐξ Ἀλεξίου ὅτε τὰ μοναχικὰ ἐνεδύσατο ἐπικληθέντα, ἄνδρα θεοῦ δοῦλον καὶ τοῖς πᾶσιν ἐπέραστον, Ἀρσένιος ὠνομάζετο, ὃ καὶ ἐπεκράτησε τούτῳ εἰς ὄνομα. ἐχρημάτισε δὲ καὶ τῆς Ὀξείας ἡγούμενος, καὶ ἐπὶ τοῦ βασιλέως Ἰωάννου τοῦ Δούκα πρέσβις ἐξελέγη πρὸς τὸν πάπαν σταλῆναι μετὰ τῶν ἀρχιερέων τοῦ τότε Κυζίκου καὶ τοῦ Σάρδεων. τὰ πάντα δὲ παριδὼν τῷ ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ σεμνείῳ ἑαυτὸν καθεῖρξε, θεῷ μόνῳ ζῆν καὶ γινώσκεσθαι προελόμενος, καὶ ξένια παρασχὼν ὡς ἂν ἐκφυγεῖν δυνηθείη τὸ τῆς Ὀξείας προΐστασθαι· ὅτε καὶ ὁ πατριάρχης Μανουήλ, ἐπεὶ μὴ ἐπείθετο τὴν τῆς Ὀξείας ἐπικρατεῖν, οὕτως εἴρηκε πρὸς αὐτόν· 'πατριαρχεῖον ζητεῖς,' ἐντρέψαι τοῦτον βουλόμενος τοῦ κατὰ σκοπόν. τοῦτον μαθὼν ὁ βασιλεὺς ἔν τινι τῶν κατὰ τὴν Ἀπολλωνιάδα λίμνην νησιδίων διάγειν, γραμμάτων ἔχοντα εἴδησιν — ἐφήψατο καὶ γὰρ τῆς γραμματικῆς παιδείας καὶ τῶν ἐγκυκλίων μαθημάτων ἐν πείρᾳ γέγονεν ὅσον ἃ ἀναγινώσκει γινώσκειν καὶ μὴ κλονεῖσθαι τοῖς περὶ ταῦτα κομψοῖς — ἐκ νεότητος τὸν ζυγὸν τοῦ μονήρους βίου ἀράμενον καὶ μαρτυρούμενον ὑπὲρ πολλοὺς καὶ τῶν δοκούντων προκόπτειν ἐν ἀρεταῖς, ὡς εἶχε τάχους στέλλει τοὺς αὐτὸν ἄξοντας. καὶ ὃς ἀφι-

---

εκρέμμαντο P ‖ sec. καὶ] τε καὶ P 1 δὲ] δ' P ‖ Αὐτωρειανοῦ] αὐτορειανοῦ P 4 αὐτῷ] αὐτοῦ P ‖ γένους post κατήγετο pos. P 5 καὶ μοναχὸς] μοναχὸς δ' P ‖ σωζομένης τῆς] σωζόμενος τῆς T σωζόμενος τοῖς P 6 μονῆς] μονῇ P 8 ἐπικληθέντα ante ὅτε pos. P 9 post Ἀρσένιος add. καὶ αὐτὸς P 10 δὲ] τε P ‖ post Ὀξείας add. μονῆς P ‖ καὶ ἐπὶ] κἀπὶ P 11 πρέσβις] πρέσβυς P 13 τῷ ἐν τῇ] τῶν ἐν τῇ T ἑνὶ τῶν ἐντὸς P 14 λίμνῃ σεμνείῳ] λίμνης σεμνείῳ T λίμνης σημείων P 15 post παρασχὼν add. ἑαυτὸν P 16 τὸ] τοῦ P 17 τὴν] τοῦ P 19 τοῦτον βουλόμενος post σκοπόν pos. P 23 γινώσκειν om. T

κετο. ἐπεὶ δὲ τὴν ἀπὸ τῆς Νικαίας ὁ βασιλεὺς ἔξοδον ἔσπευδε, τῇ τῶν ἀρχιερέων ὁμηγύρει κοινωσάμενος καὶ συμφωνοῦντας εὑρὼν διὰ τάχους χειροτονῆσαι προστάττει πατριάρχην αὐτόν. οἳ καὶ οὑτωσὶ διεπράξαντο, ἐν μιᾷ ἑβδομάδι διάκονον καὶ πατριάρχην αὐτὸν ἐκτελέσαντες.

Τότε καὶ τὸν τοῦ χριστομάρτυρος ἤρξατο Τρύφωνος κτίσαι ναὸν καὶ εἰς ὃ νῦν ὁρᾶται κάλλος καὶ μέγεθος ἤγαγε· καὶ σχολεῖα γραμματικῶν καὶ ῥητόρων ἔταξεν ἐν αὐτῷ, διδασκάλους ἐπιστήσας καὶ μαθητὰς ἀποτάξας, ἐκ βασιλικῶν θησαυρῶν τὰ σιτηρέσια τούτους ἔχειν διορισάμενος φιλοτίμως. ἦν δὲ ὁ τοῦ μάρτυρος Τρύφωνος ναὸς πρότερον ἐκ χωματίνων πλίνθων ἐσκευασμένος, καὶ κάτω που τῆς γῆς κείμενος ὑπόγεως, ὡς ἐλλιμνάζειν ἐν τῷ ἐδάφει τούτου καὶ ὕδωρ καὶ διὰ τοῦτο ἀποτρέπεσθαι τοὺς πολλοὺς καὶ τὴν ἐς αὐτὸν εἴσοδον s. 509,27 sq.

36.

110,18 ἄλλοι — 20 ἁλωθῆναι] ὁ δὲ πεποθημένος τῷ βασιλεῖ Μουζάλων, τὴν τοῦ μεγάλου δομεστίκου δύναμιν περιεζωσμένος, τὴν βασιλικὴν περαίωσιν συνεβούλευε, καὶ ἄλλοι δὲ τῶν ἐπιφανῶν τῇ τούτου γνώμῃ συνῄνουν s. 514,3 sq.

37.

111,3 post κίνησιν add.] ἡνίκα καὶ τὸν μάρτυρα Τρύφωνα, ὡς ἔλεγε, καθ' ὕπνους τεθέχται προτρέποντα τὴν περαίωσιν, ὃν κἀν ταῖς δυσχωρίαις, ὡς διεβεβαιοῦτο, ὕπαρ

1 τὴν] τῆς T 3 προστάττει] προστάττειν T 6 Τότε] τότε δὴ τότε ὁ βασιλεὺς P ‖ ἤρξατο] ἤξατο T 7 ὃ νῦν] ὃν ἦν T ‖ νῦν ὁρᾶται] ἦν ὁρᾶσθαι P 8 καὶ σχολεῖα] σχολία δὲ P ‖ ἔταξεν ἐν αὐτῷ] ἔταξεν αὐτῷ T αὐτῷ ἐνέταξεν P 10 διορισάμενος post φιλοτίμως pos. P 12 ἐσκευασμένος ante πλίνθων pos. P ‖ ἐσκευασμένος] ἐσεσκευασμένος s 13 κείμενος ὑπόγεως] ὑπόγαιος κείμενος P ‖ ὡς — 15 εἴσοδον] ὡς ἐν τῷ τούτου λιμνάζειν ἐδάφει ὕδωρ καὶ τούτου τοὺς πολλοὺς ἀποτρέπεσθαι τῆς τε εἰς αὐτὸν εἰσόδου P 15 τὴν] τῆς T 21 προτρέποντα] προτρεπόμενον αὐτῷ TP 22 κἀν] καὶ P

οὐκ ὄναρ πολλάκις ἑώρακε τῶν δυνάμεων προηγούμενον s. 514,8 sq.

38.

111,7 Ἑλλήσποντον] Ἑλλήσποντον, καταλιπὼν εἰς τὴν ἕω τὸν μέγαν δομέστικον s. 514,14.

39.

125,11 καλῶς—16 Λάμψακον] ὃ δὲ περὶ τὰ τῶν Πηγῶν μέρη ἐν τόπῳ, ὃς τοῦ Μάμαντος λέγεται, σκηνουμένῳ συμβέβηκε τῷ βασιλεῖ, ἄξιον παραδοῦναι γραφῇ. ἡμέρα ἦν ἡ πρώτη τῶν ἡμερῶν, ἡ τοῦ ὄρθρου δὲ ἀκολουθία ἐτελεῖτο παρὰ τοῦ κλήρου, καὶ πρὸς τέλος ἦν, ὅτε καὶ τῶν ἀρχόντων ἔθος πρὸς βασιλέα τοὺς πλείους εἰσέρχεσθαι· καὶ εἰσῆλθον, καὶ προσκυνήσαντες ἔστησαν. ἐπεὶ δὲ καὶ πρὸς τὸ εἰπεῖν τὸ εὐαγγέλιον ὁ πρεσβύτερος ἦν, τότε πέρδιξ διωκόμενος παρὰ ἱέρακος τῆς σκηνῆς ἔνδον εἴσεισι, καὶ τοὺς πάντας παραδραμὼν ὑπὸ τοὺς πόδας τοῦ βασιλέως εἰσῆλθεν, ὁ δὲ διώκων αὐτὸν ἱέραξ τῆς σκηνῆς ἄνω ἐκάθισε. καὶ ὁ βασιλεὺς 'βλέπετε τὸν πέρδικα' ἔφη 'τοῦτον· οὗτος ὁ τῶν Περσῶν σουλτάνος ἐστὶ καὶ μέλλει καταφυγεῖν πρὸς ἡμᾶς, ὃν καὶ ἀποκαταστήσομεν εἰς τὰ ἴδια· ὁ δὲ διώκων αὐτὸν ἱέραξ εἰσὶν οἱ Ἄταροι. ἄφετε τοίνυν τὸν πέρδικα εἰς τὰς οἰκείας βαδίσαι νομάς, τὴν δὲ τοῦ ἱέρακος κεφαλὴν ἀποτμηθῆναι κελεύω.' ὃ καὶ ἐγένετο καὶ εἰς ἔργον ἐκβέβηκε τὸ ῥηθέν. οὕτω μὲν οὖν τὴν εἰς τὰ τῆς δύσεως μέρη ὁ βασιλεὺς ἔτρεχε μετὰ πολλῆς στρατιᾶς κτλ. s. 522,14 sq.

---

6 λέγεται] καλεῖται post 7 ὃς pos. P ‖ σκηνουμένῳ ξυμβέβηκεν post βασιλεῖ pos. P 7 παραδοῦναι post γραφῇ pos. PT ‖ ἦν] μὲν ἦν P 9 πρὸς] ἦν πρὸς τὸ P ‖ ἦν om. P 10 βασιλέα] βασιλεῖς P 11 ante ἔστησαν add. ἕκαστος P ‖ εἰπεῖν τὸ] τὸ ἱερὸν P 12 ἦν ante ὁ pos. P ‖ διωκόμενος—13 ἱέρακος] παρ' ἱέρακος σφοδρῶς διωκόμενος P 13 τοὺς] τοὺς μὲν P 14 πόδας post βασιλέως pos. P 16 ἔφη post τοῦτον pos. P om. T ‖ post οὗτος add. μὲν P 19 Ἄταροι] ἄτεροι T ‖ τὸν] τὸν μὲν P ‖ εἰς] ἐς P ‖ οἰκείας] ἰδίας P 20 δὲ post ἱέρακος pos. P 21 ἐγένετο—ῥηθέν] γέγονε καὶ τὸ ῥηθὲν ἐς ἔργον ἐτράπη P

40.

126,14 *Σκύθαι.*] *Σκύθαι. εἴασε μὲν γὰρ τούτους ὁ βασιλεὺς διάγειν ὅπου καὶ ἔταξεν, ὡς δεδήλωται, αὐτοὶ δὲ περὶ τὰ Θρακῷα μέρη τῆς Ἀδριανοῦ ἀπελθόντες εἰς τόπον, ὃν Βαρσακινὰς οἱ ἐπιχώριοι λέγουσιν, ἐκεῖ κατὰ κράτος ἡττήθησαν* s. 523,21 sq.

41.

126,18 *ἔνθα—ἔλεγον*] *καὶ γὰρ οἱ βάρβαροι διελθόντες τὴν τῆς Ῥαιδεστοῦ χώραν, τῆς Ἡρακλείας τε καὶ Βιζύης καὶ τῶν πέριξ, πολλοὺς μὲν αἰχμαλωτίσαντες, πολλὴν δὲ καὶ λείαν συναγαγόντες, νόστου ἐμέμνηντο* s. 523,28 sq.

42.

126,25 *ἀποτυχὼν—ταύτης*] *ἀλλὰ καὶ μοῖραν τῆς στρατιᾶς παραδοὺς τῷ τε ἐπὶ τοῦ κεράσματος Γεωργίῳ τῷ Νεστόγγῳ καὶ τῷ Σκύθῃ Κλεόπᾳ ἔπεμψε κατ' αὐτῶν. οἳ καὶ περὶ ποταμὸν τούτοις συμμίξαντες τοὺς πλείους τούτων διεχειρίσαντο, οὐκ ὀλίγοις δὲ καὶ τὸ τοῦ ποταμοῦ τάφος ἐγένετο· οἱ δ' αἰχμάλωτοι λυτρωθέντες οἴκοι ἐβάδισαν, ἀράμενοι καὶ ἃ ἦσαν ἀφῃρημένοι· οἱ γὰρ Σκύθαι τὴν πᾶσαν λείαν ἀπέλιπον. οὕτω γοῦν διανύσας ταῦτα κτλ.* s. 524,5 sq.

43.

127,23 *ἀπόλυσιν.*] *ἀπόλυσιν, ἀφ' οὗ καὶ τὴν τῶν βαρβάρων δίωξιν ἐποιεῖτο· ἡμέρα δὲ ἦν καθ' ἣν τὴν μνήμην τελοῦμεν τῶν κορυφαίων ἀποστόλων Χριστοῦ, Πέτρου καὶ Παύλου, κατὰ τὸ τέλος τοῦ Ἰουνίου μηνός, ἕως καὶ ὁ Αὔγουστος ἤδη παρέδραμε* s. 525,1 sq.

44.

133,7 post *ἥπτετο* add.] *ἤκουσε γὰρ ἔρχεσθαι πρὸς αὐ-*

μέρος

1 *ὁ βασιλεὺς* post *διάγειν* pos. T 10 *μοῖραν*] *μοῖραν* pr. m. P ‖ post *μοῖραν* add. *ὁ βασιλεὺς* P 12 *Κλεόπᾳ*] *κλεώπᾳ* P ‖ *ἔπεμψεν* post *αὐτῶν* pos. P ‖ *οἳ*] *οἳ μὲν* P 13 *περὶ*] *περὶ τὸν* P ‖ *τοὺς*] *τοὺς μὲν* P ‖ post *τούτων* add. *ὡς εἴρηται* P 15 *οἴκοι ἐβάδισαν*] *οἴκαδε ἀνεχώρησαν* P 16 *ἃ*] *δ s ἅπερ* P 17 *λείαν* post *ἀπέλιπον* pos. P 20 *τελοῦμεν*] *ἐπιτελοῦμεν* T

τὸν τὴν βασίλισσαν Θεοδώραν, τὴν τοῦ δεσπότου Μιχαὴλ σύζυγον· ἣ καὶ καθ' ὁδὸν τούτῳ ὑπήντησε περὶ τὸ Βολερὸν ἐν τῇ χώρᾳ τοῦ Λεντζᾶ, ὅπου καὶ τὴν ὕψωσιν τοῦ ζωοποιοῦ σταυροῦ ἑωρτάσαμεν, ἐκεῖσε τρεῖς ἡμέρας ἐγκαρτερήσαντες s. 526,24 sq.

45.

134,2 post ἐγένετο add.] ἐγένετο δὲ τῷ τότε καὶ τέρας θαυμάσιον. τοῦ γὰρ βασιλέως διερχομένου τὸ στρατόπεδον, ἡλίου ἐπιλάμποντος, ἡ μικρὰ τοῦ βασιλέως σημαία, ἣν ἔθος ἐν ταῖς ἐκστρατείαις τῆς βασιλικῆς προόδου ἔμπροσθεν μετὰ καὶ τοῦ θυρεοῦ φέρεσθαι, αἴφνης ὑπὸ τοῦ πνεύματος ἐκ τοῦ δόρατος ἀποσπασθεῖσα, καὶ ταῦτα πεπεδημένη καλῶς, εἰς ὕψος ἤρθη πολύ, ὅσον μόλις που φαίνεσθαι, καὶ μετὰ βραχὺ πίπτει πρὸς γῆν. καὶ ἐπὶ τῇ θέᾳ ταύτῃ πολλοὶ πολλὰ ἔλεγον s. 526,14 sq.

46.

134,6 post ἐκπεπλήρωκεν add.] τοῦ πατριάρχου Ἀρσενίου ἐπιδημήσαντος καὶ τούτους τελέσαντος s. 527,6.

47.

143,23 Ὁ μὲν — 144,2 χωρεῖ.] ὁ δὲ βασιλεὺς περὶ τὴν τοῦ Δεκεμβρίου ἀρχὴν διαπεραιωθεὶς τὸν Ἑλλήσποντον, τὴν μὲν ἑορτὴν τῆς Χριστοῦ γέννας ἑώρτασε κατὰ τὰ Σύρροια, ὡς εἶχε τάχους κατὰ τὰ τῆς Λυδίας μέρη καὶ τὰς Σάρδεις τὴν πορείαν ποιούμενος, συχνὰ μηνύματα πρὸς τοῦ περσάρχου δεχόμενος, ὡς ἔρχεται πρὸς αὐτόν· καὶ ἤθελεν ἑνωθῆναι τούτῳ ἐκεῖ. ὅτε οὖν εἰς τὸν Κάλαμον ἤλθομεν, ἔνθα καὶ φρούριον ὁ Καβαλλάρης λεγόμενον, ἀμηρᾶς ἔφθασε

6 δὲ] τι s om. T 7 διερχομένου post στρατόπεδον pos. P 8 μικρὰ post βασιλέως pos. P ‖ ἣν] ἦν P 10 φέρεσθαι] προφέρεσθαι, in marg. pr. m. προπορεύεσθαι P 12 ὅσον] ὅσον ὡς P 13 καὶ ἐπὶ] κἀπὶ P ‖ post θέᾳ add. δὲ P 15 τοῦ — 16 ἐπιδημήσαντος] ἐπιδημήσαντος ἀρσενίου τοῦ πατριάρχου P 17 τὴν om. T 19 γέννας] γεννήσεως T 20 τὰ τῆς] τῆς T 22 ἤθελεν — 23 ἐκεῖ] τούτῳ ἤθελεν ἐκεῖ ἑνωθῆναι P 24 post φρούριον add. ἦν P ‖ λεγόμενον] λεγόμενος P ‖ ἀμηρᾶς] ἀμυρᾶς τις P

βεβαιῶν τὴν τοῦ σουλτάνου ἐπιδημίαν περὶ τὴν Τρίπολιν. εἰς τὴν τοῦ Ἀπολλωνίου τοιγαροῦν καταλύσαντες χώραν καὶ τῇ ἑξῆς τὴν τῶν φώτων τελέσαντες δεσποτικὴν ἑορτήν, τῇ μετ' αὐτὴν τὸ τοῦ στρατοῦ πλῆθος καὶ τὴν ἀποσκευὴν εἰς τὸν κάμπον τῆς Μαγνησίας ἀποπέμψας, ὁ βασιλεὺς ὀλίγους παραλαβὼν αὐτὸς εἰς τὰς Σάρδεις ἀφίκετο. κἀκεῖ τὸν σουλτάνον ἐλθόντα φιλοφρόνως καὶ ἀσμένως ὡς ἦν δέον ἀποδεξάμενος μετ' αὐτοῦ εἰς τὴν Μαγνησίαν, ὅπου καὶ τὰ στρατεύματα, ἦλθε. τοσοῦτον δὲ τὸ τῶν στρατευμάτων πλῆθος, ὡς ἀπὸ τοῦ τόπου, ὃς δὴ Χλέρα λέγεται, μέχρι καὶ τῶν στενῶν τοῦ ποταμοῦ ἐκτείνεσθαι τὸ στρατόπεδον s. 530,12 sq.

48.

144,11 post *ἀπεχαρίσατο* add.] καὶ τὸ τῶν Χωνῶν καὶ δύο περὶ αὐτὰ φρούρια, τήν τε Σάκαιναν ὀνομαζομένην καὶ τὴν Ὑψηλήν s. 531,5 sq.

49.

144,14 *οὐδὲ — φυλάττεσθαι*] τοῦ βασιλέως ἀντιχαρισαμένου τῷ δόντι ταῦτα αὐτῷ s. 531,9.

50.

153,8 *ἐν τῷ τέλει — 11 ἐξομολόγησιν*] προσκαλεῖται τὸν πατριάρχην Ἀρσένιον καί φησιν· ὦ δέσποτα, ἐγὼ μὲν ἐπὶ τῆς σῆς ἁγιότητος εὐλαβοῦμαι θριαμβεύειν ἀμέσως τὴν αἰσχύνην τῶν ἔργων μου· εἴπερ οὖν δοκεῖ σοι, διὰ προτροπῆς σου ἑνὶ τῶν ἀρχιερέων ἀνακαλύψω τὰ πεπραγμένα μοι,

---

1 *ἐπιδημίαν* post *Τρίπολιν* pos. P 2 *καταλύσαντες*] *καταντήσαντες* PT 3 *καὶ τῇ*] *τῇ δὲ* P ‖ *τελέσαντες*] *ἐκτελέσαντες* post *δεσποτικὴν* pos. P 5 *εἰς*] *ἐς* P ‖ *κάμπον* post *Μαγνησίας* pos. P in marg. pr. m. *τὸ κάμπος διχῶς νοούμενον ἢ τὸ δάπεδον ὃ καὶ πεδίον καὶ χῶρος ἢ τὸ λοιπὸν στράτευμα καὶ συμμαχικόν. ἐνταῦθα δὲ σημαίνει τὸ στράτευμα* P 6 *παραλαβὼν — ἀφίκετο*] *δὲ μεθ' ἑαυτοῦ παραλαβὼν τὰς σκηνὰς περὶ τὰς σάρδεις ἐπήξατο* P 10 *πλῆθος*] *ἦν πλῆθος* T ‖ *λέγεται*] *καλεῖται* P 11 *στενῶν*] *Στενῶν* s 18 *προσκαλεῖται*] *προσκαλεσάμενος τοίνυν* P 19 *καί φησιν*] *ἔφη αὐτῷ* P 21 *δοκεῖ* post *σοι* pos. P

καὶ ὁ ἀρχιερεὺς οὗτος ἀναγγελεῖ σοι ταῦτα, καὶ οὕτως ποιήσεις μοι τὴν συγχώρησιν.' 'καὶ τίνι βούλει προτρέψω;' ὁ πατριάρχης ἀντέφησε· 'τοῦτο γὰρ τῆς σῆς θελήσεως ἤρτηται, καὶ ὃν ἂν βούλοιο, εἰπέ.' καὶ ὁ βασιλεὺς τὸν τῆς Μιτυλήνης, ἄνδρα σεμνοῦ βίου καὶ ἀρετῆς ἐργάτην, ἀρχιερέα προέκρινεν, οἷα συνήθη αὐτῷ. τοῦτον οὖν μετακαλεσάμενος ἐξομολόγησιν κτλ. s. 533,30 sq.

51.

153,19 τοῖς τῆς—20 βιώσας καὶ] ἐπεὶ δὲ καὶ ἐξωμολογήσατο, πρὸς τὸν πατριάρχην τὸν Μιτυλήνης ἔπεμψεν ἀνακαλύψαι τὰ αὐτοῦ σφάλματα. καὶ μετὰ τοῦτο καὶ αὐτὸν καὶ τὸν πατριάρχην ἐλθεῖν πρὸς αὐτὸν κέκληκε κατὰ τὴν ἑξῆς, οὗ καὶ γενομένου, ὡς ὁ πατριάρχης μοι διηγήσατο, τὰ ὅμοια πρὸς αὐτὸν δράσας καὶ τῶν ποδῶν τούτου ἐπιλαβόμενος, πλέον ἢ πρότερον τὴν γῆν τοῖς ἑαυτοῦ δάκρυσιν ἔβρεξεν. οὕτω τε λαβὼν ἀφέσιμον γράμμα, ὀλίγον ἐπιβιούς, τὸ μοναχικὸν σχῆμα ἐδέξατο, καὶ τὴν ἐπὶ γῆς παρερχομένην βασιλείαν καταλιπὼν πρὸς τὴν ἐν οὐρανοῖς μετέστη, τὴν ἀΐδιον καὶ ἀθάνατον κτλ. s. 534,15 sq.

52.

154,9 post νοσήματι add.] τούτου τοῦ βασιλέως Θεοδώρου οἱ πολλοὶ μὲν θαυμάζουσι τὸ κατὰ φιλοσοφίαν ἀσύγκριτον καὶ τὸ τῆς φρονήσεως ὡς ἀληθῶς ἀπαράμιλλον, ἄλλοι τὸ περὶ τὰς στρατηγίας δόκιμον καὶ θερμουργὸν καὶ τὸ ὅλον ἀρεϊκόν, δι' οὗ τοὺς ἐναντιουμένους ἐπτόησεν ἅπαξ-

---

2 βούλει προτρέψω;] με βούλει προτρέψαι; P 3 ἤρτηται] ἄρτηται P 8 καὶ om. P 9 ante Μιτυλήνης add. τῆς P 10 sec. καὶ om. TP 11 τὸν—αὐτὸν post κέκληκε pos. P ‖ ἐλθεῖν om. P ‖ κατὰ τὴν] καὶ τὰ P 12 καὶ om. T δὴ P ‖ ὡς] καθὼς αὐτὸς P 13 πρὸς αὐτὸν post καὶ pos. P ‖ τῶν] ἅπερ καὶ πρὸς τὸν τῆς μιτυλήνης, τῶν τε P ‖ τούτου post ἐπιλαβόμενος pos. P 14 τὴν γῆν post ἑαυτοῦ pos. P ‖ δάκρυσιν post κατέβρεξε pos. P 15 τε] γοῦν παρ' αὐτοῦ P ‖ λαβὼν] ἔλαβε post ἀφέσιμον pos. P 19 post τούτου add. τοίνυν P ‖ τοῦ om. T 22 post ἄλλοι add. δὲ P ‖ δόκιμον] εὐδόκιμον P

ἅπαντας καὶ κατετροπώσατο, καὶ οὐ μόνον τοὺς γείτονας Πέρσας σὺν τῷ αὐτῶν ἄρχοντι εἰς προσκύνησιν ἤγαγεν ἑαυτοῦ, πᾶν ὃ ἦν αὐτοῖς ὕλης τιμίας μικροῦ δουλικῶς προσκομίζοντας, ἀλλὰ καὶ Ἄρραβας καὶ τῆς Αἰγύπτου τὸν δυναστεύοντα δῶρα τούτῳ μέγιστα στέλλειν ἐκ φήμης μόνης παρέπεισεν. εἰσὶ δ' οἳ καὶ τὸ φιλότιμον καὶ μεγαλόδωρον καὶ πλουτοποιὸν τῆς αὐτοῦ δεξιᾶς ἐκθειάζουσιν, ἕτεροι δὲ ἕτερα τῶν αὐτοῦ θεοσδότων πλεονεκτημάτων, πολλῶν ὄντων καὶ μεγάλων, ἐκπλήττονται καὶ ὑπερεξαίρουσι. τοὺς γὰρ τοῦ πατρὸς καὶ βασιλέως διατηρήσας τύπους ἐν πᾶσιν ὅσοις τὸ προμηθὲς ἐκείνου ἐδείκνυτο, ἐν πολλοῖς ἐπὶ πλέον τὸ κηδεμονικὸν καὶ φιλότιμον ὑπερηύξησεν. ἐγὼ δὲ τὴν περὶ τὴν ἐπίδοσιν τοῦ λόγου καὶ τῶν ἐπιστημῶν τῆς σοφίας σπουδὴν αὐτοῦ ἀνυμνῶν, καὶ ὅπως ἐφίλει τοὺς λογίους καὶ μεθ' ὅσης φιλοφροσύνης ἐνδιαθέτως ἔστεργεν ἐννοούμενος, οὐκ ἔχω τίνι τῶν περὶ τοῦτο ἐσπουδακότων παραλληλίσω· ἑνὸς γὰρ σοφοῦ συνουσίαν ἀνδρὸς οὐδ' αὐτὴν τὴν βασιλείαν ἔκρινεν ἰσοστάσιον. καὶ βίβλους δὲ συνηγάγετο, οὐδ' ὅσας ὁ ἐπὶ τούτῳ μεγαλυνόμενος Πτολεμαῖος, παντοίων τεχνῶν τε καὶ ἐπιστημῶν, καὶ ταύτας ταῖς πόλεσιν ἐναποτιθεὶς τοῖς βουλομένοις εἰς ἀνάγνωσιν καὶ τῶν ἐν αὐταῖς σπουδασμάτων ἀνάπτυξιν ἐθέσπισε μεταδίδοσθαι· ἐφ' ᾧ καὶ τὰ τοῦ λόγου, εἰς τὸ μηδὲν σχεδὸν καταντήσαντα ἐκ τῆς καταστροφῆς τῆς βασιλίδος τῶν πόλεων, ἐπὶ τούτου αὔξεσθαι ἤρξατο καὶ ἐπὶ μείζω προέκοψεν, ὡς ἑκασταχῇ τῶν Ῥωμαϊκῶν χωρῶν τε καὶ πόλεων χορείας σοφῶν καθορᾶσθαι καὶ Μουσῶν

---

2 σὺν] σὺν ἅμα P ‖ ἤγαγεν] ἤγαγε τὴν P 3 τιμίας] τίμιον P 4 Ἄρραβας] ἄραβας P ‖ τῆς Αἰγύπτου τὸν] τὸν αἰγύπτου P 5 τούτῳ post μέγιστα pos. P ‖ στέλλειν post φήμης pos. P ‖ ἐκ φήμης] ἐκφήμως T 7 δὲ] δ' P 8 ὄντων] τε P 9 post μεγάλων add. καθεστηκότων P ‖ post ἐκπλήττονταί add. γε P ‖ ὑπερεξαίρουσι] ὑπεραίρουσι P 11 ἐπὶ πλέον om. P 12 καὶ] καὶ τὸ P 13 ἐπίδοσιν post λόγου pos. P ‖ σπουδὴν post αὐτοῦ pos. P 14 ἀνυμνῶν] ἀνυμνῶ P ‖ καὶ ὅπως] ὅπως τε P ‖ ἐφίλει post λογίους pos. P 15 ἐνδιαθέτως PT ἐνδιαθέσεως S 16 παραλληλίσω] παραλληλήσω P 18 ἔκρινεν] αὐτοῦ καὶ ἑτέρων ἔκρινεν ἂν P ‖ δὲ] μέντοι γε P 22 ἀνάπτυξιν] ἀνάπτηξιν P

συνίστασθαι θέατρα, καὶ πάντα σχεδὸν τόπον ἀγοραῖς πλήθειν ἐλλογίμων ἀνδρῶν, ἐπιστημονικῶν ζητημάτων παραθέσεις καὶ ἀντιθέσεις ἀσχολουμένων καὶ πονουμένων ἐπὶ λογικὰς προτάσεις καὶ συμπεράσματα. ἀλλ' ὢ τῆς κοινῆς δυστυχίας· ὁ τοιοῦτος βασιλεὺς οὐδ' ὅλα τέσσαρα ἔτη ὁλόκληρα ἐπιβεβιωκὼς τῇ αὐτοκρατορίᾳ, ὡς εἴρηται, τὸ φυσικὸν χρέος ἀπέτισε, πολὺν πόθον αὐτοῦ καὶ μετὰ τὴν τοῦ γεηροῦ σκήνους ἐκδημίαν ἅπασι καταλελοιπώς, καὶ μάλισθ' ὅσοις τῶν αὐτοῦ χαρίτων γεύσασθαι ὁπωσδήποτε συμβέβηκε ἢ τῶν κατ' αὐτὸν ἀκροάσασθαι, ὥσπερ δῆτα κἀμοί s. 535,5 sq.

53.

155,16 *συνάμα* — 19 *ναοῦ.*] *ὥρμησε τοῦ ναοῦ ἐξιέναι· ἔνδον γὰρ ἦν τῆς θείας μυσταγωγίας τελουμένης ἐπακροώμενος. ἀλλά τινες τῶν τῆς βουλῆς ἐκείνης συμπαρόντες αὐτῷ, δείσαντες μὴ ἐξιὼν καὶ ἐποχηθεὶς ἐντρέψῃ καὶ πρὸς ἑαυτὸν ἐφελκύσηται τὸν λαόν, κἀντεῦθεν καὶ αὐτοὶ φωραθεῖεν, πρὸς ὁρκωμοσίας ἑτέρας ἐχώρουν· ἤδη γὰρ τοῦ βασιλέως πρὸς ἐσχάτας ἀναπνοὰς ὄντος, τῆς αὐτοῦ διαθήκης εἰς ἐπήκοον πάντων ἀναγνωσθείσης, ὀμνύουσιν ἅπαντες φυλάξαι τὰ διατεταγμένα ἀπαραποίητα, εἶτα καὶ μετὰ τὸ ἀποβιῶναι ὀμνύουσιν ἐπὶ τοῖς αὐτοῖς· τρίτον οὖν ὅρκοις καὶ συνθήκαις ἐμπεδωθέντες πείθουσι τὸν πρωτοβεστιάριον*

---

1 *σχεδὸν* post *τόπον* pos. P ‖ *πλήθειν* post *ἐλλογίμων* pos. P *πλήθει* Ss 2 post *ἐπιστημονικῶν* add. *τε* P 3 *πονουμένων*] *πολουμένων* PT 5 *τέσσαρα*] *τέτταρα* P ‖ *ὁλόκληρα*] *ὁλόσκληρα* P 6 *ἐπιβεβιωκὼς*] *ἐπιβιώσας* post *αὐτοκρατορίᾳ* pos. P 7 *χρέος* post *ἀπέτισε* pos. P ‖ *πολὺν*] *πλὴν* s ‖ post *πολὺν* add. *δὲ* P ‖ *τοῦ*] *ἀπὸ τοῦ* P 8 post *ἅπασιν* add. *ἦν* P 9 *χαρίτων* — *συμβέβηκε*] *συμβέβηκε χαρίτων ὁπωσδήποτε γεύσασθαι* P 13 *τινὲς* post *ἐκείνης* pos. P ‖ *συμπαρόντες αὐτῷ*] *αὐτῷ συμπαρόντες τῷ πρωτοβεστιαρίῳ* P 14 *μὴ ἐξιὼν*] *αὐτὸν μὴ ἐξιέναι* P ‖ *ἐντρέψῃ* Ts *ἐντρέψει* SP 15 *φωραθεῖεν*] *φονευθεῖεν* P 17 *ἀναπνοὰς* post *ὄντος* pos. P ‖ *τῆς*] *καὶ τῆς* P 19 *φυλάξαι* post *διατεταγμένα* pos. P 20 post *ἀποβιῶναι* add. *τὸν βασιλέα* P ‖ post *αὐτοῖς* add. *ἐμμένειν* P 21 *καὶ*] *τε καὶ* P ‖ *πείθουσι* post *ἵστασθαι* pos. P

ἔνδον ἵστασθαι τοῦ ναοῦ συνάμα τῷ ἀδελφῷ Ἀνδρονίκῳ, τῷ μεγάλῳ δομεστίκῳ, καὶ τῷ πρώτῳ αὐτῶν ἀδελφῷ, τῷ πρωτοκυνηγῷ s. 537,8 sq.

54.

156,21 πατριάρχης] πατριάρχης ἐκ τῆς Νικαίας ἐλθὼν s. 537,30.

55.

176,5 βαπτίσματος—8 τελουμένων] φωτίσματος, καθ' ἣν οἱ τῶν Βουλγάρων ἄρχοντες μάλιστα λαμπρύνονται, τὰ βασιλικὰ σημεῖα, ἅπερ τοῦ βασιλέως Ἰσαακίου ἀπεκέρδησαν, εἰς τὸν θρίαμβον προσφερόμενοι s. 547,30 sq.

56.

176,24 προπατριαρχεύσαντα—180,15 βασιλέως.] πατριάρχην Ἀρσένιον, τοῦ μετὰ τὴν ἐκβολὴν αὐτοῦ Νικηφόρου τοῦ ἀπὸ Ἐφέσου μετατεθέντος τὴν ζωὴν ἐκμετρήσαντος, μηδὲ εἰς ὅλον ἐνιαυτὸν τοῦ θρόνου ἀπολαύσαντος. ὁ δὲ Ἀρσένιος οὗτος πρὸς τοῦ βασιλέως Θεοδώρου εἰς τὸν πατριαρχικὸν θρόνον προβεβλημένος, ὡς λέλεκται, ἀνὴρ καὶ εἰς λόγον καὶ εἰς πρᾶξιν πανευφυέστατος, καὶ μάλιστα τὸν ἐκ φύσεώς πως προβαλλόμενος· τοῦ γὰρ ἐκ παιδείας μικρόν τι μετέσχεν, ὀλίγα τινὰ τῶν ἐγκυκλίων φιλοσοφήσας τοῦ μὴ δοκεῖν ἀπείρως τῶν τοιούτων ἔχειν, μηδὲ ἀγνοεῖν ὧν ὑπεριδεῖν ἐδοκίμασε, τῷ δὲ βέλει τοῦ πρὸς θεὸν ἔρωτος τρωθεὶς ἐκ νεότητος τὴν ψυχὴν πᾶσι χαίρειν εἰπὼν τοῖς κατὰ κόσμον, ὧν οὐκ εὐχερῶς ἔχουσιν οἱ πλείους ἀφίστασθαι, τὸν μονήρη βίον προείλετο. οὗτος τὴν αὐτοκρατορικὴν τῷ Μιχαὴλ ἀπεπλήρου στεφηφορίαν. ἐπεὶ δ' οὐχ ἑώρα τοῦτον ταῖς ἑαυτοῦ συμβουλαῖς καθυπείκοντα, πρὸς διαφορὰς μετ' αὐτοῦ ἦλθε, καὶ δύσνους εἶναι περὶ τὸν βασιλέα αἰτίαν γραφεὶς τοῦ θρόνου ἀπηλάθη. σὺν αὐτῷ δὲ καὶ ὁ Σάρδεων Ἀνδρόνικος καὶ ὁ Θεσσαλονίκης Μανουὴλ διὰ τὴν αὐτὴν αἰτίαν τὰ αὐτὰ καὶ αὐτοὶ πεπονθότες καὶ τῶν ἐκκλησιῶν αὐτῶν ἐξω-

---

9 προσφερόμενοι] προφερόμενοι T 16 εἰς πρᾶξιν] πρᾶξιν T

στρακίσθησαν. ἀλλ' ὁ μὲν Σάρδεων, ὅτε ὁ βασιλεὺς κατὰ τῶν ἐν τῇ Κωνσταντίνου ἐστράτευε καὶ ἐγγὺς αὐτῆς τὰς ἐπαύλεις ἐποιεῖτο, τότε τὰ τῶν μοναχῶν ἐνεδύσατο παρὰ τοῦ Φιλαδελφείας Ἰωαννικίου. ὡς γὰρ διηνώχλει τὸν βασιλέα ἐπιδημῆσαι τῇ τῶν Παφλαγόνων — ἐκεῖθεν καὶ γὰρ ὥρμητο — ὁ βασιλεὺς τὸ στρεβλόνουν αὐτοῦ ἐπιστάμενος οὐκ εἶα τοῦτον ἐκεῖσε ἀφῖχθαι· σκοπὸς γὰρ ἦν αὐτῷ τὰ τῶν Παφλαγόνων διαταράξαι τῇ περὶ τὸν βασιλέα δυσνοίᾳ. ὁ δὲ βασιλεὺς ἔλεγε πρὸς αὐτόν· ʻμητροπολίτης Σάρδεων κεχειροτόνησαι, καὶ δεῖ σε τοῖς τῶν Σάρδεων μέρεσιν ἐμφιλοχωρεῖν.' τότε οὖν, μὴ ἔχων ὅ,τι καὶ δράσειε, τὸν μονήρη βίον προείλετο. ὁ δὲ Θεσσαλονίκης ἐξιὼν τῆς Νικαίας περὶ τὰ ἐγγύς που διέτριβε, καὶ ὁ πατριάρχης Ἀρσένιος, ἐξελθὼν καὶ αὐτὸς τῆς Νικαίας, ἔν τινι σεμνείῳ ἑαυτὸν ἐγκαθεῖρξεν. ἐντεῦθεν συνελθόντες πάντες οἱ ἀρχιερεῖς περὶ τὴν Λάμψακον, ψήφῳ αὐτῶν καὶ προσταγῇ βασιλέως τὸν τῆς Ἐφέσου Νικηφόρον εἰς τὸν πατριαρχικὸν θρόνον μετήνεγκαν. ἐπεὶ δὲ οὗτος οὐδ' ἐν ἐνιαυτῷ τούτῳ προσμείνας τῶν τῇδε ἀπῆλθεν, ὁ σεβαστοκράτωρ ὁ Τορνίκης τὸν βασιλέα ἠνάγκαζε, τὸν Ἀρσένιον εἰς τὸν πατριαρχικὸν θρόνον καὶ αὖθις ἀναγαγεῖν, θαύματά τινα καὶ τεράστια ἐνεργούμενα παρὰ τοῦ Ἀρσενίου διηγούμενος. ἀνήχθη οὖν καὶ αὖθις εἰς τὸν θρόνον τὸν πατριαρχικὸν ὁ Ἀρσένιος.

Ἐνταῦθα δὲ τοῦ λόγου γενόμενος, ἐρῶ τι περὶ τοῦ πατριάρχου Ἀρσενίου βραχύ. οἱ τοῦτον δύσνοιαν περὶ τὸν βασιλέα ἔχειν αἰτιασάμενοι ἢ ἀγνόημα ἠγνόησαν μέγιστον ἢ διαβολῆς ἀπελέγχονται· τῶν γὰρ δύο πάντως ἦσαν νο-

---

1 ὅτε — 3 ἐποιεῖτο post 4 Ἰωαννικίου pos. P 2 τῶν ἐν τῇ] τὴν τῆς P ‖ ἐστράτευε] ἐστρατοπέδευσε P ‖ τὰς ἐπαύλεις post ἐποιεῖτο pos. P 3 ἐνεδύσατο] μεταμφιέννυται P 4 διηνώχλει τὸν βασιλέα post Παφλαγόνων pos. P 5 τῶν om. PT 6 ὁ βασιλεὺς post αὐτοῦ pos. P 8 περὶ τὸν βασιλέα om. P 9 Σάρδεων om. P 10 δεῖ — ἐμφιλοχωρεῖν] τοὺς τῶν σάρδεων ἐμφιλοχωρεῖν δεῖ σε μέρεσι P 11 τὸν] καὶ ἄκων ὡς προύφημεν τὸν P 16 βασιλέως] βασιλικῇ T 18 τούτῳ] τούτου T 24 ἐρῶ τι] ἔρωτι T 25 post βραχύ add. τι διηγήσομαι P ‖ post τοῦτον add. οὖν P ‖ δύσνοιαν post βασιλέα pos. P 27 διαβολῆς] διαβολεῖς Ss

σοῦντες τὸ ἕτερον. ἐγὼ γὰρ ἐπὶ χρόνοις τούτῳ παρηκολουθηκὼς καὶ τῶν πρακτέων καὶ πρὸς βουλῆς κεκοινωνηκὼς καὶ νύκτα καὶ καθ' ἡμέραν συνὼν ὡς ὁμόστεγός τε καὶ ὁμωρόφιος οὐδέποτέ τι τοιοῦτον ἐνόησα, ὡς οἶδεν ὁ ἐν οὐρανοῖς μάρτυς πιστός. ἀλλ' ἀρχιερεὺς καὶ διδάσκαλος τυγχάνων κατὰ θεὸν καὶ ποιμὴν ἀληθῶς ἐβούλετο τοὺς τοῦ ποιμνίου πάντας εὐλαβεῖς εἶναι, καὶ παρεκάλει πρὸς τοῦτο. ἐπεὶ δὲ οὐ προέκοπτον κατ' ἀρετήν, ἀλλὰ καὶ τὴν θείαν μῆνιν ἐπεσπῶντο διὰ τῆς παραβάσεως τῶν συχνῶν καὶ φρικτῶν ὁρκωμοσιῶν, αἳ τῷ τότε προέβησαν, καὶ μετάμελος οὐκ ἦν ὥσπερ ἔδει, παθαινόμενος τὴν ψυχὴν βαρὺς ἐδόκει, μετάνοιαν εἰς σωτηρίαν δι' ὧν ἐποίει καὶ ἔλεγεν ἀπαιτῶν· ζηλῶν γὰρ ἦν ὑπὲρ τοῦ καλοῦ καὶ ἐλέγχων τοὺς ἁμαρτάνοντας πρὸς διόρθωσιν. διὰ τοῦτο καὶ βουλόμενος πολλάκις παραιτήσασθαι, τὸ 'ἐν λαῷ ἀπειθεῖ' λέγων 'σῶζε τὴν σαυτοῦ ψυχήν,' καὶ ὅλος τούτου γινόμενος ἐκωλύετο πρὸς τῶν τότε πνευματικῶν ἀνδρῶν, ἀντιτιθέντων τὸ 'οὐδεὶς βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς Luc. IX 62
τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ' καὶ τὸ ἀποστολικὸν 'οὔπω μέχρις αἵματος ἀντικατέστησε πρὸς Hebr. XII 4
τὴν ἁμαρτίαν ἀνταγωνιζόμενος'. s. 548,14 sq.

57.

188,27 τοῦτο—189,8 καιρός] καὶ ταῦτα μὲν ἐτελέσθησαν οὑτωσί. ἡμῖν δὲ καιρὸς ἤδη καταπαῦσαι τὰ τῆς ἀφηγήσεως

---

3 καὶ νύκτα] νύκτα τε P ‖ καθ'] μεθ' P 4 ὁμωρόφιος] ὁμορόφιος P ‖ οἶδεν] εἶδεν P 5 pr. καὶ om. P ‖ post τυγχάνων add. γε καὶ P ‖ διδάσκαλος post θεὸν pos. P 6 ἐβούλετο—7 εἶναι] εὐλαβεῖς εἶναι πάντας τοῦ ποιμνίου ἐβούλετο P ‖ τοὺς om. P 8 προέκοπτον] προκόπτον s ‖ καὶ om. P 9 μῆνιν post ἐπεσπῶντο pos. P ‖ παραβάσεως post ὁρκωμοσιῶν pos. P 10 τῷ om. P ‖ προέβησαν] προύβησαν P 11 παθαινόμενος post ψυχὴν pos. P 12 εἰς σωτηρίαν post ἔλεγεν pos. P 13 ἀπαιτῶν post μετάνοιαν pos. P 16 ὅλος] ὅλως P 17 ἀντιτιθέντων τὸ] ἀντιθέντων τὰ PT 20 ἀντικατέστησε] ἀντεκατέστητε PT 21 ἀνταγωνιζόμενος] ἀνταγωνιζόμενοι PT 22 ἐτελέσθησαν] ἐξετελέσθησαν PT 23 δὲ] δ' ἐνταυθὶ P ‖ καταπαῦσαι post ἀφηγήσεως pos. P

ἐνταυθοῖ· τὰ γὰρ ἑξῆς, μεγάλα καὶ πολλὰ ὄντα, οὔμενουν καὶ τὸν καιρὸν ἔχουσι συνᾴδοντα πρὸς διήγησιν· πέλαγος γὰρ αὐτίκα μέγα ἐξήπλωται κομιδῇ ὑποθέσεων ὅσαι τε κοσμικαὶ καὶ ὅσαι τῆς ἐκκλησίας ἐξήρτηνται. ἐμοὶ δὲ καὶ διὰ τὸ γῆρας καὶ τὴν ἐφεστῶσαν τοῦ χρόνου κατάστασιν, ἔτι δὲ καὶ τῶν ῥηθησομένων τὸ μέγεθος ὅ τε νοῦς ἀμηχανεῖ καὶ τὸ σῶμα ναρκᾷ, ταῖς ἀλλεπαλλήλοις πολιορκούμενον νόσοις· ἀλλὰ καὶ ἡ χεὶρ πρὸς τῇ ἐμφύτῳ ψυχρότητι καὶ τὴν καιρικὴν ἐπιτιθεμένην εὑρίσκουσα ἀκινητίζει πρὸς τὴν γραφήν. διὸ καὶ τῷ θεῷ εὐχαριστοῦντες ὑπὲρ ὧν διεξήλθομεν, τὴν ἐπὶ πλέον ὁρμὴν ἀναστέλλομεν, εἴπερ ἐν τοῖς ζῶσιν εὑρεθῶμεν τοῦ ἔαρος ἐπιλάμψαντος καὶ τὸν καιρὸν οὐκ ἔχομεν ἀνθιστάμενον καὶ τοῖς πρόσω βαδίσαι καθυπισχνούμενοι. s. 555,23 sq.

1 ἐνταυθοῖ om. P ‖ καὶ] τε καὶ P 2 ἔχουσι post διήγησιν pos. P ‖ πρὸς] τὰ πρὸς P 3 κομιδῇ ante μέγα pos. P 9 ἐπιτιθεμένην| ἐπιτιθεμένη P ‖ ἀκινητίζει post γραφὴν pos. P 11 post εἴπερ add. δὲ P 13 ἔχωμεν? ‖ καθυπισχνούμενοι] καθυπισχνούμεθα P

